~~Ex libris Antonii Francisci [illegible]~~

De libris doctoris [illegible] Perez [illegible] collegii [illegible] 1651

2-2
164

ALEXANDER · ARAGONUM · DEI GRA REX · FERDINANDUS

# ΑΝΘΟΛΟ-

## ΓΙΑ ΔΙΑΦΟΡΩΝ ΕΠΙΓΡΑΜΜΑΤΩΝ

ἀρχαίοις συντεθειμένων σοφοῖς ἐπὶ δια-
φόροις ὑποθέσεσιν, εἰς ἑπτὰ
τμήματα διῃρημένη.

## FLORILEGIVM DIVERSORVM

epigrammatum in septem libros
distinctum,
diligenti castigatione emendatum.

CVI
nonnulla nuper inuenta epigrammata
in fine adiecta sunt.

VNA CVM INDI-
cam rerum, quàm auctorum
copiosissimo.



VENETIIS.

DE LA UNIVERSIDAD LITERARIA DE

Dell' M. Priazzo.

| | | | | | |
|---|---|---|---|---|---|
| Ἀγῶνα. | 1 | Ἐχθρούς. | 32 | Παραμυθίαν. | 63 |
| Ἄμπελον. | 2 | Ζῷα. | 33 | Πατρίδα. | 64 |
| Ἀναθήματα. | 3 | Ζωήν. | 34 | Πηγήν. | 65 |
| Ἀναπήρους. | 4 | Ἠχώ. | 35 | Πλουτοῦντας. | 66 |
| Ἀνδρείους. | 5 | Θάλασσαν. | 36 | Ποιητάς. | 67 |
| Ἀνταπόδοσιν. | 6 | Θάνατον. | 37 | Ποιμένας. | 68 |
| Ἀπειλήν. | 7 | Θεούς. | 38 | Πόλεμον. | 69 |
| Ἀρετήν. | 8 | Ἰατρούς. | 39 | Πόλεις. | 70 |
| Ἀσεβεῖς. | 9 | Ἰχθύας. | 40 | Πονηρούς. | 71 |
| Ἀσώτους. | 10 | Κάλλος. | 41 | Πόρνας. | 72 |
| Αὐλητάς. | 11 | Κόλακας. | 42 | Ποταμούς. | 73 |
| Αὐτάρκειαν. | 12 | Κριτάς. | 43 | Πτωχούς. | 74 |
| Βίον αἰώνιον. | 13 | Λογογραφίαν. | 44 | Σιωπήν. | 75 |
| Βρέφη. | 14 | Μαινομένους. | 45 | Σοφίαν. | 76 |
| Γάμον. | 15 | Μαθήματα. | 46 | Σύγκρισιν. | 77 |
| Γῆρας. | 16 | Μέθην. | 47 | Σωφροσύνην. | 78 |
| Γραμματικούς | 17 | Μετριότητα. | 48 | Τιμήν. | 79 |
| Γραφίδα. | 18 | Μῖσος. | 49 | Τύχην. | 80 |
| Γυναῖκας. | 19 | Μητρυιάν. | 50 | Ὑποψίαν. | 81 |
| Δένδρα. | 20 | Μνήμην. | 51 | Φήμην. | 82 |
| Δικαιοσύνη. | 21 | Μυστήριον. | 52 | Φθόνον. | 83 |
| Δίκην. | 22 | Μέμψιν. | 53 | Φιλαργύρους. | 84 |
| Δυστυχίαν. | 23 | Ναούς. | 54 | Φιλίαν. | 85 |
| Ἔλεον. | 24 | Ναυάγιον. | 55 | Φιλοσόφους. | 86 |
| Ἐλπίδας. | 25 | Ναυτιλίαν. | 56 | Φιλοστοργίαν. | 87 |
| Ἐπαίνους. | 26 | Νῆας. | 57 | Φρόνησιν. | 88 |
| Ἔρωτα. | 27 | Νήσους. | 58 | Φροντίδας. | 89 |
| Εὐσέβειαν. | 28 | Οἶνον. | 59 | Χρόνου. | 90 |
| Εὐτυχίαν. | 29 | Ὄρνις. | 60 | Ὥρας. | 91 |
| Εὐχαρίστους. | 30 | Παιδιάν. | 61 | | |
| Εὐχήν. | 31 | Πανούργους. | 62 | | |

## ΑΡΧΙΟΥ ΕΙΣ ΤΟΥΣ ΤΕΣΣΑΡΑΣ ΑΓΩΝΑΣ. Ι.

Εσσαρές εἰσιν ἀγῶνες ἀν' ἑλλάδα. τέσ-
τ σαρες ἱροί.
οἱ δύο μὲν θνητῶν, οἱ δύο δ' ἀθανάτων.
ζηνός. λητοΐδαο. παλαίμονος. ἀρχεμόροιο
ἆθλα δὲ τῶν, κότινος. μῆλα. σέλινα. πίτυς.

Διοτίμου εἰς ἡρακλῆν, καὶ ἀνταῖον.

Ταὐ ἥβαν ἐς ἄεθλα πάλας ἤσκησε κραταιᾶς
ἅ τε ποσειδᾶνος, καὶ διὸς ἀγχυεῦ.
κεῖται δ' ἐς μέσσον ἀγὼν οὐ χάλκεος ἀντὶ λέβητος,
ἀλλ' ὅστις ζωὰν οἴσεται, ἢ θάνατον.
ἀνταῖος τὸ πτῶμα. πρέπει δ' ἡρακλέα νικᾶν
τὸν διός. ἀργείων ἁ πάλα, οὐ λιβύων.

Αντιπάτρου εἰς ἀρίαν.

Ο σταδιεὺς ἀρίης ὁ μενεκλέος, οὐ κατελέγχει
περσέα σὸν κτίστην, ταρσὲ κίλισσα πόλι.
Τοῖοι γὰρ παιδὸς πτηνοὶ πόδες, οὐδ' ἂν ἐκείνῳ
οὐδ' αὐτὸς περσεὺς νῶτον ἔδειξε θέων.
ἢ γὰρ ἐφ' ὑσπλήγγων, ἢ τέρματος εἶδέ τις ἄκρου
ἠΐθεον. μέσσῳ δ' οὔποτ' ἐνὶ σταδίῳ.

Λέοντος φιλοσόφου εἰς τὸ μονημέριον.

Τοξότα πυρίδων μεδέων, ἑκατηβόλε φοῖβε,
εἰπὲ κασιγνήτῃ κρατερὸς ἵνα θῆρας ἐγείρῃ,
ὅσσον ἐπιψαῦσαι μερόπων δέμας, ὅσσον ἀῦσαι
λαῶν τερπομένων ἱερὸν στόμα. μὴ δὲ νοήσω
ζηνὸς μειλιχίοιο λαχὼν θρόνον, αὐέρος οἶτον.

Αντιπάτρου.

Ταύρου βαθὺν τένοντα, καὶ σιδαρέους

ἄθλει τὸς ὤμους, καὶ κόμαν ἡρακλέος.
στερεαί θ' ὑπ' ὠλέναι, καὶ λέοντος ὄμματα,
μιλησίου γίγαντος, οὐδ' ὀλύμπιος
ζεὺς ἀτρόμητος εἶδεν, ἄνδρας ἡνίκα
πυγμὴν ἐνίκα Νικοφῶν ὀλύμπια.

Δαμαγήτου.

Οὔτ' ἀπὸ μεσσαίνας, οὔτ' ἀργόθεν εἰμὶ παλαιστάς.
σπάρτα μοι σπάρτα κυδιάνειρα πατρίς.
κεῖνοι τεχνάεντες. ἐγὼ γε μὲν ὡς ἐπέοικε
τοῖς λακεδαιμονίων παισὶ, βίᾳ κρατέω.

Σιμωνίδου.

Γνῶθι θεόκριτον πρωσιδίων τὸν ὀλυμπιονίκαν,
παῖδα παλαισμοσύνας, δεξιὸν ἡνίοχον,
κάλλιστον μὲν ἰδεῖν, ἀθλεῖν δ' οὐ χείρονα μορφῆς,
ὃς πατέρων ἀγαθῶν ἐστεφάνωσε πόλιν.

Τοῦ αὐτοῦ.

Ισθμια, καὶ πυθοῖ, Διοφῶν ὁ φίλιππος ἐνίκα,
ἅλμα. ποδωκείην. δίσκον. ἄκοντα. πάλην.

ΕΙΣ ΑΜΠΕΛΟΝ. Φιλίππου. 2

Τίς σε πάγος δυσέρημος, ἀνήλιος, ἐξεθρέψεν,
ἢ βορέου σκυθίης, ἄμπελον ἀγριάδα,
ἢ κελτῶν νιφοβλῆτες ἀεὶ κρυμώδεες ἄλπεις,
τῆς τε σιδηροτόκου βῶλος ἰβηριάδος;
ἢ σὺ ὀμφακοραγας ἐγείνασο σοὺ ἀπεπαύτους
βότρυας, οἳ λυγρὴν ἐξέχεον σταγόνα.
δίζημαι λυκόοργε τεὰς χέρας, ὡς ἀπὸ ῥίζης
κλήματος ὠματόκου βλαστὸν ὅλον θορίσης.

Αδήλου.

Τίς ποτ' ἀκηδέστως οἰνοτρόφον ὄμφακα βάκχου

ἀνὴρ, ἀμπελίνου κλήματος ὀξέταμεν.
χείλεα δὲ εὐφυεῖς, ἀπό μιν βάλεν, ὡς ἂν ὁδίταις
εἴη νισσομένοις ἡμιδαὲς σκύβαλον.
εἴη οἱ Διόνυσος ἀνάρσιος οἷα Λυκούργῳ,
ὅττι μιν αὐξομένην ἔσβεσεν εὐφροσύναν.
τοῖσδε γὰρ ἂν τάχα τίς διὰ πώματος, ἢ πρὸς ἀοιδὰς
ἤλυθεν, ἢ γοεροῦ κήδεος ἔσχε λύσιν.

ΕΙΣ ΑΝΑΘΗΜΑΤΑ. Λεωνίδου.

Οὐκ ἐμὰ ταῦτα λάφυρα. τίς ὁ θριγκοῖσιν ἀνάψας
ἄρηος, ταύταν τὰν ἄχαριν χάριτα.
ἄκλαστοι μὲν κῶνοι, ἀναίμακτοι δὲ γανῶσαι
ἀσπίδες, ἄκλαστοι δ' αἱ κλαδαραὶ κάμακες.
αἰδοῖ πάντα πρόσωπ' ἐρυθαίνομαι. ἐκ δὲ μετώπου
ἱδρὼς πιδύων, στῆθος ὑποσταλάει.
παστάδα τίς τοιοῖσδε, καὶ ἀνδρειῶνα, καὶ αὐλὰν
κοσμείτω καὶ τὸν νυμφίδιον θάλαμον.
ἄρβυς δ' αἱματόεντα διωξίπποιο λάφυρα
νηὸν κοσμοίη. τοῖς γὰρ ἀρεσκόμεθα.

Ἀντιπάτρου εἰς τὸ αὐτό.

Τίς θέτο μαρμαίροντα βοάγρια, τίς δ' ἀφόρυκτα
δούρατα, καὶ ταύτας ἀρραγέας κόρυθας,
ἀγκρεμάσας ἄρηϊ μάστορι κόσμον ἄκοσμον;
οὐκ ἀπ' ἐμῶν ῥίψει ταῦτά τις ὅπλα δόμων;
ἀπτολέμων τάδ' ἔοικεν ἐν οἰνοπλῆξι τεράμνοις
κεῖσθαι, οὐ θριγκῶν ἐντὸς ἐνυαλίου.
σκῦλά μοι ἀμφίδρυπτα, καὶ ὀλλυμένων ἅδε λύθρος
ἀνδρῶν, εἴπερ ἔφυν ὁ βροτολοιγὸς ἄρης.

Μνασάλκου τῇ ἀφροδίτῃ.

Α σῦριγξ, τί τοι ὧδε παρ' ἀφρογενέαν ἔρεισας;

τίπτ' ἀπὸ ποιμνίου χείλεος ὧδε πάρει;
οὔτοι πρῶνες ἔθ' ὧδ', οὐδ' ἄγκεα. πάντα δ' ἔρωτες,
καὶ πόθος. οὐδ' ἀγρία μοῦσ' ἐν ὄρει νέμεται.

Ἑρμοκρέοντος ταῖς νύμφαις.

Νύμφαι ἐφυδριάδες, ταῖς Ἑρμοκρέων τάδε δῶρα
εἴσατο, καλλινάου πίδακος ἀντιάσας,
χαίρετε, καὶ στείβοιτ' ἐρατοῖς ποσὶν ὑδατόεντα
τόνδε δόμον, καθαροῦ πιμπλάμεναι πόματος.

Λεωνίδου τοῖς ἀγρόταις θεοῖς.

Αὔλια, καὶ νυμφέων ἱερὸς πάγος, αἵθ' ὑπὸ πέτρῃ
πίδακες, ἥθ' ὕδασιν γειτονέουσα πίτυς,
καὶ σὺ τετράγλωχιν μηλοσσόε μαιάδος Ἑρμᾶ,
ὅστε τὸν αἰγιβότην Πᾶν, κατέχεις σκόπελον,
ἵλαοι τὰ ψαιστά, τό, τε σκύφος ἔμπλεον οἴνης
δέξασθ', αἰακίδεω δῶρα νεοπτολέμου.

ΕΙΣ ΑΝΑΠΗΡΟΥΣ.

Φιλίππου, οἱ δὲ, Ἰσιδώρου.

Πηρὸς ὁ μὲν γυίοις, ὁ δ' ἄρ' ὄμμασιν. ἀμφότεροι δὲ,
εἰς αὐτοὺς τὸ τύχης ἐνδεὲς ἠράνισαν.
τυφλὸς γὰρ λιπόγυιον ἐπωμάδιον βάρος αἴρων,
ταῖς κείνου φωναῖς ἀτραπὸν ὀρθοβάτει.
πάντα δὲ ταῦτ' ἐδίδαξε πικρὴ πάντολμος ἀνάγκη,
ἀλλήλοις μερίσαι τοὐλλιπὲς εἰς ἔλεον.

Λεωνίδου εἰς τὸ αὐτό.

Τυφλὸς ἀλητεύων χωλὸν πόδας ἤρταζεν,
ὄμμασιν ἀλλοτρίοις αὐτερανιζόμενος.
ἄμφω δ' ἡμιτελεῖς πρὸς ἑνὸς φύσιν ἡρμόσθησαν,
τοὐλλιπὲς ἀλλήλοις αὖτι παρασχόμενοι.

Εἰς τὸ αὐτὸ Πλάτωνος νεωτέρου.

Ἀνέρα τίς λιπόγυιον ὑπὲρ νώτοιο λιπαυγὴς

ἦγε, πόδας χρήσας, ὄμματα χρησάμενος.

Ἀντιφίλου εἰς τὸ αὐτό.

Ἄμφω μὲν πηροί, καὶ ἀλήμονες. ἀλλ' ὁ μὲν, ὄψεις,
ὃς δὲ βάσεις. ἄλλου δ' ἄλλος ὑπηρεσίη.
τυφλὸς γὰρ χωλοῖο κατωμάδιον βάρος ἄρας,
ἀτραπὸν ὀθνείοις ὄμμασιν ἀκροβάτει.
ἡ μία δ' ἀμφοτέροις ἤρκει φύσις. ἐν γὰρ ἑκάστῳ
τὸ λλιπὲς, ἀλλήλοις εἰς ὅλον ἠράνισαν.

Εἰς ἡμίξηρον αἰτήσαντα Ἀδριανὸν
τὸν βασιλέα τροφήν.

Ἥμισύ μου τέθνηκε. τὸ δ' ἥμισυ λιμὸς ἐλέγχει.
σῶσόν μου βασιλεῦ μουσικὸν ἡμίτονον.

Ἀπόκρισις τοῦ βασιλέως.

Ἀμφοτέρους ἀδικεῖς, καὶ πλούτεα, καὶ φαέθοντα,
τὸν μὲν, ἔτ' εἰσορόων, τοῦ δ' ἀπολειπόμενος.

Ἀντιφίλου εἰς τυφλὸν ἀναβάντα
εἰς τὸ ἐν Ἐλευσῖνι ἱερόν,
καὶ ἀναβλέψαντα.

Σκίπων με πρὸς νηὸν ἀνήγαγεν ὄντα βέβηλον
οὐ μοῦνον τελετῆς, ἀλλὰ καὶ ἠελίου.
μύστην δ' ἀμφοτέρων με θεαὶ θέσαν. οἶδα δ' ἐκείνῃ
νυκτί, καὶ ὀφθαλμῶν νύκτα καθηράμενος.
ἄσκιπων δ' εἰς ἄστυ κατέστιχον, ὄργια Δηοῦς
κηρύσσων γλώσσης ὄμματι τρανοτέρῳ.

Ἐρυκίου.

Αὐά τοι ἐκτάμνοντι γεράνδρυα κάμμορε Μείδων,
φωλὰς ἀραχναίη σκαιὸν ἔτυψε πόδα,
νειόθεν αὐτιάσασα. χύδην δ' ἔβρυξε μελαίνη
σηπεδὼν χλωρὴν σάρκα, καὶ ἀστραγάλους.
ἐτμήθη δ' ἀπὸ τῆς, στιβαρὸν γόνυ, καί σε κομίζει

μοῦνο πόδα, βλωθρῆς σκηπάνιον κοτίνου.

## ΕΙΣ ΑΝΔΡΙΑΝ, ΚΑΙ ΑΝΔΡΕΙΟΥΣ.

Ἄδηλον. εἰς λάκαιναν. 5

γυμνὸν ἰδοῦσα λάκαινα παλίντροπον ἐκ πολέμοιο
παῖδ' ἑὸν εἰς πάτραν ὠκὺν ἰόντα πόδα,
ἀντίη ἀΐξασα, δι' ἥπατος ἤλασε λόγχην,
ἄῤῥενα ῥηξαμένη φθόγγον ἐπὶ κταμένῳ.
ἀλλότριον σπάρτας εἶπεν γένος, ἔῤῥε πρὸς ἅδαν,
ἔῤῥ', ἐπεὶ ἐψεύσω πατρίδα, καὶ γενέταν.

Εἰς τὸ αὐτὸ Παλλαδᾶ.

Φεῦγε λακῶν ποτὲ δῆριν. ὑπαντιάσασα δὲ μήτηρ,
εἶπε, κατὰ στέρνων ἄορ ἀνασχομένη,
ζώων μὲν, σέο ματρὶ διαμπερὲς αἶσχος ἀνάπτεις,
καὶ κρατερᾶς σπάρτας πάτρια θεσμὰ λύεις.
ἢν δὲ θάνῃς παλάμῃσιν ἐμαῖς, μάτηρ μὲν ἀκούσω
δύσμορος, ἀλλ' ἐν ἐμῇ πατρίδι σωζομένα.

Ἰουλιανοῦ ἀπὸ ὑπάρχων αἰγυπτίου, ὅμοιον.

Μήτηρ υἷα λιπόντα μάχην μετὰ πότμον ἑταίρων
ἔκτανεν, ὠδίνων μνῆστιν ἀναινομένη.
καὶ γὰρ γνήσιον αἷμα διακρίνει λακεδαίμων,
ἀλκῇ μαρναμένων, οὐ γενεῇ βρεφέων.

Ἀγαθίου σχολαστικοῦ εἰς τὸν
αἴαντος λίθον.

Μή με τὸν αἰάντειον ἀνοχμάσειας ὁδῖτα
πέτρον, ἀκοντιστὴν ἤθεος ἑκτορέου.
εἰμὶ μέλας, τρηχύς τε. σὺ δ' εἴρεο θεῖον ὅμηρον,
πῶς τὸν πριαμίδην ἐξεκύλισα πέδῳ.
νῦν δὲ, μόλις βαιόν με παροχλίζουσιν ἀέρσης
ἄνθρωποι, γενεῆς αἴσχεα λευγαλέης.

ALEXANDER ... FERDINANDI

ἀλλά με τις κρύψειεν ὑπὸ χθονός. αἰδέομαι γὰρ
παίγνιον ἐ..λανοῖς ἀνδράσι γιγνόμενος.

Εἰς Γερμανικὸν, Βάσσου.

Οὔρεα Πυρηναῖα, καὶ αἱ βαθυάγκεες ἄλπεις,
αἳ ῥήνου προχοὰς ἐγγὺς ἀποβλέπετε,
μάρτυρες ἀκτίνων, γερμανικὸς ἃς ἀνέτειλεν,
ἀστράπτων κελτοῖς πουλὺν ἐνυάλιον.
οἱ δ' ἄρα δουπήθησαν ἀολλέες. εἶπε δ' ἐνυὼ
ἄρει, τοιαύτοις χερσὶν ὀφειλόμεθα.

Εἰς Ῥώμην, Κριναγόρου.

Οὐδ' ἢν ὠκεανὸς πᾶσαν πλημμύραν ἐγείρῃ,
οὐδ' ἢν γερμανίη ῥῆνον ἅπαντα πίῃ,
ῥώμης οὐδ' ὅσσον βλάψει σθένος, ἄχρι κε μίμνῃ
δεξιὰ σημαίνειν καίσαρι θαρσαλέη.
οὕτω καὶ ἱεραὶ ζηνὸς δρύες ἔμπεδα ῥίζαις
ἑστᾶσιν. φύλλων δ' αὖα χέουσ' ἄνεμοι.

Παρμενίωνος.

Τὸν γαίης, καὶ πόντου ἀμειφθείσαισι κελεύθοις,
ναύτην ἠπείρου, πεζοπόρον πελάγους,
ἐν τρισσαῖς δοράτων ἑκατοντάσιν ἔστεψεν ἄρης
σπάρτης. αἰσχύνεσθ' οὔρεα, καὶ πελάγη.

Ἀρχίου.

Οὐ πόλεμος δεδιὼς οὐκ ὤλεσε, νῦν ὑπὸ νούσου
θλίβομαι. ἐν δ' ἰδίῳ τήκομ' ὅλως πολέμου.
ἀλλ' ἀπὸ στέρνων ἴθι φάσγανον. ὡς γὰρ ἀριστεὺς
θνήσκομ', ἀποσπάμενος καὶ νόσον ὡς πόλεμον.

Τίνας ἂν εἴποι λόγους πύρρος
ἐπιβὰς τῆς τροίας.

Μόχθος ἐμοῦ γενετῆρος ἀμύμονος, οὐ τέλος εὗρεν.
αὐτὰρ ἐγὼ τρώεσσι φόνον πάντεσσι κορύσσω

ALEXANDER ... ARAGONUM ... FERDINANDUS

[illegible]λυθο[illegible] ἠνορέη γὰρ ὑπέρτερον εὖχος ἀείρω.
καὶ πρίαμον βασιλῆα καὶ ὃς πτολε[illegible] ἀχιλλεύς,
πάντας ὁμοῦ κατὰ μῶλον ἐμὸν μένος οἶδεν ὀλέσσαι.
καὶ τροίης πτολίεθρον ἀρήιον ἐξαλαπάξω,
καὶ δαναοῖς δεκέτηρον ἐμὸν δόρυ μόχθον ἀνήσει.

Τίνας ἂν εἴποι λόγους δηϊδάμεια, τοῦ πύρρου πορθήσαντος τὴν τροίαν.

Πᾶσαν ἐμῆς κραδίης χαλεπὴν ἀπέπαυσας ἀνίην,
ὑμετέρου γενετῆρος ἀχιλλέος εἵνεκα πότμου.
ὃν τροίη στονόεσσα κατέκτανεν. ἀλλὰ σὺ πᾶσαν
ἴλιον ἐξαλάπαξας. ἐελδομένοισι δ' ἀχαιοῖς,
ἄφθιτον ὤπασας εὖχος, ὃ μὴ δεκέτηρος ἐνυοῦς
πάντεσι μαρναμένοις δαναοῖς χρόνος ἔργον ἀνύσσαι.

Τίνας ἂν ἀγαμέμνων, ὁπλισθέντος ἀχιλλέως.

Ἴλιος ὀφρυόεσσα κατήριπεν. ἄρτι δὲ πᾶσαν
ληϊδίην δαναοῖσι θεὸς πόρεν, ὁππότ' ἀχιλλεὺς
μῆνιν ἀπορρίψας φθισήνορα, χεῖρα κορύσσει.

Τίνας ἂν ἕλληνες, ὁπλισθέντος τοῦ αὐτοῦ.

Πηλείδην κοτέοντα πάλιν θώρηξεν ἀθήνη,
ἔντεσιν ἀθανάτοισι. τί ῥίγιον ἔσσεται ἄλγος
αἰνομόροις τρώεσσι, καὶ ἕκτορι, καὶ γενετῆρι,
ὁππόταν ἔντεα ταῦτα θεὸς πόρεν ἀνέρι τῷδε.

Τίνας ἂν ἕκτωρ πρὸς πάτροκλον μὴ δυνηθέντα φέρειν τὸ δόρυ τοῦ ἀχιλλέως.

Ἐζημίωσας ὦ ἀθλίων τὸν ἕκτορα.
πᾶ φέρ', εἰς γὰρ ἡμῖν ἐλλείπει σκυλεύματα.

Τίνας ὁ αὐτὸς τιτρωσκόμενος ὑπὸ ἑλλήνων.

βάλλετε νῦν μετ' ἐμοῦ τὸ μὲν ἐμὸν δέμας, ὅτι καὶ αὐτοὶ
νεκροῦ σῶμα λεόντος ἐφυβρίζουσι λαγωοί.

Τίνας θέτις, τηλέφου σκελίδων τοὺς ὑπ' ἀμπέλου.

Ἄμπελε, τί πρήξωμεν, ὅταν δαφναῖος ἀπόλλων
πόρθον ἐμὸν κλίνῃ ἐν ἀλεξανδροῖο βελέμνοις;

Ἀλκαίου μεσσηνίου.

Μακύνου τείχη ζεῦ ὀλύμπιε. ἔρξε φίλιππος
ἀμβατά. χαλκείας κλεῖε πύλας μακάρων.
καὶ γὰρ χθὼν καὶ πόντος, ὑπὸ σκήπτροισι φιλίππου
δέδμανται. λοιπὰ δ' ἁ πρὸς ὄλυμπον ὁδός.

Διονυσίου.

Καλλιόπη πολύμυθε μελισσοβότου ἑλικῶνος,
τίκτε μοι ἄλλον ὅμηρον, ἐπεὶ μόλεν ἄλλος ἀχιλλεύς.

Ἀλφειοῦ μιτυληναίου.

Κλεῖε θεὸς μεγάλοιο πύλας ἀκμῆτας ὀλύμπου,
φροῦρει ζεῦ ζαθέαν αἰθέρος ἀκρόπολιν.
ἤδη γὰρ καὶ πόντος ὑπέζευκται δορὶ ῥώμης,
καὶ χθών. οὐρανίη δ' οἶμος ἔτ' ἐστ' ἄβατος.

Φιλίππου.

Πολὺ λεωνίδεω κατιδὼν δέμας αὐτοδάϊκτον
ξέρξης ἐχλαίνου φάρεϊ πορφυρέῳ.
κἠκ νεκύων δ' ἤχησεν ὁ τᾶς σπάρτας μέγας ἥρως,
οὐ δέχομαι προδόταις μισθὸν ὀφειλόμενον.
ἀσπίς μοι τύμβου κόσμος μέγας. ἔρρε τὰ περσῶν.
ἥξω κεἰς ἀΐδην ὡς λακεδαιμόνιος.

Βάσσου.

Ἀνθαίης ἀκάτοιο τριηκοσίους ὅτε ναύτας
δεύτερον ἐξ ἀΐδης πάντας ἀρηϊφάτους,
σπάρτας ὁ στόλος εἶπεν. ἰδ' ὡς πάλι πρόσθια πάντα
τραύματα, κἢν στέρνοις δῆρις ἔνεστι μόνοις.

νῦν γ' ἀπόθεν κορέσασθε, καὶ εἰς ἐμὸν ἐμπαύσασθε
ὕπνον, ἀκινήτου δῆμος ἐναλίου.

Κριναγόρου.

Ὀθρυάδην σπάρτης τὸ μέγα κλέος, ἢ κυνέγειρον
ναύμαχον, ἢ πάντων ἔργα καλιπτολέμων;
ἄρεος αἰχμητὴς ἴταλος παρὰ χεύμασι ῥήνου
κλινθεὶς ἐκ πολλῶν ἡμιθανὴς βελέων,
αἰετὸν ἁρπασθέντα φίλου στρατοῦ ὡς ἴδεν ἐχθροῖς,
αὖτις ἀρηϊφάτων αὔθορεν ἐκ νεκύων.
κτείνας δ' ὅς σφ' ἐκόμιζεν, ἑοῖς ἀνεσώσατο ταγοῖς,
μοῦνος ἀήττητον δεξάμενος θάνατον.

Ἀδήλου.

Αἴαντος παρὰ τύμβον ἀταρβήτοιο παραστὰς
φρὺξ ἐπέων κακῆς ἦρχεν ἐπεσβολίης.
αἴας δ' οὐκέτ' ἔμιμνεν, ὁ δ' ἀντιγέγωνεν ἔνερθε.
μίμνεν δ' οὐκ ἔτλη ζωὸς ἀποφθιμένου.

Τίνας ἂν εἴποι λόγους ἀχιλλεύς, ἀγαμέμνονος τρωθέντος.

Ἔγνως νῦν ἀγάμεμνον ἐμὸν φθισήνορα θυμόν;
ἔγνως ἐν σταδίῃσιν ὅσον σθένος ἕκτορός ἐστι;
νῦν γὰρ πάντες ὄλοντο τῇ πολυπήμονι λώβῃ.
σοὶ δ' αὐτῷ μέγα πῆμ' ἥκει θανάτοιο χέρειον.
ἀφροσύνης κακὰ ἔργα, καὶ ἄχετα πήματα πάσχεις,
ὃς πᾶσιν δαναοῖσιν ἀρήϊον ἔρκος ἐτύχθης.

Ἀλκαίου.

Ἄγαγε καὶ ξέρξης πέρσαν στρατὸν ἑλλάδος ἐς γᾶν,
καὶ τίτος εὐρείας ἄγαγ' ἀπ' ἰταλίας.
ἀλλ' ὁ μὲν, εὐρώπᾳ δοῦλον ζυγὸν αὐχένι θήσων
ἦλθεν, ὁ δ' ἀμπαύσων ἑλλάδα δουλοσύνας.

ALEXANDER PP VI ... SANCTI FERDINANDI

Ἀδήλου.

Κοίρανος εὐρώπας, ὁ καὶ εἰν ἁλὶ, καὶ κατὰ χέρσον
τόσον ἄναξ θνατῶν, ζεὺς ὅσον ἀθανάτων,
εἰνοδίᾳ τὰ λάφυρα κατὰ θρασέος κιρράδα
καὶ τέκνων, καὶ ὅλας γᾶς ἔθετ' ὀδρυάδος,
υἱὸς ἐυμμελίᾳ δαματρίου. ἁ δὲ φιλίππου
δόξα, πάλαι θείων ἀγχιβέβακε θρόνων.

ΕΙΣ ΑΝΤΑΠΟΔΟΣΙΝ. Εὐήνου. 6

Κἤν με φάγῃς ἐπὶ ῥίζαν, ὅμως ἔτι καρποφορήσω,
ὅσον ἐπισπεῖσαί σοι τράγε θυομένῳ.

Λεωνίδου ταραντίνου.

Ἴξαλος εὐπώγων αἰγὸς πόσις ἔν ποτ' ἀλωῇ,
οἴνης τοὺς ἁπαλοὺς πάντας ἔλαψε κλάδους.
Τῷ δ' ἔπος ἐκ γαίης τόσον ἄπυε, τεῖρε κάκιστε
γναθμοῖς ἡμέτερον κλῆμα τὸ καρποφόρον.
ῥίζα γὰρ ἔμπεδος οὖσα, πάλι γλυκὺ νέκταρ ἀνήσει,
ὅσον ἐπισπεῖσαί σοι τράγε θυομένῳ.

Παρμενίδου μακεδόνος.

Οἱ κόρεις ἄχρι κόρου κορέσαντό με. ἀλλ' ἐκορέσθην
ἄχρι κόρου καὐτὸς, τοὺς κόρεις ἐκκορίσας.

Ἀντιπάτρου.

Αὐήν με πλατάνιστον ἐφερπύζουσα καλύπτει
ἄμπελος, ὀθνείῃ δ' ἀμφιτέθηλα κόμῃ,
ἡ πρὶν ἐμοῖς θαλέθουσιν ἐνιθρέψασ' ὀροδάμνοις
βότρυας, ἡ ταύτης οὐκ ἀπετηλοτέρη.
τοίην μὲν τοι ἔπειτα τιθηνείσθω τις ἑταίρην,
ἥτις ἀμείψασθαι καὶ νέκυν οἶδε μόνη.

Ἀπολλωνίδου.

Ξεῖνον ὁπηνίκα θαῦμα κατείδομεν ἀστὶς ἅπασι,

πῶλον ἐπ' ἀνδρομέαν σάρκα φρυαττόμενον,
θρηϊκίης φάτνης πολιὸς λόγος εἰς ἐμὸν ὄμμα
ἤλυθε, δίζημαι δεύτερον ἡρακλέα.

Ἄδηλον.

οὐδεὶς ἀνθρώπων ἀδίκων τίσιν οὐκ ἀποτίσει.

## ΕΙΣ ΑΠΕΙΛΗΝ Μουσικίου, οἱ δὲ, Πλάτωνος.

Ἁ κύπρις μούσαισι, κοράσια, τὰν ἀφροδίταν
τιμᾶτ', ἢ τὸν ἔρωτ' ὔμμιν ἐφοπλίσομαι.
χαἰ μοῦσαι ποτὶ κύπριν, ἄρει τὰ στωμύλα ταῦτα.
ἡμῖν δ' οὐ πέταται τοῦτο τὸ παιδάριον.

Ἄδηλον.

Ὁ Ζεὺς πρὸς τὸν ἔρωτα, βέλη τὰ σὰ πάντ' ἀφελοῦμαι.
χὠ πτανός, βρόντα, καὶ πάλι κύκνος ἔσῃ.

## ΕΙΣ ΑΡΕΤΗΝ. Ἀδήλου. 8

Ὦ στωϊκῶν μύθων εἰδήμονες, ὦ πανάριστα
δόγματα ταῖς ἱεραῖς ἐνθέμενοι σελίσιν,
τὰν ἀρετὰν ψυχᾶς ἀγαθὸν μόνον. ἅδε γὰρ ἀνδρῶν
μούνα, καὶ βίοτον ῥύσατο, καὶ πόλιας.
Σαρκὸς δ' ἡδυπάθημα φίλον τέλος, ἀνδράσιν ἄλλοις
ἡ μία τῶν μνήμης ἤνυσε θυγατέρων.

Τίνας ἂν εἴποι λόγους ἥρα, ἀποθεωθέντος ἡρακλέους.

Σῆς ἀρετῆς ἱδρῶτι καλὴν ἀπέδωκεν ἀμοιβὴν
σὸς γενέτης ἡρακλεῦ. ἐπεὶ πόνος ἄσπετον εὖχος
ἀνδράσιν οἶδεν ἄγειν μετ' ἀπείρονα κύκλον ἀέθλων.

Εἰς τὸ αὐτό.

Σοὶ χάριν ἐξετέλεσσε πόνος, καὶ ἀθέσφατος ἱδρώς,

χῶρον ἔχειν πολύσοφον ὃν ὁ πάρος ἔλλαχεν ἀνήρ.

Ὀνέστου.

Ἀμβαίνων Ἑλικῶνα μέγαν, κάμον. ἀλλ' ἐκορέσθης
πηγασίδος κρήνης νεκταρέων λιβάδων.
οὕτω καὶ σοφίης πόνος ὄρθιος. ἢν δ' ἄρ' ἐπ' ἄκρον
τέρμα μόλῃς, ἀρύσῃ πιερίδων χάριτας.

Παύλου σιλεντιαρίου.

Μήτε βαθυκτεάνοιο τύχης κουφίζεο ῥοίζῳ,
μήτε σέο γνάμψῃ φροντὶς ἐλευθερίην.
πᾶς γὰρ ὑπ' ἀσταθέεσσι βίος πολεμίζεται αὔραις,
τῇ, καὶ τῇ θαμινῶς ἀντιμεθελκόμενος.
ἡ δ' ἀρετὴ, σταθερόν τι, καὶ ἄτροπον. ἧς ἔπι μούνης,
κύματα θαρσαλέως ποντοπόρει βιότου.

Παροιμία ἐπὶ τῶν ψευδῆ δόξαν ἐχόντων.

Πολλοί τοι ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι.

## ΕΙΣ ΑΣΕΒΕΙΣ. 9

Εἰς τὸν φθείραντα τὴν ἑαυτοῦ μητέραν.

Μὴ θάψῃς τὸν ἄθαπτον. ἔα κυσὶ κύρμα γενέσθαι.
γῆ μήτηρ πάντων μητροφθόρον οὐ δέχετ' ἄνδρα.

Τίνας ἂν εἴποι λόγους πρὸς πρόκνην τὴν
ἀδελφὴν φιλομήλη.

Σός με πόσις κακοεργὸς ἐνὶ ἀπήλυγγι βαθείῃ
μουνώσας, βαρύποτμον ἐμὴν ἀπέκερσε κορείην.
συγνὰ δέ μοι πόρεν ἕδνα πολυτλήτοιο γάμοιο,
γλῶσσαν ἐμὴν ἐθέρισσε, καὶ ἔσβεσεν ἔλλαλα φωνήν.

Εἰς τὸ αὐτό.

Χαῖρε πρόκνη παρὰ σεῖο κασιγνήτης φιλομήλης,
χαίρειν εἰ τὸ λέγειν ἐστίν. ἐμοῦ δέ σοι ἄλγεα θυμοῦ
πέπλος ἀπαγγείλειε, τά μοι λυγρὸς ὤπασε τηρεύς.

[illegible]ς μὲν ἔρξας βαρύποτμον ἐν ἔργεσι [illegible]λευομένων,
πρῶτον παρθενίης, μετέπειτα δὲ νόσ[illegible] αὐτῆς.

## ΕΙΣ ΑΣΩΤΟΥΣ. Λουκιανοῦ. ΙΟ.

Τὸν πατρικὸν πλοῦτον νέος ὢν θήρων ὁ μενίππου,
αἰσχρῶς εἰς ἀκρατεῖς ἐξέχεεν δαπάνας.
ἀλλά μιν εὐκτήμων πατρικὸς φίλος ὡς ἐνόησεν
ἤδη καρφαλέῃ τειρόμενον πενίῃ,
καί μιν δακρυχέων ἀνελάμβανε, καὶ πόσιν αὐτὸν
θῆκε θυγατρὸς ἑῆς, πόλλ᾽ ἐπιμείλια δούς.
αὐτὰρ ἐπεὶ θήρωνι παρ᾽ ἐλπίδας ἤλυθε πλοῦτος,
αὐτίκα ταῖς αὐταῖς ἐτρέφετ᾽ ἐν δαπάναις,
γαστρὶ χαριζόμενος πᾶσαν χάριν οὐ κατὰ κόσμον,
τῇ θ᾽ ὑπὸ τὴν μιαρὰν γαστέρι μαργοσύνῃ.
οὕτω μὲν θήρωνα τὸ δεύτερον ἀμφεκάλυψεν
οὐλομένης πενίης κῦμα παλιρρόθιον.
εὐκτήμων δ᾽ ἐδάκρυε τὸ δεύτερον οὐκ ἐπὶ κεῖνον,
ἀλλὰ θυγατρὸς ἑῆς πένθεά τε, καὶ θάλαμον.
ἔγνω δ᾽ ὡς οὐκ ἔστι κακῶς κειρημένον ἄνδρα
τοῖς ἰδίοις, ἑτέρων πιστὸν ἐν ἀλλοτρίοις.

## ΕΙΣ ΑΥΛΗΤΑΣ, ΚΑΙ ΑΥΘΙΣ ΟΡΧΗΣΤΑΣ. Φιλίππου. ΙΙ

Ι μβρον αὐλήσαντι πολυτρήτων διὰ λωτῶν,
εἶπε λιγυφθόγγῳ Φοῖβος ἐπὶ γλαφυρᾷ,
μαρσύη, ἐψεύσω τεὸν εὕρεμα. σοῦ γὰρ ἀθήνης
αὐλὸς ἐκ φρυγίης οὗτος ἐληΐσατο.
εἰ δὲ σὺ τοῖσδε τότ᾽ ἐνέπνεες, οὐκ ἂν ὕαγνις
τὴν ἐπὶ μαιάνδρῳ κλαῦσε δύσαυλον ἔριν.

Βοήθου.

Εἰ τοῖος Διόνυσος ἐς ἱερὸν ἦλθεν ὄλυμπον
κωμάζων λήναις σύν ποτε καὶ σατύροις,
οἷον ὁ τεχνήεις πυλάδης ὠρχήσατο κεῖνον
ὀρθὰ κατὰ τραγικῶν τέθμια μουσοπόλων,
παυσαμένη ζήλου διὸς ἂν φάτο σύγγαμος ἥρη,
ἐψεύσω σεμέλη, βάκχον ἐγὼ δ' ἔτεκον.

Ἀντιπάτρου.

Ὀρφεὺς θῆρας ἔπειθε. σὺ δ' ὀρφέα. φοῖβος ἐνίκα
τὸν φρύγα. σοὶ δ' εἴκει μελπομένη γλαφύρα,
οὔνομα, καὶ τέχνης, καὶ σώματος. ἦκεν ἀθήνη
ἔρριψεν λωτοὺς τοῖα μελιζομένη,
οἷα σὺ ποικιλότερπε. σὰ δ' ὑπνῶσαι κεν ἀκούων
αὐτὸς πασιθέης ὕπνος ἐν ἀγκαλίσιν.

Ἀλκαίου.

Σύμφωνον μαλακοῖσι κερασσάμενος θρόον αὐλοῖς
δωρόθεος, γοερὸς ἔπνεε δαρδανίδας,
καὶ σεμέλας ὠδῖνα κεραύνιον. ἔπνεε δ' ἵππου
ἔργματ', ἀειζώων ἁψάμενος χαρίτων.
μοῦνος δ' ἐν ἱεροῖσι διωνύσοιο προφήταις
μώμου λαιψηρὰς ἐξέφυγε πτέρυγας,
θηβαῖος γενεήν, σωσικλέος. ἐν δὲ λυαίου
νηῷ, φόρμιγγα θήκατο, καὶ καλάμους.

Τοῦ αὐτοῦ, εἰς σήλην σατύρου.

Οὐκ ἔτ' ἀνὰ φρυγίην πιτυοτρόφον ὥς ποτε μέλψεις,
κροῦμα διὰ τρητῶν φθεγγόμενος δονάκων.
οὐδ' ἔτι σαῖς παλάμαις τριτωνίδος ἔργον ἀθάνας
ὡς πρὶν ἐπανθήσει νυμφογενὲς σάτυρε.
δὴ γὰρ ἀλυκτοπέδαις σφίγγῃ χέρας. οὕνεκα φοίβῳ
θνατὸς ἐὼν, θείαν εἰς ἔριν ἠντίασας.



ALEXANDER ... ARAGONUM ... FERDINANDUS

λωτοὶ δ' οἱ κλάζοντες ἴσον φόρμιγγ' ἱερόν,
ὤπασαν ἐξ ἀέθλων, οὐ στέφος, ἀλλ' ἀΐδαν.

## ΕΙΣ ΑΥΤΑΡΚΕΙΑΝ.

Παρμενίωνος μακεδόνος. 12.

Ἀρκεῖ μοι χλαίνης λιτὸν σκέπας. οὐδὲ τραπέζαις
δειλεύσω, μουσῶν ἄνθεα βοσκόμενος.
μισῶ πλοῦτον, ἄνουν, κολάκων τροφόν. οὐδὲ πρὸς ὀφρὺν
στήσομαι. οἶδ' ὀλίγης δαιτὸς ἐλευθερίην.

Ἀλφειοῦ μιτυληναίου.

Οὐ στέργω βαθυληΐους ἀρούρας,
οὐκ ὄλβον πολύχρυσον οἷα Γύγης.
αὐτάρκους ἔραμαι βίου Μακρῖνε.
τὸ μηδὲν γὰρ ἄγαν, ἄγαν με τέρπει.

Ἀδήλου.

Ἐλθὼν εἰς ἀΐδην ὅτε δὴ σοφὸν ἤνυσε γῆρας
Διογένης ὁ κύων, Κροῖσον ἰδὼν ἐγέλα.
καὶ στρώσας ὁ γέρων τὸ τριβώνιον ἐγγὺς ἐκείνου,
τοῦ πολὺν ἐκ ποταμοῦ χρυσὸν ἀφυσσαμένου,
εἶπεν, ἐμοὶ καὶ νῦν πλείων τόπος. ὅσσα γὰρ εἶχον,
πάντα φέρω σὺν ἐμοὶ Κροῖσε. σὺ δ' οὐδὲν ἔχεις.

Παλλαδᾶ.

Ἐλπίδος, οὐδὲ τύχης ἔτι μοι μέλει, οὐδ' ἀλεγίζω
λοιπόν. τῆς ἀπάτης ἤλυθον εἰς λιμένα.
εἰμὶ πένης ἄνθρωπος. ἐλευθερίῃ δὲ συνοικῶ.
ὕβριν πενίης πλούτου ἀποστρέφομαι.

Λουκιλλίου.

Μὴ σύ γ' ἐπ' ἀλλοτρίης ὤνθρωφ' ἵζοιο τραπέζης,
ψωμὸν ὀνείδειον γαστρὶ χαριζόμενος,

ἄλλοτε μὲν κλαίοντι, καὶ εὐγνώμονα ὄμμα,
συγκλαίων, καῦθις συγγελόωντι γελῶν,
οὔτε σύ γε κλαυθμοῖο κεχρημένος, οὔτε γέλωτος·
καὶ κλαίω Μιλίῃ, καὶ γελόω Μιλίῃ.

Λουκιανοῦ.

Ὡς τεθνηξόμενος, τῶν σῶν ἀγαθῶν ἀπόλαυε·
ὡς δὲ βιωσόμενος, φείδεο σῶν κτεάνων.
ἔστι δ' ἀνὴρ σοφὸς οὗτος, ὃς ἄμφω ταῦτα νοήσας,
φειδοῖ, καὶ δαπάνῃ μέτρον ἐφηρμόσατο.

Παλλαδᾶ.

Βέλτερόν ἐστι τύχης καὶ θλιβομένης ἀνέχεσθαι,
ἢ τῶν πλουτούντων τῆς ὑπερηφανίης.

Κράτητος τοῦ φι-
λοσόφου.

Χαῖρε θεὰ δέσποιν', ἀνδρῶν ἀγαθῶν ἀγάπημα,
Εὐτελίη, κλεινῆς ἔκγονε σωφροσύνης.
σὴν ἀρετὴν τιμῶσιν, ὅσοι τὰ δίκαι' ἀσκοῦσιν.

Θεόγνιδος.

Οὐκ ἐθέλω πλουτεῖν, οὐκ εὔχομαι. ἀλλά μοι εἴη
ζῆν ἐκ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν.

ζῆσον λογισμῷ, καὶ μενεῖς ἀνενδεής.

Ἀδήλου.

Σώματα πολλὰ τρέφειν, καὶ δώματα πόλλ' ἀνεγείρειν,
ἀτραπὸς εἰς πενίην ἐστὶν ἑτοιμοτάτη.

Ἀδήλου.

Ὦ γαστὴρ κυνόμυια, δι' ἣν κόλακες παράσιτοι,
ζωμοῦ πωλοῦσι θεσμὸν ἐλευθερίης.

## ΕΙΣ ΤΟΝ ΑΝΘΡΩΠΙΝΟΝ ΒΙΟΝ. Ἀρχίου. 13.

Θρήϊκας αἰνείτω τίς, ὅτι στοναχεῦσι μὲν υἷας
μητέρος ἐκ κόλπων πρὸς φάος ἐρχομένους.
ἔμπαλι δ' ὀλβίζουσιν, ὅσους αἰῶνα λιπόντας
ἀπροϊδὴς κηρῶν λάτρις ἔμαρψε μόρος.
οἱ μὲν, γὰρ ζώοντες, ἀεὶ παντοῖα περῶσιν
εἰς κακά, τοὶ δὲ, κακῶν εὗρον ἄκος φθίμενοι.

Ἀδήλου.

Τὸν βίον ἡράκλειτε πολὺ πλέον ἤπερ ὅτ' ἔζης
δάκρυε. νῦν ὁ βίος ἐστ' ἐλεεινότερος.
τὸν βίον ἄρτι γέλα Δημόκριτε τὸ πλέον ἢ πρίν.
νῦν ὁ βίος πάντων ἐστὶ γελοιότερος.
εἰς ὑμέας δὲ καὶ αὐτὸς ὁρῶν, τὸ μεταξὺ μεριμνῶ
πῶς ἅμα σοὶ κλαύσω, πῶς ἅμα σοὶ γελάσω.

Ποσειδίππου, οἱ δὲ, κράτητος τοῦ κωμικοῦ.

Ποίην τίς βιότοιο τάμοι τρίβον; εἰν ἀγορῇ μὲν,
νείκεα, καὶ χαλεπαὶ πρήξιες. ἐν δὲ δόμοις,
φροντίδες. ἐν δ' ἀγροῖς, καμάτων ἅλις. ἐν δὲ θαλάσσῃ,
τάρβος. ἐπὶ ξείνης δ', ἢν μὲν ἔχῃς τι, δέος.
ἢν δ' ἀπορῇς, ἀνιηρόν. ἔχεις γάμον, οὐκ ἀμέριμνος
ἔσσεαι. οὐ γαμέεις, ζῇς ἔτ' ἐρημότερος.
τέκνα, πόνοι. πήρωσις ἄπαις βίος. αἱ νεότητες,
ἄφρονες. αἱ πολιαὶ δ' ἔμπαλιν ἀδρανέες.
ἦν ἄρα τοῖν δυοῖν ἑνὸς αἵρεσις. ἢ τὸ γενέσθαι
μηδέποτ', ἢ τὸ θανεῖν αὐτίκα τικτόμενον.

Ἐκ τοῦ ἐναντίου, πιθανά. Μητροδώρου.

Παντοίην βιότοιο τάμοις τρίβον. εἰν ἀγορῇ μὲν,
κύδεα, καὶ πινυταὶ πρήξιες. ἐν δὲ δόμοις,

ἄμπαυμ'. ἐν δ' ἀγροῖς, φύσιος χάρις. ἐν δὲ θαλάσσῃ,
κέρδος. ἐπὶ ξείνης, ἢν μὲν ἔχῃς τι, κλέος.
ἢν δ' ἀπορῇς, μόνος οἶδας. ἔχεις γάμον; οἶκος ἄριστος
ἔσσεται. οὐ γαμέεις; ζῇς ἔτ' ἐλαφρότερον.
τέκνα, πόθος. ἄφροντις ἄπαις βίος. αἱ νεότητες,
ῥωμαλέαι. πολιαὶ δ' ἔμπαλιν εὐσεβέες.
οὐκ ἄρα τῶν δισσῶν ἑνὸς αἵρεσις, ἢ τὸ γενέσθαι
μηδέποτ', ἢ τὸ θανεῖν. πάντα γὰρ ἐσθλὰ βίου.

Λουκιανοῦ.

Θνητὰ τὰ τῶν θνητῶν, καὶ πάντα παρέρχεται ἡμᾶς.
ἢν δὲ μή, ἀλλ' ἡμεῖς αὐτὰ παρερχόμεθα.

Παλλαδᾶ.

Γῆς ἐπέβην γυμνός, γυμνός θ' ὑπὸ γαῖαν ἄπειμι.
καὶ τί μάτην μοχθῶ, γυμνὸν ὁρῶν τὸ τέλος;

Τοῦ αὐτοῦ.

Πλοῦς σφαλερὸς τὸ ζῆν. χειμαζόμενοι γὰρ ἐν αὐτῷ,
πολλάκι ναυηγῶν πταίομεν οἰκτρότερα.
τὴν δὲ τύχην βιότοιο κυβερνήτειραν ἔχοντες,
ὡς ἐπὶ τοῦ πελάγους ἀμφίβολοι πλέομεν.
οἱ μὲν ἐπ' εὐπλοΐην, οἱ δ' ἔμπαλιν. ἀλλ' ἅμα πάντες
εἰς ἕνα τὸν κατὰ γῆς ὅρμον ἀπερχόμεθα.

Τοῦ αὐτοῦ.

Σκηνὴ πᾶς ὁ βίος, καὶ παίγνιον. ἢ μάθε παίζειν,
τὴν σπουδὴν μεταθείς, ἢ φέρε τὰς ὀδύνας.

Τοῦ αὐτοῦ.

Εἰ τὸ φέρον σε φέρει, φέρε καὶ φέρου. εἰ δ' ἀγανακτεῖς,
καὶ σαυτὸν λυπεῖς, καὶ τὸ φέρον σε φέρει.

Τοῦ αὐτοῦ.

Δακρυχέων γενόμην, καὶ δακρύσας ἀποθνήσκω.
δάκρυσι δ' ἐν πολλοῖς τὸν βίον εὗρον ὅλον.

ὦ γένος ἀνθρώπων πολυδάκρυτον, ἀσθενές, οἰκτρόν,
συρόμενον κατὰ γῆς, καὶ διαλυόμενον.

Τοῦ αὐτοῦ.

Ω γένος ἀνθρώπων ἀνεμώλιον, αὐτοχόλωτον,
μέχρι τέλους βιότου μηδὲν ἐπιστάμενον.

Ἰουλιανοῦ.

Ηδέα πάντα κέλευθα λάχεν βίος. ἄστεϊ μέσσῳ,
εὖχος. ἑταιρεῖαι. κρυπτὰ δόμοισιν ἄκη.
ἀγρὸς τέρψιν ἄγει, κέρδος πλόος. ἀλλοδαπὴ χθὼν,
γνώσιας. ἐκ δὲ γάμων, οἶκος ὁμοφρονέει.
τοῖς δ' ἀγάμοις, ἀφροντὶς ἀεὶ βίος. ἔρκος ἐτύχθη
πατρὶ, τέκος. φροῦδος τοῖς ἀγόνοισι φόβος.
ἠνορέην νεότης, πολιὴ φρένας οἶδεν ὀπάζειν.
οὕνεκεν θάρσος ἔχων, ζῶε, φύτευε γένος.

Ἀδήλου

Πῶς τις ἄνευ θανάτου σε φύγοι βίε. μυρία γάρ σευ
λυγρά. καὶ οὔτε φυγεῖν εὐμαρὲς, οὔτε φέρειν.
ἡδέα μὲν γάρ σου τὰ φύσει καλὰ, γαῖα, θάλασσα,
ἄστρα, σεληναίης κύκλα, καὶ ἠελίου.
τἆλλα δὲ πάντα, φόβοι τε, καὶ ἄλγεα. κἤν τι πάθῃ τις
ἐσθλὸν, ἀμοιβαίην ἐκδέχεται νέμεσιν.

Ἀδήλου.

Πάντα γέλως καὶ πάντα κόνις. καὶ πάντα τὸ μηδέν.
πάντα γὰρ ἐξ ἀλόγων ἐστὶ τὰ γιγνόμενα.

Ἀδήλου.

Φροντίδες οἱ παῖδες. μέγα μὲν κακὸν εἴ τι πάθοιεν.
εἰσὶ δὲ καὶ ζῶντες φροντίδες οὐκ ὀλίγαι.
ἡ γαμετὴ, χρηστὴ μὲν, ἔχει τινὰ τέρψιν ἐν αὐτῇ.
ἡ δὲ κακὴ, πικρὸν τὸν βίον ἀνδρὶ φέρει.

Ἀδεσπότου.

Ὦ θηρῶν βροτὲ μᾶλλον ἀνήμερε, πάντα σε μισεῖ
 παντολέτορ. παύτῃ δ' ἐκδέχεταί σε μόρος.
ἢν ἐπὶ γῆς φεύγῃς, ἀγχοῦ λύκος. ἢν δὲ πρὸς ὕψος
 δενδροβατῇς, ἀσπὶς δεῖ μ' ὑπὲρ ἀκρεμόνων.
πειράζεις καὶ Νεῖλον; ὁ δ' ἐν δίναις κροκόδειλον
 ἔτρεφεν, εἰς ἀσεβεῖς θῆρα δικαιότατον.

## ΕΙΣ ΒΡΕΦΗ. Ἀρχίου. 14.

Λυσίππης ὁ νεογνὸς ἐπὶ κρημνοῦ πάϊς ἕρπων,
 ἀξυναντήτοις ἤρχετο δυσμορίης.
ἡ δὲ, μεθωδήγησεν, ἀπὸ στέρνων προφέρουσα
 μαζὸν, τὸν λιμοῦ λύτρα, καὶ θανάτου.

Ἀντιπάτρου.

Ἑρμώνιον Ἱπποκράτους ἔθανε βρέφος ἐς πλατὺ πόντου
 χεῖλος, γειτοσύνης ἕρπυσεν ἐκ καλύβης,
πλεῖον ἐπεὶ μαζῶν ἔπιεν ποτόν. ἔρρε θάλασσα,
 ἣ βρέφος ὡς μήτηρ ψεύσαο δεξαμένη.

Βιάνορος.

Ἤριπεν ἐξ ἄκρης δόμος ἀθρόος. ἀλλ' ἐπὶ παιδὶ
 νηπιάχῳ, ζεφύρου πολλὸν ἐλαφρότερος.
φείσατο κουροσύνης καὶ ἐρείπιον. ὦ μεγάλαυχοι
 μητέρος, ὠδίνων καὶ λίθος αἰσθάνεται.

## ΕΙΣ ΓΑΜΟΝ. Ἀδήλου. 15.

Εἴ τις ἅπαξ γήμας, πάλι δεύτερα λέκτρα διώκει,
 ναυηγὸς πλώει δὶς βυθὸν ἀργαλέον.

Ἀπολλωνίδου.

Πρὸς παίδων εἶπεν γουνάζομαι ἤν με θανοῦσαν
 στείλῃς, μὴ πείσαις δεύτερα φίλτρα γάμου.
εἶπεν ὁ δ' εἰς ἑτέρην ἐσπούδασεν ἀλλὰ φίλινα.

Διογένη λήθης τίσατο καὶ φθιμένη.
νυκτὶ γὰρ ἐν πρώτῃ θάλαμον χάσε μοῦνος ἄφυκτος,
ὡς μὴ λειπόμενον ἰδεῖν δεύτερον ἠέλιον.

Παύλου σιλεντιαρίου.

Καλὰ τὰ παρθενίης κειμήλια. παρθενίη δὲ,
τὸν βίον ὤλεσεν ἂν, πᾶσι φυλαττομένη.
τοὔνεκεν εὐθέσμως ἄλοχον λάβε. καί τινα κόσμῳ
δὸς βροτὸν ἀντὶ σέθεν. φεῦγε δὲ μαχλοσύνην.

Τίνας ἂν εἴποι λόγους Ἑλένη, μονομαχούντων Μενελάου, καὶ Πάριδος.

Εὐρώπης, ἀσίης τε δορυκτήτου βασιλῆος,
ὑμῖν ἀμφοτέροισιν ἤδη ξυροῦ ἵσταται ἀκμή,
τίς κεν ἐμὲ πλήθυμος ἕλοι δύστηνον ἀκοίτης.
Ζεὺς δὲ πατὴρ δικάσειεν, αὐδ[illegible] κυπρογενείης,
μὴ πάλιν ἄλλος ἕλῃ με γαμοκλόπος αἶσχος ἀχαιοῖς.

Διονυσίου.

Ὥρη ἐρᾶν, ὥρη τε γαμεῖν. ὥρη τε πεπαῦσθαι.

Αὐτομέδοντος.

Εὐδαίμων πρῶτον μὲν, ὁ μηδενὶ μηδὲν ὀφείλων.
εἶτα δ' ὁ μὴ γήμας. τὸ τρίτον, ὅστις ἄπαις.
ἢν δὲ μανεὶς γήμῃ τις, ἔχει χάριν, ἢ κατορύξῃ
εὐθὺς τὴν γαμετὴν, προῖκα λαβὼν μεγάλην.
ταῦτ' εἰδὼς, σοφὸς ἴσθι. μάτην δ' Ἐπίκουρον ἔασον
ποῦ τὸ κενὸν ζητεῖν, καὶ τίνες αἱ μονάδες.

Ἀδήλου.

Οὐκ ἔστι γήμας, ὅστις οὐ χειμάζεται.
λέγουσι πάντες, καὶ γαμοῦσιν εἰδότες.

Ἀδήλου.

Ἀρχὶς ἄρ' ἦς ἄγαμος νυμφίε, πάντα δοκεῖ σοι
ἐν τῷ ζῆν εἶναι τἀγαθὰ τῶν ἀγαθῶν.

εἶθ' ὅταν εἰσ[…]ία[…] μετὰ, πάλιν εὐθὺ δοκεῖ σοι
ἐν τῷ ζῆν εἶν' πάντα κακῶν τὰ κακά.
ἀλλὰ χάριν τεκνίων; ἕξεις νομίμως τέκνα
χαλκὸν ἔχων. πτωχὸς δ' οὐδὲ τὰ τέκνα φιλεῖ.

## ΕΙΣ ΓΗΡΑΣ, ΚΑΙ γέροντας.

Μενεκράτους. 16.

Γῆρας ἐπὰν μὲν ἀπῇ, πᾶς εὔχεται. ἢν δέ ποτ' ἔλθῃ,
μέμφεται. ἔστι δ' ἀεὶ κρεῖσσον ὀφειλόμενον.

Λουκιλλίου.

Εἴ τις γηράσας ζῆν εὔχεται, ἄξιός ἐστι
γηράσκειν πολλῶν εἰς ἐτέων δεκάδας.

Βισαντίνου.

ὤμοι ἐγὼν ἥβης, […]ήραος οὐλομένοιο.
τοῦ μὲν ἐπερχομένου, τῆς δ' ἀπονεισσομένης.

Ἀδέσποτον.

Ἂν περιληφθῇ μικρὸν ἐν ἄγγεσιν ἡδέος οἴνου,
εἰς ὀξὺ τρέπεται τοῦτο τὸ λειπόμενον.
οὕτως ἀντλήσας τὸν ὅλον βίον, εἰς βαθὺ δ' ἐλθὼν
γῆρας ὁ πρεσβύτης, γίγνεται ὀξύχολος.

Ἐπιγόνου Θεσσαλονικέως.

Ἡ πάρος εὐπετάλοισιν ἐν οἰνάνθαις νεάσασα,
καὶ τετανῶν βοτρύων ῥᾶγα κομισαμένη,
νῦν οὕτω γραῦς εἰμι. ἴδ' ὡς χρόνος οἷα δαμάζει.
καὶ σταφυλὴ γήρως αἰσθάνεται ῥυτίδων.

Ἀντιπάτρου.

Χειμέριον καίουσαν ἐφ' ἑστίῃ ἄνθρακα γρηῦν,
τὴν γρηῦν Βροντῆς ἐξεπάταξε φόβος.
πνεύμονα δὲ ψυχθεῖσα, κατήμυσεν. ἦν ἄρα μέσση
γήρως καὶ θανάτου, λειπομένη πρόφασις.

Φίλωνος.

Αἱ πολιαὶ σὺν νῷ, γεραρώτεραι. αἱ γὰρ ἄτερ νοῦ,
μᾶλλον τῶν πολλῶν εἰσὶν ὄνειδος ἐτῶν.
αἱ τρίχες, ἢν σιγᾷς, εἰσὶ φρένες· ἢν δὲ λαλήσῃς,
ὡς αἱ τῆς ἥβης, οὐ φρένες, ἀλλὰ τρίχες.

## ΕΙΣ ΓΡΑΜΜΑΤΙΚΟΥΣ.

Παλλαδᾶ εἰς τὴν ἑαυτοῦ γυναῖκα ἀνδρομάχην. 17

Μῆνιν οὐλομένην γαμετὴν ὁ τάλας γεγαμηκὼς,
καὶ παρὰ τῆς τέχνης μήνιδος ἀρξάμενος.
ὤμοι ἐγὼ πολύμηνις ἔχων διχόλωτον ἀνάγκην,
τέχνης γραμματικῆς, καὶ γαμετῆς μαχίμης.

Τοῦ αὐτοῦ.

Μῆνις ἀχιλλῆος καὶ ἐμοὶ πρόφασις γεγένηται
οὐλομένης πενίης γραμματικευσαμένῳ.
εἴθε δὲ σὺν Δαναοῖς με κατέκτανε μῆνις ἐκείνη,
πρὶν χαλεπὸς λιμὸς γραμματικῆς ὀλέσῃ.
ἀλλ᾽ ἵν᾽ ἀφαρπάξῃ βρισηΐδα κρείων ἀγαμέμνων,
τὴν δ᾽ ἑλένην ὁ Πάρις, πτωχὸς ἐγὼ γενόμην.

Τοῦ αὐτοῦ.

Ὄργανα μουσάων, τὰ πολύστονα βιβλία πωλῶ,
εἰς ἑτέρας τέχνης ἔργα μετερχόμενος.
πιερίδες σώζοισθε. λόγοι, συντάσσομαι ὑμῖν.
σύνταξις γὰρ ἐμοὶ καὶ θάνατον παρέχει.

Τοῦ αὐτοῦ.

Ἀρχὴ γραμματικῆς πεντάστιχός ἐστι κατάρα.
πρῶτος, μῆνιν ἔχει. δεύτερος, οὐλομένην.
καὶ μετὰ δ᾽ οὐλομένην, Δαναῶν πάλιν ἄλγεα πολλά.
ὁ τρίτατος, ψυχὰς εἰς ἀΐδην κατάγει.

[illegible] δὲ τετάρ[illegible] εἰς [illegible]α ἑλώρια, καὶ κύνες ἀργοί.
πέμπτῳ δ', οἰωνοί, καὶ χόλος ἐστὶ Διός.
πῶς οὖν γραμματικὸς δύναται μετὰ πέντε κατάρας,
καὶ πέντε πτώσεις, μὴ μέγα πένθος ἔχειν;

Τοῦ αὐτοῦ.

Καλλίμαχον πωλῶ καὶ Πίνδαρον, ἠδὲ καὶ αὐτὰς
πτώσεις γραμματικῆς, πτῶσιν ἔχων πενίης.
Δωρόθεος γὰρ ἐμὴν τροφίμην σύνταξιν ἔλυσεν.
ὥστε με οὔτε πιεῖν, τοὔτε φαγεῖν ἀπορεῖν.
[illegible]κα σύ μοι πρόστηθι θεῷ φίλε. μὴ δέ μ' ἐάσῃς
συνδέσμῳ πενίης τὸν βίον ἐξανύσαι.

Εὐπιθίου ἀθηναίου στήξαντος τὴν καθόλου.

Ταυτολόγων κανόνων φεῦ πληθύος, ἠδ' ἀϊδήλων
ξυσμάτων, λεπ[illegible]ς ἐχάραξε δόναξ.
ὄμματά μου κέκμηκε. τέων. ῥάχις. ἐνίον. ὤμοι.
τῆς καθόλου δὲ φέρω τὴν ὀδύνην καθόλου.

Παλλαδᾶ.

Λίτραν ἐτῶν ζήσας μετὰ γραμματικῆς βαρυμόχθου,
βουλευτὴς νεκύων πέμπομαι εἰς Ἀΐδην.

Τοῦ αὐτοῦ.

Ἐνθάδε παιδεύουσιν ὅσοις κεχόλωτο Σάραπις,
τοῖσιν ἀπ' οὐλομένης μήνιδος ἀρχομένοις.
ἔνθα τροφὸς κατὰ μῆνα φέρει μισθὸν μετ' ἀνάγκης,
βίβλῳ καὶ χάρτῃ δησαμένη πενίην.
ὡς δὲ κάπνισμα τιθεῖ παρὰ τὸν θρόνον, ὡς παρὰ τύμβον,
τὸν σμικρὸν χάρτην, τὸν παραπτόμενον.

Στίχοι ἔχοντες τὰ εἰκοσι-
τέσσαρα στοιχεῖα.

Ἀβροχίτων δ' ὁ φύλαξ, θυροζυγοκαμψιμέτωπος.
Ἀβρὸς δ' ἐν πλοχμοῖς κύκλωψ φθογγάζετο μύρμηξ.

ALEXANDER ... ARAGONUM ... FERDINANDUS ...

## ΕΙΣ ΓΡΑΦΙΔΑ. 18.

Ἤμην ἀχρεῖον κάλαμος φυτόν. ἐκ γὰρ ἐμεῖο,
 οὐ σῦκ', οὐ μῆλον φύεται, οὐ σταφυλή.
ἀλλά μ' ἀνὴρ ἐμύησ' Ἑλικωνίδα, λεπτὰ τορήσας
 χείλεα, καὶ στεινὸν ῥοῦν ὀχετευσάμενος.
κἐδε τοι, εὖτε πίοιμι μέλαν ποτὸν, ἔνθεος οἷα
 πᾶν ἔπος ἀφθέγκτῳ τῷδε λέγω στόματι.

## ΕΙΣ ΓΥΝΑΙΚΑΣ. Παλλαδᾶ. 19.

Ὀργὴ τοῦ Διός ἐστι γυνὴ, πυρὸς ἀντιδοθεῖσα,
 δῶρον ἀνιηρὸν, τοῦ πυρὸς ἀντίδοτον.
ἄνδρα γὰρ ἐκκαίει ταῖς φροντίσιν, ἠδὲ μαραίνει.
 καὶ γῆρας προπετὲς τῇ νεό... φέρει.
οὐδ' ὁ Ζεὺς ἀμέριμνος ἔχει χρυσόθρονον Ἥρην.
 πολλάκι γοῦν αὐτὴν ῥίψεν ἀπ' ἀθανάτων,
ἠέρι, καὶ νεφέλῃσι μετήορον. οἶδεν Ὅμηρος
 καὶ Δία συγγράψας τῇ γαμετῇ χόλιον.
οὕτως οὐδέποτ' ἐστὶ γυνὴ σύμφωνος ἀκοίτῃ,
 οὐδὲ καὶ ἐν χρυσέῳ μιγνυμένη δαπέδῳ.

Τοῦ αὐτοῦ.

Πᾶσαν Ὅμηρος ἔδειξε κακὴν, σφαλερήν τε γυναῖκα.
 σώφρονα, καὶ πόρνην, ἀμφοτέρας ὄλεθρον.
ἐκ γὰρ τῆς Ἑλένης μοιχευσαμένης, φόνος ἀνδρῶν.
 καὶ διὰ σωφροσύνην Πηνελόπης, θάνατοι.
Ἰλιὰς οὖν τὸ πόνημα, μιᾶς χάριν ἐστὶ γυναικός.
 αὐτὰρ ὀδυσσείῃ Πηνελόπη πρόφασις.

Τοῦ αὐτοῦ.

Ὁ Ζεὺς ἀντὶ πυρὸς πῦρ ὤπασεν ἄλλο γυναῖκας.
 εἴθε δὲ μήτε γυνὴ, μήτε τὸ πῦρ ἐφάνη.

πῦρ μὲν ἀπ... καὶ σβέννυται. ἡ δὲ γυνὴ πῦρ
ἄσβεστον, φλογερὸν, πάντοτ' ἀναπτόμενον.

Τοῦ αὐτοῦ.

Ἂν πάνυ κομπάζῃς προστάγματι μὴ ὑπακούειν
τῆς γαμετῆς, ληρεῖς, οὐ γὰρ ἀπὸ δρυὸς εἶ,
οὐδ' ἀπὸ πέτρης φησίν. ὃ οἱ πολλοὶ κατ' ἀνάγκην
πάσχομεν. εἰ πάντες καὶ σὺ γυναικοκρατῇ.
εἰ δ' οὐ σανδαλίῳ φῂς τύπτομαι, οὐδ' ἀκολάστου
οὔσης μοι γαμετῆς χρή με μύσαντα φέρειν,
σύνδουλόν σε λέγω μετριώτερον, εἴγε πέπρασαι
σώφρονι δεσποίνῃ, μὴ δὲ λίην χαλεπῇ.

Μακεδονίου ὑπάτου.

Ἔπλεον ἄρτι τάφοιο καὶ ἤθελον αὐτὸς ἀκοῦσαι
οἷα πρὶν ὠισάμην μοῖραν ἐμῆς ἀλόχου.
ἔπλεον εἰς ἀνέμους. ἄλοχον δέ μοι ὅτι κιχάνει
λυγρὸν ἐν ἀνθρώποις. οὐ νόσος. οὐ θάνατος.

Εἰς Ἀγαμέμνονα.

Ἑλλάδος εὐναετῆρος ἀμεμφέος ἡγεμονῆος,
μηκέτι πιστὰ φέροιτε γυναιξὶ δολοφρονεούσαις.
θηλυτέρη μ' ἐδάμασσε, τὸν, οὐ κτάνε δήιος Ἕκτωρ.

ΕΙΣ ΔΕΝΔΡΑ. Ἀντιπάτρου,
οἱ δὲ, Πλάτωνος. 20.

Εἰνοδίην καρύην με παρερχομένοις ἐφύτευσαν
παισὶ λιθοβλήτου παίγνιον εὐστοχίης.
πάντας δ' ἀκρέμονάς τε, καὶ εὐθαλέας ὀροδάμνους,
κέκλασμαι, πυκιναῖς χερμάσι βαλλομένη.
δένδρεσιν εὐκάρποις οὐδὲν πλέον. ἡ γὰρ ἔγωγε
δυσδαίμων, ὃν ἐμὴν ὕβριν ἐκαρποφόρουν.

Καλλινίου.

[illegible]παιρος ἐν δρυμοῖσιν ὅθ' ἦς ζείδωρο[illegible] [illegible]ώρης
ἀχράς, ἀγροβότου πρέμνον ἐρημοσύνης.
ὀθνείοις ὄζοισι μετέμφυτος, ἥμερα θάλλω,
οὐκ ἐμὸν ἡμετέροις κλωσὶ φέρουσα βάρος.
πολλή σοι φυτοεργὲ πόνου χάρις. εἵνεκα σεῖο
ἀχρὰς ἐν εὐκάρποις δένδρεσιν ἐγγράφομαι.

Λεωνίδου.

Μή μέμψῃ μ' ἀπέπειρον ἀεὶ θάλλουσαν ὀπώρην
ἀχράδα, τὴν καρποῖς πάντοτε βριθομένην.
ὁππόσα γὰρ κλαδέοισι πεπαίνομεν, ἄλλος ὑφέλκει.
ὁππόσα δ' ὠμὰ μένει, μητρὶ προσκρέμαται.

Φιλίππου.

Τὸν φιλοπωριστὴν Δημόκριτον [illegible]
ἄνθρωπ', ἄγγειλον τοῦτο τὸ κοῦφον ἔπος,
ὡς ἡ λυκόπωρος ἐγώ, καὶ ἐφώριος ἤδη,
κείνου συκοφορῶ τὰς ἀπύρους ἀκόλους.
αὐδάσατο, οὐκ ἐχυρὴν γὰρ ἔχω στάσιν, εἴπερ ὀπώρην
ἀκρήτου χρήζει δρέψαι ἀπ' ἀκρέμονος.

Λεωνίδου.

Αὐτοτελεῖς καρποὺς ἀποτέμνομαι. ἀλλὰ πεπείρους
πάντοτε. μὴ σκληροῖς τύπτετε χερμαδίοις.
μηνίσει καὶ Βάκχος ἐνυβρίζοντι τὰ κείνου
ἔργα. λυκούργειος μὴ λαθέτω σε τύχη.

Ἀντιφίλου Βυζαντίου.

Κλῶνες ἀπηόριοι τανάης δρυός, ὑψίσκιον ὕψος
ἀνδράσιν ἄκρητον καῦμα φυλασσομένοις,
εὐπέταλοι, κεράμων στεγανώτεροι, οἰκία φαττῶν,
οἰκία τεττίγων, ἔνδιοι ἀκρέμονες,
κἀμὲ τὸν ὑμετέρῃσιν ὑποκλινθέντα κόμῃσι,
ῥύσασθ', ἀκτίνων ἠελίου φυγάδα.

Ζωνᾶ.

Φείδεο τὰν βαλάνων τὰν ματέρα φείδεο κόπ]ευ.
φείδεο. γηραλέαν δ' ἐκκόλαπ]ε πίτυν,
ἢ πεύκαν, ἢ τάνδε πολυστέλεχον παλίουρον,
ἢ πρῖνον, ἢ τὰν αὐαλέαν κόμαρον.
τηλόθι δ' ἴσχε δρυὸς πέλεκυν. κόκκυξ γὰρ ἔλεξαν
ἁμῖν, ὡς πρότεραι ματέρες ἐντὶ δρύες.

Αδέσποτον.

Παλλάδος εἰμὶ φυτὸν, Βρομίου τί με θλίβετε κλῶνες;
αἴρετε τοὺς βότρυας. παρθένος οὐ μεθύω.

Φιλίππου.

Φοῖβον ἀνιναμένη ποτὲ Δάφνη, νῦν ἀνέτειλε
Καίσαρος ἐκ βωμοῦ, κλῶνα μελαμπέταλον.
σε θεοῦ θεὸν εὑρομένη μείνονα. λητοΐδην γὰρ
ἐχθήρασα φιλεῖ Ζῆνα τὸν αἰνεάδην.
ῥίζαν δ' οὐκ ἀπὸ γῆς μητρὸς βάλεν, ἀλλ' ἀπὸ πέτρης.
Καίσαρι μὴ τίκτειν οὐδὲ λίθος δύναται.

Εἰς δάφνην ἀξίνῃ κοπτομένην.

Ποῖ φοῖβος πεπόρευτο, ἄρης ὅτ' ἐμίγνυτο δάφνη.

Εἰς κλινάριον πόρνης ἀπὸ δάφνης.

Λέκτρον ἑνὸς φεύγουσα, λέχος πολλοῖσιν ἐτύχθην.

Ερμοκρέοντος.

Ἴσθι ὑπὸ σκιερὰν πλάτανον ξένε ταῦ δε παρέρπων,
ἇς ἁπαλὰ ζέφυρος πνεύματι φύλλα δονεῖ.
ἔνθα με Νικαγόρας κλυτὸν εἵσατο μαιάδος ἑρμᾶν,
ἀγροῦ καρποτόκου ῥύτορα, καὶ κτεάνων.

Ως ἀπὸ Πανός.

Ἔρχεο, καὶ κατ' ἐμὰν ἵζευ πίτυν. ἃ τὸ μελιχρὸν
πρὸς μαλακοὺς ἠχεῖ κεκλιμένα ζεφύρους.
ἠνὶ δὲ καὶ κρούνισμα μελισταγές. ἔνθα μελίσδων,
ἡδὺν ἐρημαίοις ὕπνον ἄγω καλάμοις.

Πλάτωνος.

Ὑψίκομον παρὰ τάνδε καθίζεο φωνήεσσαν
φρίσσουσαν πυκινοῖς κῶμον ὑπὸ ζεφύροις.
καί σοι καγχλάζουσιν ἐμοῖς παρὰ νάμασι σύριγξ
θελγομένῳ, ἄξει κῶμα κατὰ βλεφάρων.

Εἰς Ἴωνα θανόντα ὑπὸ πλησμονῆς
περσικῶν μήλων.

Ἐκ φωνίων περσῶν φόνιον φυτὸν ἤγαγε περσεὺς
παιδὶ θνεογνώστου τοῦ θανάτου πρόφασιν.

Εἰς ἀναδενδράδα.

Ὄγχνη χειρὸς ἐμῆς γλυκερὸς πόνος. ἣ μὲν ἐφ' ὑγρῷ
φλοιῷ φλοιὸν ἔδησα θέρει. πρόρθον δ' αὖθι δένδρῳ
ῥιζώθη. δένδρου δὲ τὸ μὴ, καὶ καρπὸν ἀμείβων.
νέρθε μὲν ἀχρὰς ἔτ' οὖσα, ὑπερθ[illegible]ρουπνοος ὄγχν[illegible]

Ἀδηλον.

Δάφναις, καὶ μύρτοισι, καὶ εὐώδει κυπαρίσσῳ,
ἔνθα πέριξ κέχυται βοτρυόπαις ἕλικι
ἄμπελος. εἰαρινοὶ δὲ λιγυφθόγγοισιν ἀοιδαῖς
κόσσυφοι ἀχεῦσιν ποικιλότραυλα μέλη.
ξουθαὶ ἀηδονίδες μινυρίσμασιν ἀντιαχεῦσι,
μέλπουσαι στόμασιν τὰν μελίγηρυν ὄπα.

Ἀδηλον.

Ἵζευ ἅπας ὑπὸ τῆσδε δάφνης εὐθαλέα φύλλα,
ὡραίου τ' ἄρυσαι νάματος ἡδὺ πόμα.
ὄφρα τοι ἀσθμαίνοντα πόνοις θέρεος φίλα γυῖα,
ἀμπαύσῃς πνοιῇ τυπτόμενα ζεφύρου.

Ἀντιφίλου.

Μῆλον ἐγὼ στρούθειον ἀφ' ὁπλοτέρης ἔτι ποίης,
ὥριον ἐν νεαρῷ χρωτὶ φυλασσόμενον,
ἄσπιλον, ἀρρυτίδωτον, ἰσόχνοον ἀρτιγόνοισιν,
ἀκμὴν εὐπετάλοις συμφυὲς ἀκρέμοσιν,

ὡς χειμερίης παύ... γέρας. εἰς σὲ δ' ἀνάσσαν
βίλω, χ' ὠνιφόρος κρυμὸς, ὀπωροφορεῖ.

## ΕΙΣ ΔΙΚΑΙΟΣΥΝΗΝ.

Αδηλον. 21.

Τίς σε δικαιοσύνη βροτὸς ἤκαχεν; οὗτος ὁ κλέπτης
ἐνθάδε με στήσας, οὐδὲν ἔχων πρὸς ἐμέ.

Ἰουλιανοῦ ἀπὸ ὑπάρχων αἰγυπτίου.

Ἤθελε μὲν βασιλεύς σε βοηθόον εἰσέτι πέμπειν
... δευομένων μερόπων,
... χρύσεια. σὺ δ' ἐν βοιότοιο γαλήνῃ
πατρίδα, καὶ κλῆρον σὸν προβέβουλας ἔχειν,
αὔξων σῶν προγόνων κτέρας ἔνδικον. ἀρχομένων γὰρ
... ξύνθρονος οὐδὲ δίκη.

Λεωνίδου εἰς τραπεζίτην Καῖκον δικασυρτικόν.

... καὶ ξείνοισιν ἴσον νέμει ἅδε τράπεζα.
θείς, ἀνελοῦ, ψήφου πρὸς λόγον ἐρχομένης.
ἄλλός τις πρόφασιν λεγέτω. τὰ δ' ὀθνεῖα Καῖκος
χρήματα, καὶ νυκτὸς βουλομένοις ἀριθμεῖ.

## ΕΙΣ ΔΙΚΗΝ. ἐν ᾧ καὶ εἰς πρόνοιαν.

Αδηλον. 22.

Ἀσπὶδ' ἀχιλλῆος τὴν ἕκτορος αἷμα πιοῦσαν,
Λαρτιάδης δαναῶν εἷλε κακοκρισίῃ.
ναυηγοῦ δὲ θάλασσα κατέσπασε, καὶ περὶ τύμβον
Αἴαντος νηκτὴν ὥρμισεν, οὐκ ἰθάκῃ.

Εἰς τὸ αὐτό.

Καλὰ ποσειδάων δίκασεν πολὺ μᾶλλον ἀθλώης.
καὶ κρίσιν ἑλλήνων, συγχρὴν ἀπέδειξε θάλασσα.
ἀσπὶς ἐν αἰγιαλοῖσι βοᾷ, καὶ σῆμα τινάσσει,

FERDINANDUS ARAGONUM ALEXANDER REX

αὐτόν σ' ἐκκαλέσσαι τὸν ἄξιον ἀ[...]τιδ[...]την,
[...]ρεο παῖ Τελαμῶνος. ἔχεις σάκος αἰακίδαο.

Ἀδήλου.

Κρανίον ἐν τριόδοισι κατοιχομένου τις ἐσαθρῶν,
κα εἰκόνα τὴν κοινὴν οὐκ ἐδάκρυσε βίου.
δεξιτερὴν δ' ἔρριψεν ἐπὶ χθόνα, καὶ λίθον ἧκε,
κωφὸν μὲν δονέοντ', ἀλλὰ πνέοντα δίκης.
ὀστέον ὡς γὰρ ἔπληξεν, ἀφήλατο, καὶ τὸν ἀφέντα
πήρωσε, γλυκεροῦ βλέμματος ὀρφανίσας.
καὶ πάλιν εἰς ἀΐδην ἐκόλαζε τ[...] σε
ἔκλαυσεν χειρῶν δύστυχον ἀφροσύνην.

Βιάνορος.

Ἀγγελίην παρ Ζηνὸς ἐπεὶ φέρεν ἡροδιωνῷ
αἰετὸς, οἰωνῶν μοῦνος ἐνουρα[...]
οὐκ ἔφθη τὸν κρῆτα. θοὴν δ' ἐνετείνατο νευρήν.
τῆλε ὃ μὲν δ' ὁ πτερόεις ἰὸς ἐληΐσατο.
ζηνὸς δ' οὔτι δίκην ἔλαθεν νόμος. ἔμπεσε δ' ὄρνις
αὐτῷ. τὰ δ' ὀξυχέος αὐτὰ πέτησε βέλη,
αὐχένι δ' ἰὸν ἔπηξεν, ὃν ἥπατι κοίμισεν αὐτός.
ἐν δὲ βέλος, δισσῶν αἷμ' ἔπιεν θανάτων.

Φιλίππου.

Βαιὸν ἀποπλανίην λιπομήτορα παῖδα κορύπτης
κριὸς ἑλιξόκερως, θεῖνε θρασυνόμενος.
κάπρος δ' ἡρακλῆος ἀπορρήξας ἀπὸ δεσμῶν,
οὗ νηδὺν κριοῦ πᾶσαν ἔβλαψε γένυι.
ζωὴν νηπιάχῳ δ' ἐχαρίσατο. ἆρ' ἀπὸ ἥρως
ἡρακλέης βρέφεων ὤκτισεν ἡλικίην.

Ἀπολλωνίδου.

Γήθησαν ποθὲ παιδὸς ἀριστίπποιο τοκῆες,
καὶ κλαῦσαν. μοίρης δ' ἦμαρ ἐν ἀμφοτέρης.

[illegible] γὰρ αἰθόμενον ζωμὸν ἐκφύγῃ, εὐθὺ κεραυνῷ
Ζεὺς κατά οἱ κεφαλῆς ἄσπετον ἧκε σέλας.
τοῦτο δ' ἔπος τότ' ἔλεξαν, ὅσοι νέκυν ὠδύροντο,
ὦ πυρὶ Λακωνίῳ τλῆμον ὀφλόμενε.

Τοῦ αὐτοῦ.

[illegible]ρτυγίης Διὸς ὄρνις ἐπίστατο κρῆτα φαρέτρης,
οὐρανόθεν τόξῳ τόξον ἀμυνόμενος.
κεῖνον δ' εὐθὺς ἄκοντι παλινδρομέοντι κατέκτα.
[illegible] δ' ἔκταν', ὡς ἔθανεν.
[illegible]κετ' ἐφ' ὑμετέροις ἀψιδέσι κρῆτες ὀϊστοῖς
αὐχεῖθ' ὑμετέροις καὶ Διὸς ἡνιοχίη.

Ἀρχίου.

[illegible] κινοῦντι μελαύτερος αἰθέρι νωμῶν,
σκορπίον ἐκ γαίης [illegible] θορόντα κόραξ.
ὃν μάρψων ὤρουσεν. ὁ δ' ἀΐξαντος ἐπ' οὔδας,
οὐ βραδὺς, εὐθὺν πτέρυγ' ἔτυψε βέλει,
καὶ ζωῆς μιν ἄμερσεν. ἴδ' ὅσσον ἔτευχεν ἐπ' ἄλλῳ,
ἐκ κείνου τλήμων αὐτὸς ἐδέκτο μόρον.

Ἀδήλου.

Ἀνδροφόνῳ σαθρὸν παρὰ τειχίον ὑπνώοντι,
νυκτὸς ἐπιστῆναι φασὶ Σάραπιν ὄναρ,
καὶ χρησμῳδῆσαι, κατακείμενος οὗτος, ἀνίστω,
καὶ κοιμῶ μεταβὰς ὦ τάλας ἀλλαχόθι.
ὃς δὲ, διυπνισθεὶς, μετέβη. τὸ δὲ σαθρὸν ἐκεῖνο
τειχίον, ἐξαίφνης εὐθὺς ἔκειτο χαμαί.
σῶστρα δ' ἕωθεν ἔθυε θεοῖς χαίρων ὁ κακοῦργος,
ἥδεσθαι νομίσας τὸν θεὸν ἀνδροφόνοις.
ἀλλ' ὁ Σάραπις ἔχρησε πάλιν διὰ νυκτὸς ἐπιστάς,
κήδεσθαί με δοκεῖς ἄθλιε τῶν ἀδίκων,



ALEXAN[illegible] · FERDINANDUS · DUX CALABRIAE · REX ARAGONUM

εἰ μὴ νῦν σε μέθηκα θανεῖν, θάνατον μὲν ἄλυπον
νῦν ἔφυγες. σταυρῷ δ' ἴσθι φυλαττόμενος.

Τυλλίου γεμίνου.

Σμίνθος ὁ παντοίης δαιτὸς λίχνος, οὐδὲ μυάγρης
δειλὸς, ὁ καὶ θανάτου κέρδεα ληϊζόμενος,
νευρολάλου φοίβου χορδὴν θρίσεν. ἡ δ' ὑπὸ πῆχυν
ἑλκομένη, θηρὸς λαιμὸν ἀπεβρόχισεν.
τόξων εὐστοχίην θαυμάζομεν. ὃς δὲ, κατ' ἐχθρῶν
ἤδη καὶ κιθάρην εὔστοχον ὅπλον ἔχει.

Βιανορος.

Ἰχθύσι, καὶ ποταμῷ Κλειτώνυμον ἐχθρὸς ὅμιλος
ὦσεν, ὅτ' εἰς ἄκρην ἦλθε τυραννοφόνος.
ἀλλὰ δίκα μιν ἔθαψεν. ἀπε[illegible] ὄνθη
πᾶν δέμας ἐν κορυφὴν ἐκ ποδὸς ἐκπέρισεν.
κεῖται δ' οὐχ ὑδάτεσσι διάβροχος. αἰδομένα δὲ
γᾶ, κεύθει τὸν ἑᾶς ὅρμον ἐλευθερίας.

ΕΙΣ ΔΥΣΠΡΑΓΙΑΝ. Φιλίππου 23.

Ἕβρου θρηϊκίου κρυμῷ πεπεδημένον ὕδωρ,
νήπιος ἐμβαίνων, οὐκ ἔφυγεν θάνατον.
ἐν ποταμὸν δ' ἤδη λαγαρούμενον ἴχνος ὀλισθὼν,
κρυμῷ τοὺς ἁπαλοὺς αὐχένας ἀμφεκάρη.
καὶ τὸ μὲν, ὀξεσύρη λοιπὸν δέμας. ἡ δὲ μένουσα
ὄψις, ἀναγκαίην εἶχε τάφου πρόφασιν.
δύσμορος. ἧς ὠδῖνα διείλετο πῦρ τε, καὶ ὕδωρ.
ἀμφοτέρων δὲ δοκῶν, οὐδενός ἐστιν ὅλος.

Ἀντιπάτρου.

Εἶχον ἀριστείδης ὁ Βοηέρριος, οὐκ ἀπὸ πολλῶν
πολλὰ, μιῆς δ' οἴος, καὶ βοὸς εὐπορίην.

ἀλλὰ γὰρ οὐδ' ὁ πεν[illegible]ς ἔφυγε φθόνον. ἤματι δ' αὐτῷ
θηρσὶν, ὄιν. τὴν βοῦν δ' ὤλεσε δυστοκίη.
μισήσας δ' αὐλιχὲς ἐπαύλιον ἅμματι πήρης,
ἐκ ταύτης βιοτὴν ἀγχάδος ἐκρέμασεν.

Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.

Πλοῦτος Ἀριστείδῃ δάμαλις μία, καὶ τριχόμαλλος
ἦν ὄις. ἐκ τούτων λιμὸν ἔλαυνε θύρης.
ἤμβροτε δ' ἀμφοτέρων. ἀμνὴν, λύκος ἔκτανεν. ὠδὶς,
τὴν δάμαλιν. πενίης δ' ὤλετο βουκόλιον.
[illegible] ἱμάντι κατ' αὐχένος ἅμμα λυγώσας,
οἰκτρὸς ἀμυκήτῳ κάτθανε πὰρ καλύβῃ.

Φιλίππου εἰς τὸ αὐτό.

Ἠρίθμει πολὺν ὄλβον Ἀριστείδης ὁ πενιχρός.
[illegible] οἶν, ὡς ποιμν[illegible] ὴν βόα δ', ὡς ἀγέλην.
τὰ λοιπὰ ὡς τὰ πρὸ αὐτοῦ ἤμβροτε, καὶ ἑξῆς.

Αἱ τρισσαί ποτε παῖδες ἐν ἀλλήλῃσιν ἔπαιζον
κλήρῳ, τίς προτέρη βήσεται εἰς ἀΐδην.
καὶ τρεῖς μὲν χειρῶν ἔβαλον κύβον. ἦλθε δὲ πασέων,
ἐν μίαν. ἡ δ' ἐγέλα κλῆρον ὀφειλόμενον.
ἐκ τέγεος δ' ἄρ' ἄελπτον ἀπωλίσθησε πέσημα.
δύσμορος. εἰς ἀΐδην δ' ἤλυθεν, ὡς ἔλαχεν.
ἀψευδὴς ὁ κλῆρος, ὅτῳ κακόν. ἐν δὲ τὸ λῷον,
οὔτ' εὐχαὶ θνητοῖς εὔστοχοι, οὔτε χέρες.

Ἀπολλωνίδου.

Δειματόεις ἐλάφων κραδαὸς λόχος, εὖτε κρυώδεις
πλῆσαν ὀρῶν κορυφὰς χιόνεαι νιφάδες,
δείλαιαι ποταμοῖσιν ἐφώρμισαν ἐλπίσι χρησταῖς,
χλιῆναι νοτεροῖς ἄσθμασιν ὠκὺ γόνυ.



ALEXANDRI ... ARAGONUM ... FERDINANDI ...

τὰς δὲ, πολυφράξας ἐχθρὸς ἔρος ... ἄφνω,
χειμέριη συγκρὺ δῆσε πάγοιο πέδη.
πληθὺς δ' ἀγροτέρων ἀλίνη θοινήσατο θήρης,
ἢ φύγεν ἀρπεδόνην πολλάκι, καὶ σαλίνας.

Αντιφάνους.

Δυσμοίρων θαλάμων ἐπὶ πασάσιν οὐχ ὑμέναιος.
ἀλλ' αἴδης ἔστη πικρογάμου πετάλης.
δείματι γὰρ Μόβοιν πρωτόζυγα κύπριν αὖ ὄρφνην
φεύγουσαν ξεινὸν παρθενικῆσι φόβον,
φρουροδόμοι νηλεῖς κύνες ἔκτανον ... σε γυναῖκα
ἐλπὶς ἰδεῖν, ἄφνης ἔχομεν οὐδὲ νέκυν.

Λουκιανοῦ.

Τοῖσι μὲν εὖ πράττουσι, πᾶς ὁ βίος βραχύς ἐστι.
τοῖς δὲ κακῶς, μία νὺξ ἄπλ... χρόνος.

ΕΙΣ ΕΛΕΟΝ. Φιλίππου. 24.

Καὶ τὸν ἀρουραῖον γυητόμον αὔλακα τέμνει
μηροτυπεῖ κέντρῳ πειθομένη δάμαλις,
καὶ μετ' ἀροτροπόνου ζεύγλας πέλει τῶν νεοθηλεῖ
πινομένη μόσχῳ, δεύτερον ἄλγος ἔχει.
μὴ θλῖψης αὐτὴν ὁ γεωμόρος οὗτος ὁ βέβαιος
μόσχος ἐὰν φείσῃ, σοὶ τρέφεται δάμαλις.

Τίνας ἂν εἴποι λόγους Μελέαγρος, βοὸς
μέλλοντος θύεσθαι τῷ Διὶ,
καὶ μυκωμένου.

Αὐτὸς ὁ βοῦς ἱκέτης ἐπιβώμιος αἰθέριε Ζεῦ,
μυκᾶται, ψυχὴν ῥυόμενος θανάτου.
ἀλλὰ μέθου κρονίδη τὸν ἀροτρέα. καὶ σὺ γὰρ αὐτὸς
πορθμεὺς Εὐρώπης ταῦρος ἄναξ ἐγένου.

[library stamp]

## ΕΙΣ ΕΛΠΙΔΑΣ. Ἰουλίου πολυαίνου. 25.

Ἐλπὶς ἀεὶ βιότοιο κλέπτει νόον. ἡ πυμάτη δὲ
ἠὼς, τὰς πολλὰς ἔφθασεν ἀσχολίας.

Ἀδήλου.

Ἐλπὶς, καὶ σὺ τύχη, μέγα χαίρετε. τὴν ὁδὸν εὗρον.
οὐκ ἔτι γὰρ σφετέροις ἐπιτέρπομαι. ἔρρετε ἄμφω,
οὕνεκεν ἐν μερόπεσσι πολυπλανέες μάλα ἐστέ.
ὅσσα γὰρ ἀτρεκέως οὐκ ἔσσεται, ὔμμες ἐν ἡμῖν
φάσματα ὡς ἐν ὕπνῳ ἐμβάλλετε οἷα τ' ἐόντα.
ἔρρε κακὴ γλυκὴ, πολυώδυνε. ἔρρετε ἄμφω.
παίζοιτε, στροφέοιτε, ὅσους ἐμεῦ ὕστερον ὄντας,
εὕροιτ' οὐ νοέοντας ὅπερ θέμις ἐστὶ νοῆσαι.

Ἀδήλου.

Ἐλπίδα, καὶ Νέμεσιν ἴσους παρὰ βωμὸν ἔτευξα
τὴν μὲν, ἵν' ἐλπίζῃς. τὴν δ', ἵνα μηδὲν ἔχῃς.

Μακεδονίου ὑπάτου.

Εἰ βίον ἐν μερόπεσσι τύχης παίζουσιν ἑταῖραι
ἐλπίδες, ἀμβολάδην πάντα χαριζόμεναι,
παίζομαι, εἰ βροτός εἰμι. βροτὸς δ' εὖ οἶδα καὶ αὐτὸς,
θνητὸς ἐών. δολιχαῖς δ' ἐλπίσι παιζόμενος,
αὐτὸς ἑκοντὶ γέγηθα πλανώμενος. οὐδὲ γενοίμην
εἰς κρίσιν ἡμετέρην πικρὸς ἀριστοτέλης.
τὴν γὰρ ἀνακρείοντος ἐνὶ πραπίδεσσι φυλάσσω
παρφασίην, ὅτι δεῖ φροντίδα μὴ κατέχειν.

Τοῦ αὐτοῦ.

Πανδώρης ὁρόων γελόω πίθον. οὐδὲ γυναῖκα
μέμφομαι, ἀλλ' αὐτῶν τὰ πτερὰ τῶν ἀγαθῶν.
ὡς γὰρ ἐπ' οὐλύμποιο μετὰ χθονὸς ἤθεα πάσης
πωτῶνται, πίπτειν καὶ κατὰ γῆν ὄφελον.



REX ... ARAGONUM · ALEXANDER ... FERDINANDUS

ἡ δὲ μνῆ μετὰ πῶμα κατωχήσατο τῆς ἰας,
ὤλεσεν ἀγλαΐην ὧν ἔφερεν χαρίτων.
ἀμφοτέρων δ' ἥμαρτεν ὁ νῦν βίος, ὅτι καὶ αὐτὴν
γηράσκουσαν ἔχει, καὶ πίθος οὐδὲν ἔχει.

## ΕΠΑΙΝΟΙ. Αδήλου. 26.

Μουσάων ἑλικωνιάδων ἀρχώμεθ' ἀείδειν,
ἔγραφε ποιμαίνων ὡς λόγος ἡσίοδος.
μῆνιν ἄειδε θεά, καὶ ἄνδρα μοι ἔννεπε μοῦσα,
εἶπεν ὁμηρείῳ Καλλιόπη στόματι.
κἀμὲ δὲ δεῖ γράψαι τι προοίμιον. ἀλλὰ τί γράψω,
δεύτερον ἐκδιδοῦναι βιβλίον ἀρχόμενος;
μοῦσαι ὀλυμπιάδες, κοῦραι διός, οὐκ ἂν ἐσώθη,
εἰ μή μοι Καῖσαρ χαλκὸν ἔδωκε Νέρων.

Διοδώρου σαρδιανοῦ
τοῦ Διοπείθους.

Αἰγιβότου σκύροιο λιπὼν πέδον, ἴλιον ἔπλων
οἷος ἀχιλλείδης πρόσθε Νεοπτόλεμος,
τοῖος ἐν αἰνεάδῃσι Νέρων ἀγὸς ἄστυ ῥέμοιο
νεῖται ἐπ' ὠκυρόην θύμβρην ἀμειψάμενος,
κοῦρος, ἔτ' ἀρτιγένειον ἔχων χνόον. ἀλλ' ὁ μὲν, ἔγχει
θοῦρος. ὅδ' ἀμφοτέροις, καὶ δορὶ καὶ σοφίῃ.

Απολλωνίδου.

Ηδὺ παρηΐδων πρῶτον θέρος ἤματι τούτῳ
κείρεο, καὶ γενύων ἤϊθέους ἕλικας
γαῖε. σὸν δὲ πατὴρ χερὶ δέξεται οὔκετι ἴουλον
Λεύκιος, αὐξομένου πουλὺν ἐς ἠέλιον.
δωρεῦνται χρυσέοισιν. ἐγὼ δ' ἱλαροῖς ἐλέγοισιν.
οὐ γὰρ δὴ πλούτου μοῦσα χερειοτέρη.

Αδηλου.

ἐσθλὰ λέγειν αἰεὶ πάντας, καλόν. αἰσχρὰ δὲ, δεινὸν
κἂν ὦσιν τούτων ἄξιοι, ὧν λέγομεν.

Αντιπάτρου.

Σοί με Θρηϊκίης σκυληφόρε Θεσσαλονίκη,
μήτηρ ἡ πάσης πέμψε Μακηδονίης.
ἀείδω δ᾽ ὑπὸ σοὶ δεδμημένον ἄρεα Βέσσων,
ὅσσ᾽ ἐδάην πολέμου πάντ᾽ ἀναλεξάμενος.
ἀλλά μοι ὡς θεὸς ἔσσο κατήκοος. εὐχομένου δὲ
κλῦθι. τίς ἐς Μούσας οὔατος ἀσχολίη;

## ΕΙΣ ΕΡΩΤΑ.

Μελεάγρου. 27.

Τρισσαὶ μὲν Χάριτες, τρεῖς δὲ γλυκυπάρθενοι ὧραι,
τρεῖς δέ με θηλυμανεῖς οἰστροβολοῦσι πόθοι.
ἦ γάρ τοι τρία τόξα κατήρτισεν, ὡς ἄρα μέλλων
οὐχὶ μίαν τρώσειν, τρεῖς δ᾽ ἐν ἐμοὶ κραδίας.

Αδηλου.

Αὐτὸ τὸ πῦρ καύσειν διζήμενος οὗτος, ὁ νύκτωρ
τὸν καλὸν ἱμείρων λύχνον ἀναφλογίσαι,
δεῦρ᾽ ἀπ᾽ ἐμῆς ψυχῆς ἅψον σέλας, ἔνδοθι γάρ μου
καιόμενον, πολλὴν ἐξανίησι φλόγα.

Αδηλου.

Τίς θεὸν εἶπεν ἔρωτα; θεοῦ κακὸν οὐδὲν ὁρῶμεν
ἔργον. ὁ δ᾽ ἀνθρώπων αἵματι μειδιάει.
οὐ θοὸν ἐν παλάμαις κατέχει ξίφος; ἦνὶ δ᾽ ἄπιστα
τῆς θεοδηλήτου σκῦλα μιαιφονίης.
μήτηρ μὲν, σὺν παιδὶ κατέφθιτο. αὐτὰρ ἐπ᾽ αὐτοῖς,
ποίνιμος ἔκτεινεν φῶτα λιθοκτονίη.
καὶ ταῦτ᾽ οὔτ᾽ αἴδος, οὔτ᾽ ἄρεος, ἔργα δ᾽ ἔρωτος

λεύσσομεν, οἷς παίζει κεῖνος ὁ νηπίαχος.

Λεωνίδου.

Τοξοβόλον τὸν Ἔρωτα τίς ἔξεσεν ἐκ λιβάνοιο,
τόν ποτε μηδ' αὐτοῦ Ζηνὸς ἀποσχόμενον;
ὀψὲ ποθ' Ἡφαίστου κεῖται σκοπὸς, ὃν καθορᾶσθαι
ἔπρεπεν οὐκ ἄλλως, ἢ πυρὶ τυφόμενον:

Ἀργενταρίου.

Αὐγάζω τὸν ἄφυκτον ἐπὶ σφραγῖδος Ἔρωτα,
χερσὶ λεοντείαν ἀνιοχεῦντα βίαν.
ὃς τᾷ μὲν, μάστιγα κατ' αὐχένος [illegible]ε, χαλ[illegible]ς
εὐθύνει. πολλὰ δ' ἀμφιτέθηλε χάρις.
φρίσσω τὸν βροτολοιγόν. ὁ γὰρ καὶ θῆρα δαμάσσων
ἄγριον, οὐδ' ὀλίγον φείσεται ἀμερίων.

Ἀντιπάτρου.

Μὴ κλαίων τὸν Ἔρωτα δόκει Τηλέμβροτε πείσειν.
μηδ' ὀλίγῳ παύσειν ὕδατι πῦρ ἀπνεές.
χρυσὸς Ἔρωτος ἀεὶ παιώνιος. ἐσβέσθη δὲ
οὐδὲ τότ' ἐν πολλῷ τικτόμενος πελάγει.

Παύλου σιλεντιαρίου.

Μήποτε κοιλαίνῃς παρὰ μὴ νόον. ἀντιτύπου γὰρ
εὐθὺς ἀποθρώσκει κοῦφος Ἔρως κραδίης.
οἶστρος, ὀλισθήεσσαν ἔχει φύσιν. ἢν τις ὀιστοῦ
ἄκρον ἕλῃ φλογεροῦ, δύεται ἐντὸς ὅλος.
ἐλπίδι μὴ θέλξῃς φρένα μαχλάδι. γυιοβόρον γὰρ
πῦρ ὑποριπίζει, θυμὸν ἐφελκομένη.

Τίνας ἂν εἴποι λόγους ὁ
Ἔρως ἐρῶν.

Τίς πυρὶ πῦρ ἐδάμασσε; τίς ἔσβεσε λαμπάδι πυρσόν;
τίς κατ' ἐμῆς νευρῆς ἑτέρην ἐτανύσσατο νευρήν;
καινὸς Ἔρως κατ' Ἔρωτος ἐμῷ μένει ἰσοφαρίζει.

## Μόσχου Ἔρως δραπέτης.

Α κύπρις τὸν ἔρωτα τὸν υἱέα μακρὸν ἐβώστρει.
εἴτις ἐνὶ τριόδοισι πλανώμενον εἶδεν ἔρωτα,
δραπετίδας ἐμός ἐστιν. ὁ μανυτὰς, γέρας ἑξεῖ.
μισθός τοι τὸ φίλαμα τὸ κύπριδος. ἢν δ' ἀγάγῃς νιν,
οὐ γυμνὸν τὸ φίλαμά τι δ' ὦ ξένε, καὶ πλέον ἑξεῖς.
ἔστι δ' ὁ παῖς περίσαμος. ἐν εἴκοσι πᾶσι μάθοις νιν.
χρῶτα μὲν οὐ λευκὸς, πυρὶ δ' εἴκελος. ὄμματα δ' αὐτῷ,
δριμύλα, καὶ φλογόεντα. κακαὶ φρένες. ἁδὺ λάλημα.
οὐ γὰρ ἴσον νοέει, καὶ φθέγγεται. ὡς μέλι φωνά.
ἢν δὲ χολᾷ, νόος ἐστὶν ἀνάμερος. ἠπεροπευτὰς.
οὐδὲν ἀλαθεύων. δόλιον βρέφος. ἄγρια παίσδει.
εὐπλόκαμον τὸ κάρανον. ἔχει δ' ἰταμὸν τὸ πρόσωπον.
μικκύλα μὲν τήνῳ τὰ χερύδρια, μακρὰ δὲ βάλλει.
βάλλει κεἰς ἀχέροντα, καὶ εἰς αἴδεω βασιλῆα.
γυμνὸς μὲν τό γε σῶμα, νόος δέ οἱ ἐμπεπύκασται.
καὶ πτερόεις ὅσον ὄρνις ἐφίπταται ἄλλοτ' ἐπ' ἄλλως
ἀνέρας, ἠδὲ γυναῖκας. ἐπὶ σπλάγχνοις δὲ κάθηται.
τόξον ἔχει μάλα βαιόν. ὑπὲρ τόξῳ δὲ, βέλεμνον,
τυτθὸν ἐὸν τὸ βέλεμνον. ἐς αἰθέρα δ' ἄχρι φορεῖται.
καὶ χρύσεον περὶ νῶτα φαρέτριον. ἔνδοθι δ' ἐντὶ
τοὶ πικροὶ κάλαμοι, τοῖς πολλάκι κἠμὲ τιτρώσκει.
πάντα μὲν ἄγρια, πάντα. πολὺ πλεῖον δέ οἱ αὐτῷ·
βαιὰ λαμπὰς ἐοῖσα, τὸν ἅλιον αὐτὸν ἀναίθει.
ἢν τύγ' ἕλῃς, τῆνον, δαμάσας ἄγε. μὴ δ' ἐλεήσῃς.
κἤν ποτ' ἴδῃς κλαίοντα, φυλάσσεο μή σε πλανήσῃ.
κἢν γελάῃ, τύ νιν ἕλκε. καὶ ἢν ἐθέλῃ σε φιλᾶσαι,
φεῦγε. κακὸν τὸ φίλαμα. τὰ χείλεα φάρμακον ἐντί.
ἢν δὲ λέγῃ λάβε ταῦτα, χαρίζομαι ὅσσά μοι ὅπλα,
μήτι θίγῃς. πλάνα δῶρα. τὰ γὰρ πυρὶ πάντα βέβα-

πται.

Τίνας ἂν εἴποι λόγους πρὸς ἔρωτα Πασιφάη ἐρῶσα τοῦ ταύρου.

Εἰ πόθεν ἐκδιδάξας ἐν ὄρεσι ταῦρον ἀλήτην,
μυκηθμόν με δίδαξον, ὅπως φίλον ἄνδρα καλέσσω.

Λουκιανοῦ.

Οὐχ ὁ ἔρως ἀδικεῖ μερόπων γένος, ἀλλ' ἀκολάστοις
ψυχαῖς ἀνθρώπων ἔσθ' ὁ ἔρως πρόφασις.

Ἀδήλου.

Παρθενικῷ Θρασύβουλε σαγήνῃ ἐνδεθεὶς ὑπ' ἔρωτι
ἀσθμαίνεις, δελφὶς ὥστις ἐπ' αἰγιαλοῦ,
κύματος ἱμείρων. δρέπανον δέ σοι οὐδὲ τὸ Περσέως
ἀρκεῖ ἀποτμῆξαι δίκτυον, ᾧ δέδεσαι.

Ἀδήλου.

Ἔρωτα παύει λιμός. εἰ δὲ μή, χρόνος.
ἐὰν δὲ μὴ δὲ ταῦτα τὴν φλόγα σβέσῃ,
θεραπεία σοι λοιπὸν ἠρτήσθω βρόχος.

Ζηνοδότου.

Τίς γλύψας τὸν ἔρωτα, παρὰ κρήνῃσιν ἔθηκεν,
οἰόμενος παύσειν τοῦτο τὸ πῦρ ὕδατι.

ΕΙΣ ΕΥΣΕΒΕΙΑΝ. Καρπυλλίδου. 28.

Ἰχθύας ἀγκίστρῳ τὶς ἀπ' ᾐόνος εὔτριχι βάλλων,
εἵλκυσε ναυηγοῦ κρᾶτα λιποτριχέα.
οἰκτείρας δὲ νέκυν τὸν ἀσώματον, ἐξ ἀσιδήρου
χειρὸς ὑποσκάπτων, λιτὸν ἔχωσε τάφον.
εὗρε δὲ κευθόμενον χρυσοῦ κτέαρ. ἦ ῥα δικαίοις
ἀνδράσιν εὐσεβίης οὐκ ἀπόλωλε χάρις.

Θεοκρίτου.

Ἡ κύπρις οὐ πάνδημος. ἱλάσκεο τὴν θεὸν εἰπὼν
οὐρανίαν. ἁγνᾶς ἄνθεμα χρυσογόνας.
οἴκῳ ἐν ἀμφικλέους, ᾧ καὶ τέκνα, καὶ βίον εἶχε

ξυνὸν, ἀεὶ δὲ σοφὴν λώϊον εἰς ἔτος ἦν,
ἐκ στέθεων ἀρχομένοις ὦ πότνια. κηδόμενοι γὰρ
ἀθανάτων, αὐτοὶ πλεῖον ἔχουσι βροτοί.

Κριναγόρου.

Εἰ καί σοι ἑδραῖος ἀεὶ βίος, οὐδὲ θάλασσαν
ἔπλως, χερσαίας τ' οὐκ ἐπάτησας ὁδοὺς,
ἔμπης κεκροπίης ἐπιβήμεναι, ὄφρ' ἂν ἐκείνας
Δήμητρος μεγάλας νύκτας ἴδῃς ἱερῶν.
[illegible] ζωοῖσιν ἀκηδέα. κεὖτ' ἂν ἵκηαι
[illegible] πλεόνων, ἕξεις θυμὸν ἐλαφρότερον.

ΕΙΣ ΕΥΤΥΧΙΑΝ. Ἀντιπάτρου. 29.

[illegible] κοιμωμένη αὐτὸς ὁδηγμὸς,
πορφυρέων παφίης νοσφὶς ἐπὶ κροκίδων,
ἢ καὶ ἐκ ὃρ ταῖς λευκαῖσι κόραις μαλακώτερον ὕπνου,
λυσίδος ἀλκυὼν τερπνὸν ἄθυρμα μέθης,
ὑδατίνους φορέουσα βραχίονας, ἣ μόνη ὅσσον
οὐ λάχεν, ἦν γὰρ ὅλη τὸ ῥ ταλάροισι γάλα,
ἐπλείω ἤμειψεν, ἵνα πτολέμοιο, καὶ αἰχμῆς,
ἀμπαύσῃ ῥώμην μαλθακίνῃ χάριτι.

Ἀντιφίλου.

Ἐκ θοίνης φάος ἔχεν ἐπ' ἀγροὺς δὲ μηκὰς ἴουσα.
ἐκ δ' ἐφάνη τυφλὴν μηκέτ' ἔχουσα κόρην.
διασῶν τὴν ἑτέρην γὰρ ἐκεῖ ῥίσεν ὀξὺς ἀκανθης
ὄζος. ἴδ' ὡς τέχνης δεῖν δὲ ὑγρότερον.

Ἀδήλου.

Ὅταν θέλῃ τὶς ἡμέραν ἰδεῖν καλὴν,
συντυγχάνων σοι, γίγνεται καλήμερος.
τοὐναντίον δὲ, καί τις εἰ μέλλει παθεῖν,
μὴ τυγχάνων σοι, γίγνεται κακήμερος.

FERDINANDVS DE ARAGONIA · ALEXANDER PP VI VALENT

## ΕΙΣ ΕΥΧΑΡΙΣΤΟΥΣ, ΚΑΙ ΑΧΑΡΙΣΤΟΥΣ.

Ἀντιπάτρου. 30.

Ἀντίπατρος Πείσωνι γενέθλιον ὤπασε βίβλον
μικρὴν, ἐν δὲ μιῇ νυκτὶ πονησάμενος.
ἵλαος ἀλλὰ δέχοιτο, καὶ αἰνήσειεν ἀοιδὸν
Ζεὺς μέγας ὡς, ὀλίγῳ πειθόμενος λιβάνῳ.

Λουκιανοῦ.

Ὠκεῖαι χάριτες, γλυκερώτεραι· ἢν δ[illegible]
πᾶσα χάρις κενεὴ, μὴ δὲ λέγοιτο χάρις.

Ἀδέσποτον.

Τὸν λύκον ἐξ ἰδίων μαζῶν τρέφω οὐκ ἐθέλουσα,
ἀλλά μ' ἀναγκάζει ποιμένος [illegible]
αὐξηθεὶς δ' ὑπ' ἐμοῦ, κατ' ἐμοῦ πάλι θηρίον ἔσται.
ἡ χάρις ἀλλάξαι τὴν φύσιν οὐ δύναται.

Λουκιανοῦ.

Φαῦλος ἀνὴρ, πίθος ἐστὶ τετρημένος. εἰς ὃν ἁπάσας
ἀντλῶν τὰς χάριτας, εἰς κενὸν ἐξέχεας.

Τίνας ἂν εἴποι λόγους Κλυταιμνήστρα, μέλλοντος αὐτὴν σφάξειν Ὀρέστου.

Πῇ ξίφος ἰθύνεις; κατὰ γαστέρος, ἢ κατὰ μαζῶν;
γαστήρ, σ' ἐλόχευσεν. ἀνεθρέψαντο δὲ μαζοί.

Ἀγαθίου σχολαστικοῦ εἰς τὸν ἐν
ἰλίῳ ναὸν ἀθηνᾶς.

Ἰλήιος πολιοῦχε. σὲ μὲν χρυσαυγέι νηῷ
ὡς θέμις ἡ τλήμων Ἴλιος ἠγασάμην.
ἀλλὰ σύ με προλέλοιπας ἐλώριον. ἀντὶ δὲ μήλου,
πᾶσαν ἀπεσβέψω τείχεος ἀγλαΐην.
ἄρκιον ἦν θνήσκειν τὸν βουκόλον. εἰ γὰρ ἄθεσμος
ἔπλετο, τῆς πάτρης οὐκ ἀλίτημα τόδε.

ΕΙΣ ΕΥΧΗΝ. Ἰουλίου πολυαίνου. 31.

Εἰ καὶ σοῦ πολύφωνος ἀεὶ πίμπλησιν ἀκουὰς
ἢ φόβος εὐχομένων, ἢ χάρις εὐξαμένων,
Ζεῦ, Σχερίης ἐφέπων ἱερὸν πέδον, ἀλλὰ καὶ ἡμέων
κλῦθι, καὶ ἀψευδεῖ νεῦσον ὑποσχεσίῃ,
ἤδη μοι ξενίης εἶναι πέρας· ἐν δέ με πάτρῃ
ζώειν, τῶν δολιχῶν παυσάμενον καμάτων.

Καλλινίου.

Π[illegible] φέγγος ἰδεῖν, ἢ παῖδα τεκέσθαι
εὐξαμένῃ, δοιὴν ἔμμορεν εὐτυχίην.
τίκτε γὰρ εὐθὺς ἄελπτα μετ' ὃ πολὺ καὶ τριπόθητον
αὐτῆμαρ γλυκερὸν φέγγος ἐσεῖδε φάους.
ἔστι [illegible] ἀστερόεσσιν ὑπήκοος, ἥτε λοχείης
μαῖα, καὶ ἀργεννῶν φωσφόρος ἡ σελάων.

Διοδώρου.

Ἀδρήστειά τε δῖα, καὶ ἰχναίη σε φυλάσσοι
παρθένος, ἡ πολλοὺς ψευσαμένη νέμεσις.
δείδια σόν τε φυῆς ἐρατὸν τύπον, ἠδὲ σὰ κοῦρε
ἤθεα θεσπεσίης, καὶ μένος ἠνορέης,
καὶ σοφίην, καὶ μῆτιν ἐπίφρονα. τοιάδε τέκνα
Δροῦσε, πέλευ μακάρων πευθόμεθ' ἀθανάτων.

Ἀδέσποτον.

Ζεῦ βασιλεῦ, τὰ μὲν ἐσθλὰ καὶ εὐχομένοις, καὶ ἀνεύκτοις
ἄμμι δίδου. τὰ δὲ λυγρὰ, καὶ εὐχομένων ἀπερύκοις.

Φιλοδήμου.

Κύπρι γαληναίη, φιλονύμφιε, Κύπρι δικαίοις
σύμμαχε, Κύπρι πόθων μῆτερ ἀελλοπόδων,
κύπρι, τὸν ἡμίσπαστον ἀπὸ κροκέων ἐμὲ παστῶν,
τὸν χιόσι ψυχὴν κελτίσι νιφόμενον,

πρί, τὸν ἡσύχιόν με, τὸν οὐδὲν κωφὰ λαλοῦντα,
τὸν σῷ πορφυρέῳ κλυζόμενον πελάγει,
κύπρι, φιλορμίστειρα, φιλόργιε, σῶζέ με κύπρι.
ῥωμαϊκοὺς ἤδη δέσποτι, πρὸς λιμένας.

Φιλίππου.

Ὅτ' ἐκ ξανθοῦ λίβυος, ἐκ ζαοῦς νότου
συνεζοφώθη πόντος, ἐκ δὲ νειάτων
μυχῶν βυθῖτις ψάμμος ἐξηροῦτο,
ἴσος δὲ πᾶς ὤλισθεν εἰς ἅλα πλύσας·
φορτὶς δ' ἔσυρετ' οὖν αἴδλαι πλανωμένη,
ἀργοναύτας δαίμονας λυσίστρατους
ἐλιπάρησεν, οἱ δὲ, τοῦ νεκηόρου
μόνου θάλασσαν ἀγρίαν ἐκοίμισαν.

Ἰουλιανοῦ.

Πολλάκις εὐξαμένῳ μοι ἀεὶ θυμηρὸν ἔδωκας
τέκμαρ ἀκυμάντου Ζεῦ πάτερ εὐπλοΐης.
δώης μοι καὶ τοῦτον ἐπὶ πλόον. ἠδὲ σαώσαις
ἤδη. καὶ καμάτων ὅρμισον εἰς λιμένας.

## ΕΙΣ ΕΧΘΡΟΥΣ. Σπατυλλίου φλάκκου. 32.

Γνώθιμον ἡνίκα πατρὶ Πολυξείνης ὑμέναιον
ἤνυσεν ὀγκωτοῦ Πύῤῥος ὕπερθε τάφου,
ὧδε πολυκλαύστοιο κόμας λακίσασα καρήνου
κισσηὶς τεκέων κλαῦσε φόνους Ἑκάβη.
πρόσθε μὲν, ἀξονίοις φθιτὸν εἴρυσας Ἕκτορα δεσμοῖς.
νῦν δὲ, Πολυξείνης αἷμα δέχῃ φθίμενος
αἰακίδη. τί τοσοῦτον ἐμὴν ὠδύσαο νηδὺν;
παισὶν ἔφυς γὰρ ἐμοῖς ἤπιος οὐδὲ νέκυς.

Ἀντιφίλου.

Ἀντιφίλου.

Πορφυρέην τοι τάνδε Λεωνίδα ὤπασε χλαῖναν
Ξέρξης, ταρβήσας ἔργα τὰ τᾶς ἀρετᾶς.
οὐ δέχομαι. προδόταις αὕτα χάρις. ἀσπὶς ἔχει με
καὶ νέκυν. ὁ πλοῦτος δ' οὐκ ἐμὸν ἐντάφιον.
ἀλλ' ἔθανον. τί τοσόνδε καὶ ἐν νεκύεσσιν ἀπεχθὴς
πέρσαις; οὐ θνάσκει ζᾶλος ἐλευθερίας.

Ἀββιανοῦ.

Εἰ μὲν σοῦ ἀπὸ ἄλφα μόνου κέκληκας καθρύπτειν
[illegible]ς, καὶ τὸν ἀδελφὸν ἔχεις.
εἰ δ' ἔτι πορθεῖ λόγον οὐκ ἔστι, κατὰ στοιχεῖον ὁδεύεις,
ἤδη σοι προλέγω, ὠριγένης λέγομαι.

[illegible] Α. Πολυαίνου. 33.

Δορκάδος ἀρτιτόκοιο πιθὼν κτήνειον οὖθαρ
ἔμπλεον εἰλῦσα πικρὸς ἔτυψεν ἔχις.
νεβρὸς δ' ἰομιγῆ θηλὴν σπάσε, καὶ τὸ δυσαλθὲς
τραύματος ἐξ ὅλου πικρὸν ἔβρωξε γάλα.
ἄλλην δ' ἠλλάξαντο, καὶ αὐτίκα νηλέϊ μοίρῃ
ἣν ἔπορεν γαστήρ, μαστὸς ἀφεῖλε χάριν.

Τιβερίου ἄλλο.

Κεμμάδος ἀρτιτόκου μαζοῖς βρίθουσι γάλακτος
ἡ φονίη δακετῶν ἰὸν ἐνῆκεν ἔχις.
φαρμαχθὲν δ' ἰῷ μητρὸς γάλα νεβρὸς ἀμέλξας,
χείλεσι τὸν κείνης ἐξέπιεν θάνατον.

Τοῦ αὐτοῦ.

Οὐ κύνες, οὐ στάλικές με κατέκτανον, οὐχὶ κυνηγοὶ
δορκάδα, τὴν δ' ἀπὸ γῆς εἰν ἁλὶ πῆξα μόρον.
ἐξ ἑλλησπόντου γὰρ ἐπέδραμον. εἶτά με πλεκταὶ
ἕλξαν ἐπ' αἰγιαλοὺς δικτυβόλων παγίδες.

...ῆσον, ἐκ χέρσοιο μάτην φυγάς. οὐκ ἀδίκως με
εἷλε σαγηνευτής, τὰ μὰ λιποῦσαν ὄρη.
οὔ ποτ' ἄγρης ἁλιεῦσιν ἔτ' ἄστοχον οἴσετε χεῖρα,
χέρσῳ, καὶ πελάγει κοινὰ πλέκοντες ὕφη.

Φιλίππου.

Νηδύϊ βριθομένην δάμαλιν Λητωΐδι κούρῃ
στῆσαν νηοκόροι, θῦμα χαριζόμενοι.
ἧς ἀΐδην μέλλοντα, προέφθασεν εὔστοχος ὠδίς.
πέμφθη δ' εἰς ἀγέλην, τεκνογονεῖν ἄ[illegible].
ἡ θεὸς, ὠδίνων γὰρ ἐπίσκοπος, οὐδ[illegible]
τικτούσας κτείνειν, ἃς ἐλεεῖν ἔμαθεν.

Τοῦ αὐτοῦ.

Ταῦροι πρηϋτένοντες, ἀροτρευτῆρες ἀρούρη[illegible]
εἰν ἁλὶ τοὺς γαίης αὐτέχομεν καμάτους.
αὔλακα τὴν ἀσίδηρον ἐν ὕδασιν ἕλκομεν ἄμφω.
μακροτέρων σχοίνων ἅμμα σαγηνόδετον.
ἰχθύσι δ' ἐκ σταχύων λατρεύομεν οἱ ταλαεργοί.
ἤδη καὶ πελάγει καρπὸν ἀροῦσι βόες.

Αρχίου.

Οὐ μόνον εὐαρότρου βόες οἴδαμεν αὔλακα τέμνειν,
ἀλλ' ἴδε καὶ πόντου νῆας ἀφελκόμεθα.
ἔργα γὰρ εἰρήνης δεδιδάγμεθα. καὶ σὺ θάλασσα,
δελφῖνας γαίῃ ζεῦξον ἀροτροφορεῖν.

Γερμανικοῦ Καίσαρος.

Οὔρεος ἐξ ὑπάτοιο λαγὼς πέσεν ἔς ποτε βένθος,
ἐκπροφυγεῖν μεμαὼς τρηχὺν ὀδόντα κυνός.
ἀλλ' οὐδ' ὣς ἤλυξε κακὸν μόρον. αὐτίκα γάρ μιν
εἰνάλιος μάρψας, πνεύματος ὠρφάνισεν.
ἐκ πυρὸς ὡς αἰνῶς πέσες ἐς φλόγας. ἦ ῥά σε δαίμων
κἠν ἁλὶ, κἠν χέρσῳ, θρέψε κύνεσσι βορήν.

Τοῦ αὐτοῦ.

Ἐκ κυνός εἷλε κύων με. τί τὸ ξένον; εἰς ἐμὲ θῆρες
ὑγροί, καὶ πεζοί, θυμὸν ἔχουσιν ἕνα.
αἰθέρα λοιπὸν ἔχοιτε λαγοὶ βατόν. ἀλλὰ φοβοῦμαι
οὐρανέ, καὶ σὺ φέρεις ἀστερόεντα κύνα.

Τιβερίου.

Δίκτυον ἐκθρώσκοντα πολύπλοκον ἄρτι λαγωόν,
σεῦε κύων θερμοῖς ἴχνεσιν ὠκυπόδην.
[illegible] δ' ἄρ' ὑπεκδύσας ταχινῶς πάγον, ὃν βαθὺ πόντου
ἠλα[illegible] καχλάζων κῦμα παρακτίδιον.
εἰνάλιος τὸν δ' αὖτε κύων βρυχηδὸν ὀδοῦσι
μάρψε. κυσὶ τλήμων ἦν ἄρ' ὀφειλόμενος.

Φιλίππου.

Νηὸς ἐπειγομένης ὠκὺν δρόμον, ἀμφεχόρευον
δελφῖνες, πελάγους ἰχθυφάγοι σκύλακες.
καπροφόνος δὲ κύων θηρσὶ κείνους ἰκελώσας,
δύσμορος, ὡς ἐπὶ γῆν εἰς βυθὸν ἐξέθορεν.
ὤλετο δ' ἀλλοτρίης θήρης χάριν. οὐ γὰρ ἐλαφρὸς
πάντων ἐστὶ κυνῶν ὁ δρόμος ἐν πελάγει.

Τοῦ αὐτοῦ.

Ὠκείαις ἐλάφοισι κύων ἰσάμιλλα δραμοῦσα
ἔγκυος ἠλκώθη παιδοτόρον γένεσιν.
πᾶσα δὲ συγκατέμυσε, κατουλωθεῖσα χρόνοισιν,
ἤδη δ' ἡ τοκετῶν ὥριος ἦν βάσανος.
πολλὰ δ' ἐπωρύουσαν, ἀνὴρ ἐσιδηροτάμησεν.
καὶ σκύλακες θάλιοι νηδύος ἐξέθορον.
ἀρτέμιδος λέλυται λοχίων χάρις. ἔμπαλι δ' ἄρης
ἤρκται μαιοῦσθαι γαστέρας ἡμετέρας.

Ἀντιπάτρου.

Θηρευτὴν λάμπωνα μίδου κύνα δίψα κατέκτα,
καί περ ὑπὲρ ψυχῆς πολλὰ πονησάμενον.

...ερσὶ γὰρ ὤρυσσεν νοτερὸν πέδον. ἀλλὰ τὸ νωθὲς
λήσιανος ἐκ τυφλῆς οὐκ ἐτάρχωσεν ὕδωρ.
πίπτε δ' ἀπαυδήσας. αἱ δ' ἔβλυσαν πάρα νύμφαι.
λάμπωνι κταμένῳ, μῆνιν ἔθεσ' ἐλάφων.

Ἀρχίου.

Ὁ πρὶν ἀελλοπόδων λάμψας πλέον αἰετὸς ἵππων,
ὁ πρὶν ὑπαὶ μίτραις κῶλα καθαψάμενος,
ὃν φοῖβος χρησμῳδὸς ἀέθλιον ἔστεφε πυθοῖ
ὀρνύμενον πτανοῖς ὠκυπέταις ἴκελον
καὶ νεμέη βλοσυροῖο τιθηνήτειρα λέοντος,
πῖσά τε, καὶ δοιὰς ἠόνας ἰσθμὸς ἔχων,
νῦν κλοιῷ δειρὴν πεπεδημένος οἷα χαλινοῖς
καρπὸν ἐλᾷ δηοῦς ὀκρυόεντι λίθῳ,
ἴσην μοῖραν ἔχων ἡρακλεῖ. καὶ γὰρ ἐκεῖνος
τόσσ' ἀνύσας, δούλην ζεύγλαν ἐφηρμόσατο.

Ἀδήλου.

Σοί πάτρη θεσσαλίη πωλοτρόφε, μέμψιν ἀνάπτω
πήγασος, ὡς ἀδίκου τέρματος ἠντίασα.
ὃς πυθοῖ, κὴν ἰσθμῷ ἐκώμασα, κἠπὶ νέμειον
Ζῆνα, καὶ ἀρκαδικοὺς ἤλυθον ἀκρέμονας.
νῦν δὲ βάρος πέτρης νισυρήτιδος ἔγκυκλον ἕλκω,
λεπτύνων δηοῦς καρπὸν ἀπ' ἀσταχύων.

Βιάνορος.

Πῶλον τὸν πεδίων, ἀλλ' οὐχ ἁλὸς ἱππευτῆρα,
νηῒ διαπλώειν πόντον ἀναινόμενον,
μὴ θάμβει κρεμεθόντα, καὶ ἐν ποσὶ λὰξ πατέοντα
τοίχους, καὶ θυμῷ δέσμα βιαζόμενον.
ἄχθεται, εἰ φόρτου μέρος ἔρχεται. ὁ γὰρ ἐπ' ἄλλοις
κεῖσθαι τὸν πάντων ἔπρεπεν ὠκύτατον.

Ἀντιφίλου.

Παμφάγος ἑρπηστὴς κατὰ δώματα λιχνοβόρος μῦς,

ὄστρεον ἀθρήσας χείλεσι πεπταμένον,
πώγωνος λισροῖο νόθην ὠδάξατο σάρκα.
αὐτίκα δ' ὀστρακόεις ἐπλατάγησε δόμος.
ἁρμόσθη δ' ὀδύναισιν. ὁ δ' ἐν κλείθροισιν ἀφύκτοις
ληφθεὶς, αὐτοφόνον πότμον ἐπεσπάσατο.

Τοῦ αὐτοῦ.

Ψῆγμα πυρὸν χρυσοῖο σιδηρείων ὑπ' ὀδόντων
ῥινηθὲν, λιβυκῆς κουφότερον ψαμάθου,
μῦς ὀλίγος βαρὺ δεῖπνον ἐδαίσατο. πᾶσα δὲ νηδὺς
συγ[illegible] [illegible]δλύτων θῆκε τὸν ὠκύτατον.
ληφθεὶς δ' ἐκ μεσάτης, ἀνετέμνετο κλέμματα γαστρός.
ἧς ἄρα κἠν ἀλόγοις χρυσὲ, κακοῦ πρόφασις.

Νέστορος εἰς τὸν πύθιον δράκοντα.

εἷρπε δράκων, [illegible] ἔπινεν ὕδωρ, σβέννυντο δὲ πηγαί,
καὶ ποταμὸς κεκόνιστο, καὶ ἦν ἔτι διψαλέος θήρ.
εἴρωε τὸ μὲν, τόδ' ἔμελλε, τόδ' ἦν ἔτι νωθρὸν ἐν εὐνῇ.
αὐτὰρ ὁ διψήσας, ποταμῷ ἐπέθηκε γένειον.
πᾶς δ' ἄρα κηφισὸς εἴσω ῥέεν. ἀργαλέον δὲ
αἰθόρεων κελάρυζε. κατερχομένου δὲ ῥέεθρου,
κηφισὸν κώκυον ὀλωλότα πολλάκι νύμφαι.

Κριναγόρου.

Αἶγά με τὴν εὔθηλον ὅσων ἐκένωσεν ἀμολγεὺς
οὔθατα, πασάων πολυγαλακτοτάτην,
γευσάμενος, μελιηδὲς ἐπεί τ' ἐφράσσατο πῖαρ
Καῖσαρ, κἠν νηυσὶ σύμπλοον ἠγάγετο.
ἥξω δ' αὐτίκα που καὶ ἐς ἀστέρας. ᾧ γὰρ ἐπέσχον
μαζὸν ἐμὸν, μείων οὐδ' ὅσον αἰγιόχου.

Βιάνορος.

Εἰς βαθὺν ἥλατο νεῖλον ἀπ' ὀφρύος ὀξὺς ὁδίτης
ἡνίκα λαιμάργων εἶδε λύκων ἀγέλην.



ALEXAN... GONAM ... FERDINANDI ... DE GRA...

…ὰ μὲν ἐξηρύσαντο δ' ὕδατος. ἔβρυχε δ' ἄλλος
ἄλλον, ἐπ' ὑγραίῳ δήγματι πλεξάμενος.
μακρὰ γεφυρώθη δὲ λύκοις βυθός. ἔφθανε δ' ἄνδρας
νηχομένων θηρῶν αὐτοδίδακτος ἄρης.

Σεκούνδου.

Τίπτε τὸν ὀγκηστὴν βραδύπουν ὄνον ἄμμιγ' ἐν ἵπποις
γυρὸν ἀλωειναῖς ἐξελάατε δρόμον;
οὐχ ἅλις ὅττι μύλοιο περίδρομον ἄχθος ἀνάγκης,
ἀπειρηδὴν σκοτόεις κυκλοδίωκτος ἔχω;
ἀλλ' ἔτι καὶ πώλοισιν ἐρίζομεν. ἦρ' ὑποιπ…
λῶ μοι τὴν σκολιὴν αὐχένι γαῖαν ἀρῶν.

Αδήλου.

Τίπτε με τὸν φιλέρημον ἀναιδέες ποιμένες ἄγ…
τέττιγα, δροσερῶν ἕλκετ' ἀπ' ἀκρεμόνων;
τὴν νυμφῶν παροδῖτιν ἀηδόνα; καύματι μέσσῳ
οὔρεσι, καὶ σκιεραῖς ξουθὰ λαλεῦντα νάπαις;
ἣν δὲ καὶ κίχλην, καὶ κόσσυφον, ἣν δὲ τόσους
ψᾶρας ἀρουραίης ἅρπαγας εὐπορίης,
καρπῶν δηλητῆρας ἑλεῖν θέμις. ὄλλυτ' ἐκείνους.
φύλλων, καὶ χλωρῆς τίς φθόνος ἐστὶ δρόσου;

Φιλίππου.

Βωλοτό μοι μύρμηκος, ὁ γῆς στρατὸς, ἡνίκ' ἐς ὕλων
γειομόρου μελιχρὴν σμηνοδόκου χάριτα,
μὴν ἴσως ὁ πρέσβυς, ὃν ὕδατα κρουνὸν ἔβαψεν,
ἐνθάδε τοῦ ἀπὸ γῆς οὐ δοκέων πελάσειν.
οἱ δὲ, νέας κηφῆνας ἀχυρτίδας ἀντιφέροντες,
αὐτοκυβερνητὶ πρὸς τάχος ἐτρόχασαν.
ἦ ῥα φίλη γαστὴρ καὶ βαιοτάτους ἀνέπεισεν
ἐκ χθονὸς εἰς νύμφας καινοτάτους ἐρέτας.

ALEXANDER PP VI

Ἀδήλου.

Λεπτὸν ὑφηνάμενα ῥαδινοῖς ὑπὸ ποσσὶν ἀράχνη,
τέττιγα σκολιαῖς ἔνδον ἔχεσκε πάγαις.
ἀλλ' οὐ μὰν λεπταῖσιν ὑπαιάζοντα ποδάγραις,
τὸν φιλαοιδὸν ἰδὼν παῖδα, παρετρόχασα.
λύσας δ' ἐκ βροχίδων, ἀπεκούφισα, καὶ τόδ' ἔλεξα,
σώζου μουσείῳ φθεγγόμενος κελάδῳ.

Λεοντέως.

Ὁ πρὶν ἐπ' Ἀλφειῷ στεφανηφόρος ὤνηρ, ὁ τὸ πρὶν
ὁ ... κηρυχθεὶς κασταλίης παρ' ὕδωρ,
ὁ πρὶν ἐγὼ νεμέῃ βεβοημένος, ὁ πρὶν ἐπ' ἰσθμῷ
πῶλος, ὁ πρὶν πτηνοῖς ἶσα δραμὼν ἀνέμοις,
νῦν ὅτε γηραιός, γυροδρόμον ἠνίδε πέτρον
δινοῦω, στεφάνων ὕβριν ἐλαυνόμενος.

Λεωνίδου.

Φεύγεθ' ὑπ' ἐκ καλύβης σκότιοι μύες. οὔτι πενιχρὴ
μῦς σιπύη βόσκειν οἶδε λεωνίδεω.
αὐτάρκης ὁ πρέσβυς ἔχειν ἅλα, καὶ δύο κρῖμνα.
ἐκ πατέρων ταύτην ᾐνέσαμεν βιοτήν.
τῷ, τί μεταλλεύεις τοῦτον μυχὸν ὦ φιλόλυχνε,
οὐδ' ἀποδειπνιδίου γευσόμενος σκυβάλου;
σπεύδων, εἰς ἄλλους οἴκους ἴθι. τἀμὰ δὲ λιτά.
ὧν ἄπο, πλειοτέρην οἴσεαι ἁρμαλιήν.

Ἀρίστωνος.

Ὦ μύες, εἰ μὲν ἐπ' ἄρτον ἐληλύθατ', οὐ μυχὸν ἄλλον
στείχετ', ἐπεὶ λιτὴν οἰκέομεν καλύβην.
οὐ καὶ πίονα τυρὸν ἀποδρέψεσθε, καὶ αὔην
ἰσχάδα, καὶ δεῖπνον συχνὸν ἀπὸ σκυβάλων.
εἰ δ' ἐν ἐμαῖς βίβλοισι πάλιν καταθήξετ' ὀδόντα,
κλαύσετ', οὐκ ἀγαθὸν κῶμον ἐπερχόμενοι.

ARAGONVM ALEXANDER ... FERDINANDI ...

Ἀνύτης.

Ἡνία δή τοι παῖδες ἐνὶ τράγε φοινικόεντα
θέντες, καὶ λασίῳ φιμὰ περὶ στόματι,
ἵππια παιδεύουσι θεοῦ περὶ ναὸν ἄεθλα,
ὄφρ' αὐτοὺς φορέῃς ἤπια τερπομένους.

Ἀλκαίου.

Κειράμενος γονίμην τίς ἀπὸ φλέβα μητρὸς ἀγύρτης,
βησσήεντας ἀνὰ πρῶνας ἐβουνοπάτει.
τῷ δὲ λέων ἤντησε πελώριος, ὡς ἐπὶ θοίναν
χάσμα φέρων χαλεπὸν πειναλέου φάρυγος.
δείσας δ' ὠμηστέω θηρὸς μόρον, ὡς αὔδαξε
τύμπανον ἐξ ἱερᾶς ἐπλατάγησε νάπης.
χὼ μὲν ἐνέκλεισεν φονίαν γένυν. ἐκ δὲ τενόντων
εὐθὺς ῥομβητὴν ἐστροφάλιζε φόβην.
κεῖνος δὲ προφυγὼν ὀλοὸν μόρον, εἵσατο ῥείῃ
θῆρα τὸν ὀρχηθμῶν αὐτομαθῆ Κυβέλης.

Ἀδήλου.

Χειμερίην διὰ νύκτα, χαλαζήεντά τε συρμόν,
καὶ νιφετὸν φεύγων, καὶ κρυόεντα πάγον,
μουνολέων, καὶ δὴ κεκακωμένος ἀθρόα γυῖα,
ἦλθε φιλοκρήμνων αὖλιν ἐς αἰγονόμων.
οἱ δ' οὐκ ἀμφ' αἰγῶν μεμελημένοι, ἀλλὰ περὶ σφέων,
εἵατο, σωτῆρα Ζῆν' ἐπικεκλόμενοι.
χεῖμα δὲ δὴ μείνας θὴρ νύκτιος, οὔτε τιν' ἀνδρῶν,
οὔτε βοτῶν βλάψας, ᾤχετ' ἀπαυλόσυνος.
οἱ δὲ παθόντες, ἄγαλμα τόδ' εὔγραφες ἀκρολοφίτᾳ
Ζανί, παρ' εὐπρέμνῳ τᾷδ' ἀνέθεντο δρυΐ.

Νικίου.

Αἰόλου ἠμβροθαλὲς ἔαρ φαίνουσα μέλισσα,
ξουθὰ ἐφ' ὡραίοις ἄνθεσι μαινομένα,

χῶρον ἐφ' ἡδὺ ὕπνοιο ποτωμένα, ἔργα λίθεσο,
ὄφρα τεὸς πλήθη κηροπαγὴς θάλαμος.

Ἀδηλον.

Τραυλὰ μινυρομένα πανδιονὶ κάμμορε φωνᾶ,
Τηρέος οὐ θεμιτῶν ἁψαμένα λεχέων,
τί πλὲ πανημέριος γοάεις ἀνὰ δῶμα χελιδών;
παῦσαι, ἐπεὶ σὲ μένει δάκρυα τὰ κατόπιν.

Ἀδηλον.

Τῇ βαιῇ καλαθίνῃ ὑπὸ σκυλακῶν μογεούσῃ,
[illegible]
μοῦναις οὐδὲ γυναιξὶν ἐπήκοος, ἀλλὰ καὶ αὐτὰς
σωθῆναι σώζειν ἄρτεμις οἶδε κύνας.

[illegible] Παλλαδᾶ. 34.

Πολλὰ μεταξὺ πέλει κύλικος, καὶ χείλεος ἄκρου.

Τοῦ αὐτοῦ.

Μήπου θανόντες, τῷ δοκεῖν ζῶμεν μόνον,
ἕλλην οἱ ἀνδρες, συμφορᾷ πεπλωκότες,
ὄνειρον εἰκάζοντες εἶναι τὸν βίον,
εἰ ζῶμεν ἡμεῖς, τοῦ βίου τεθνηκότος;

Ἀντιπάτρου θεοσαλονικέως.

Τρὶς δέκα με τώδύσειν, καὶ δὶς τρία μάντιες ἄστρων
φασίν. ἐμοὶ δ' ἀρκεῖ καὶ δεκὰς ἡ τριτάτη.
τοῦτο γὰρ ἀνθρώποις βιοτῆς ὅρος. οἱ δ' ἐπὶ τούτοις,
Νέστορι. καὶ Νέστωρ δ' ἤλυθεν εἰς ἀΐδην.

Ἀδηλον.

Τρεῖς ἐτέων δεκάδας, τριάδας δύο, μέτρον ἔθηκαν
ἡμετέρης βιοτῆς μάντιες αἰθέριοι.
ἀρκοῦμαι τούτοισιν. ὁ γὰρ χρόνος, ἄνθος ἄριστον
ἡλικίης. ἔθανε χὠ τριγέρων πύλιος.

ALEXANDER ... FERDINANDUS ... SANTIVS

ΕΙΣ ΗΧΩ. Ἀρχίου. 35.

Εὔφημος γλώσσῃ παραμείβεο τὰν λάλον ἠχώ,
καὶ λαλόν. ἤν τι κλύω τοῦτ' ἀπαμειβομέναν.
εἰς σὲ γὰρ ὃν σὺ λέγεις, στρέψω λόγον. ἢν δὲ σιωπᾷς,
σιγήσω. τίς ἐμοῦ γλῶσσα δικαιοτέρη;

Ὁμηρόκεντρα εἰς τὸν πρώτως ἀκούσαντα ἠχοῦς.

Ὦ φίλοι ἥρωες, Δαναοί, θεράποντες Ἄρηος,
ψεύσομαι, ἢ ἔτυμον ἐρέω. κέλεται δέ με θυμός.
ἀγροῦ ἐπ' ἐσχατιῆς, ὅθι δένδρεα μακρὰ πεφύκει.
ναίει ἐϋπλόκαμος δεινὴ θεὸς αὐδ[illegible]σα,
ἢ θεός, ἠὲ γυνή. τοὶ δὲ, φθέγγοντο καλεῦντες.
εἴδη φθεγξαμένου τε, καὶ αὐδήσαντος ἀκούει,
αὖτις ἀριζήλως εἰρημένα μυθολογεύει.
ἀλλὰ τίη τοι ταῦτα διεξερέεσθ[illegible]σα;
τὴν δ' οὔτ' ἀθρῆσαι δύναμ' ἀντίον, οὔτε νοῆσαι.
ὁπποῖον κ' εἴπῃσθα ἔπος, τοῖόν κ' ἐπακούσαις.

ΕΙΣ ΘΑΛΑΣΣΑΝ.

Κριναγόρου. 36.

Λῶπος ἀποκλύζουσα παρὰ κροκάλῃσι θαλάσσης
χερνῆτις διεροῦ τυτθὸν ὕπερθε πάγου,
χέρσον ἐπεκβαίνοντι κατασπασθεῖσα κλύδωνι,
δειλαίη, πικροῦ κῦμ' ἔπιεν θανάτου.
πνεῦμα δ' ὁμοῦ πενίῃ ἀπελύσατο. τίς κ' ἐνὶ νηὶ
θαρσήσαι πεζοῖς τὴν ἀφύλακτον ἅλα;

Ἀντιφίλου Βυζαντίου.

Εὐβοϊκοῦ κόλποιο παλινδίνητε θάλασσα,
πλαγκτὸν ὕδωρ ἰδίοις ῥεύμασιν ἀντίπαλον,
ἠελίῳ κὴν νυκτὶ τεταγμένον, ὃς τρὶς ἄπιστον
ναυσὶν ὅλον πέμπεις χεῦμα δινευόμενον,

[illegible]μα βίου, θαμβῶ σε τὸ μυρίον. οὐδὲ μετεύω
σὺν ἔωσιν· ἀρρήτῳ ταῦτα μέμηλε φύσει.

## ΕΙΣ ΘΑΝΑΤΟΝ, καὶ εἰς θανόντας. Αγαθίου. 37.

Τὸν θάνατον τί φοβεῖσθε, τὸν ἡσυχίης γενετῆρα;
τὸν παύοντα νόσους, καὶ πενίης ὀδύνας;
μοῦνος ἅπαξ θνητοῖς παραγίνεται. οὐδέποτ' αὐτὸν
[illegible]ων [illegible] [illegible]δεύτερον ἐρχόμενον.
αἱ δὲ νόσοι, πολλαὶ, καὶ ποικίλαι, ἄλλοτ' ἐπ' ἄλλον
ἐρχόμεναι θνητῶν, καὶ μεταβαλλόμεναι.

Παλλαδᾶ.

Πάντες τῷ θανάτῳ τηρούμεθα, καὶ τρεφόμεσθα
ὡς ἀγέλη χοίρων σφαζομένων ἀλόγως.

Τοῦ αὐτοῦ.

Σῶμα, πάθος ψυχῆς, ἅδης, μοῖρ', ἄχθος, ἀνάγκη,
καὶ δεσμὸς κρατερὸς, καὶ κόλασις βασάνων.
ἀλλ' ὅταν ἐξέλθῃ τοῦ σώματος ὡς ἀπὸ δεσμῶν
τοῦ θανάτου, φεύγει πρὸς θεὸν ἀθάνατον.

Αδήλου.

Χαίρει τις Θεόδωρος ἐπεὶ θάνον. ἄλλος ἐπ' αὐτῷ
χαιρήσει. θανάτῳ πάντες ὀφειλόμεθα.

Αββιανοῦ.

Πῶς ἐξ ἠοῦς παραπέμπεται. εἶτ' ἀμελοῦντων
ἡμῶν, ἐξαίφνης ἥξει ὁ πορφύρεος.
καὶ τοὺς μὲν τήξας, τοὺς δ' ὀπτήσας, οὓς δὲ
φυσήσας, ἄξει πάντας εἰς ἓν βάραθρον.

Αδήλου.

Γῆ μὲν, ἔαρ κόσμος πολυδένδρεον. αἰθέρι δ' ἄστρα.
Ἑλλάδι δ' ἥδε χθών. οἵδε δὲ τῇδε πόλει.

ARAGONUM · ALEXANDER · FERDINANDI

Κριναγόρου.

Μὴ εἴποις θάνατον βιοτῆς ὅρον. εἰσὶ θανοῦσιν
ὡς ζωοῖς ἀρχαὶ συμφορέων ἑτέρων.
ἄθρει νικέτεω κωφὸν μόρον. ἤδη ἔκειτο
εἰν ἀΐδῃ. νεκρὸς δ' ἤλυθεν ὑπ' ἠέλιον.
ἀστοὶ γὰρ τύμβοιο μετοχλίσσαντες ὀχῆας,
εἴρυσαν εἰς ποινὰς τλήμονα διωθανέα.

Φιλίππου.

Η πυρὶ πάντα τεκοῦσα φιλαίνιον ἡ βαρύποτμος
μήτηρ, ἡ τέκνων τρισσὸν ἰδοῦσα τάφον,
ἀλλοτρίαις ὠδῖσιν ἐφώρμησα. ἦ γὰρ ἔολπειν
πάντως μοι ζήσειν τοῦτον, ὃν οὐκ ἔτεκον.
ἡ δ' οὔπαις, θετὸν υἱὸν ἀνήγαγον. ἀλλά με δαίμων
ἤθελε μηδ' ἄλλης μητρὸς ἔχειν χάριτα.
κληθεὶς ἡμέτερος γὰρ ἀπέφθιτο. νῦν δὲ τεκούσαις
ἤδη, καὶ λοιπαῖς πρὶν βίος ἐγὼ γέγονα.

Τοῦ αὐτοῦ.

Ηρίθμουν ποτὲ πάντες ἀριστοδίκην κλυτόπαιδα,
ἑξάκις ὠδίνων ἄχθος ἀπωσαμένην.
ἤριστε δ' εἰς αὐτὴν ὕδωρ χθονί. τρεῖς γὰρ ὄλοντο
νούσῳ λειπόμενοι δ', ἤμυσαν ἐν πελάγει.
αἰεὶ δ' ἡ βαρύδακρυς, ὧδε στήλαις μὲν ἀηδών,
μεμφομένη δὲ βυθοῖς, ἀλκυονὶς βλέπεται.

Ονέστου.

Παῖδ' αὐτὸν μὲν ἔκαιεν ἄριστον. ὃν δ' ἐσάωσε
ναυηγόν. δισσὸν δ' ἄλγος ἔπηξε μίαν.
αἶ, αἶ, μητέρα μοῖρα διείλετο, τὴν ἴσα τέκνα
καὶ πυρὶ, καὶ πικρῷ νημαμένην ὕδατι.

Αντιπάτρου.

Τὸ βρέφος ἑρμώνακτα διεχρίσασθε μέλισσαι,
φεῦ κύνεον, ἑρπυστὴν. κηρία μαιόμενον.

πολλάκι δ' ἐξ ὑμέων ἐξηγμένον ὤλεσατ', αἲ αἴ,
κέντροις. εἰσὶ σφίων φωλεὰ μεμφόμεθα.
πείθεο Λυσιδίκη, καὶ ἀμύντορι, μὴ δὲ μελίσσας
αἰνεῖν. κἀκείναις πικρὸν ἔνεστι μέλι.

Φιλοδήμου.

Ἤδη καὶ ῥόδον ἐστὶ, καὶ ἀκμάζων ἐρέβινθος,
καὶ καυλοὶ κράμβης Σώσυλε πρωτοτόμου,
καὶ μαίνη ζαλαγεῦσα, καὶ ἀρτιπαγὴς ἁλίτυρος,
καὶ θριδάκων οὔλων ἀφροφυῆ πέταλα.
ἡμεῖς δ' οὔτ' ἀκτῆς ἐπιβαίνομεν, οὔτ' ἐν ἀπόψει
γιγνόμεθ', ὡς αἰεὶ Σώσυλε τοπρότερον.
καὶ μὴν ἀντιγένης, καὶ Βάκχιος, ἐχθὲς ἔπαιζον.
νῦν δ' αὐτοὺς θάψαι σήμερον ἐκφέρομεν.

Ἀντιφίλου.

Βρέγμα πάλαι λαχναῖον, ἐρυμαῖόν τε κέλυφος
ὄμματος, ἀγλώσσου θ' ἁρμονίη στόματος,
ψυχῆς ἀσθενὲς ἕρκος, ἀτυμβεύτου θανάτοιο
λείψανον, εἰνόδιον δάκρυ παρερχομένων,
κεῖσο πέλας κατὰ πρέμνοιο ὁδοῦ πρόπον, ὄφρα
ἀθρήσας τι πλέον φειδομένῳ βιότου.

Τρύφωνος τοῦ ἑρμοῦ εἰς Τέρπην κιθαρῳδὸν
ἐν σκιάδι τῇ λακωνικῇ σύκῳ
βληθέντα, καὶ ἀποθανόντα.

Τέρπης εὐφόρμιγγα κρέκων σκιάδεσσιν ἀοιδὸς,
κάτθανεν ἐξαπίνης ἐν λακεδαιμονίοις,
οὐκ ἄορι πληγεὶς, οὐδ' ἐν βέλει, ἀλλ' ἐνὶ σύκῳ
χείλεα. φεῦ, προφάσεων οὐκ ἀπορεῖ θάνατος.

Παλλαδᾶ ὧδε δυσὶ βρέφεσιν ἅμα τεχθεῖσι, καὶ εὐθὺς ἀποθανοῦσι.

Γραμματικοῦ θυγάτηρ ἔτεκεν φιλότητι μιγεῖσα,
παιδίον ἀρσενικὸν, θηλυκὸν, οὐδέτερον.

Βιάνορος.

Κῦρον ἀποπλανίην ἐπιμάζιον ἑρμόνακτα,
φεῦ βρέφος ὡς ἀδίκως εἵλετε βουγενέες.
ἠγνοίησεν ὁ δείλαιος ἐς ὑμέας οἷα μελίσσαις
ἐλθών. αἱ δ' ἔχεων ἦτε χερειότεραι.
ἀντὶ δὲ οἱ θοίνης, ἐστεμάξατε φοίνια κέντρα.
ὦ πικραί, γλυκερῆς ἀντίπαλοι χάριτος.

Λουκιλλίου.

Ἡμάξευσα καὶ αὐτὸς ὁ τρισδύστην[illegible]
τοῦτον δύσζωον, κἀβίοτον βίοτον.
οὐ μὴν πολλὸν ἐπὶ χρόνον ἤλασα. λὰξ δὲ πατήσας
λυσσώδη ζωήν, ἤλυθον εἰς ἀΐδεω.

Ἄδηλον.

Εἰς ἀΐδην ἰθεῖα κατήλυσις. εἴτ' ἀπ' ἀθηνῶν
στείχεις, εἴτε νέκυς νείσεαι ἐκ μερόης,
μὴ σέ γ' ἀνιάτω πάτρης ἄπο τῆλε θανόντα.
πάντοθεν εἷς ὁ φέρων εἰς ἀΐδην ἄνεμος.

Παλλαδᾶ.

Οὐ ποιεῖ θάνατον μόνον ἡ φύσις, ἀλλὰ τὸν αὐτὸν
καὶ πολλὴ παχύτης πολλάκις εἰργάσατο.
τοῦδ' ὁ τυραννήσας Διονύσιος ἡρακλείας
τῆς ἐν τῷ πόντῳ μάρτυς, ὁ τοῦτο παθών.

Ἄδηλον.

Κάτθανον, ἀλλὰ μένω σε. μενεῖς δέ τε καὶ σύ τιν' ἄλλον.
πάντας ὁμῶς θνητοὺς, εἷς ἀΐδης δέχεται.

Ἄδηλον.

Γῆ μου καὶ μήτηρ κικλήσκετο. γῆ με καλύπτει
καὶ νέκυν. οὐ κείνης ἥδε χερειοτέρη.
ἔσσομαι ἐν ταύτῃ δηρὸν χρόνον. ἐκ δέ με μητρὸς,
ἥρπασεν ἠελίου καῦμα τὸ θερμότατον.

κεῖμαι δὲ ξείνῃ ὑπὸ χέρμαδι μακρὰ γοηθεὶς
ἴναχος, εὐπειθὴς κοιράνου θεράπων.

ἈΝΤΙΦΙΛΟΥ.

Κρῆναι αἰαῖ λιβάδες, τί πεφεύγατε; ποῦ τόσον ὕδωρ;
τίς φλὸξ ἀενάους ἔσβεσεν ἠελίου;
δάκρυσιν ἀγροικόλαι τετρίμμεθα. παῦε δ' ὅσον ἡμῖν
ἦν ποτὸν, ἢ κείνου δίψας ἔχει σποδιήν.

ἈΔΗΛΟΝ.

Ἐν μέμφει λόγος ἐστὶ, μαθεῖν ἰδίην ποτὲ μοίρην
μόσχον πα[...] ἄπιδος τοῦ καλλικέρω ταύρου.
κοὐδὲν ἔλεξε. πόθεν; βοῒ γὰρ λόγον οὐ πόρε φύτλη,
οὐδὲ λάλου μόσχῳ ἄπιδι στόμα. ἀλλὰ παρ' αὐτὸν
λέχρια κείμενον αὐτὸν περιφανῶς ἐλιχμήσατο λώπην,
δηλῶν ὡς ἀποσυλήσει δὴ βιοτὴν ὅσον οὔπω.
καὶ δή οἱ ταχέως ἐπελήλυθεν αὐτίκα πότμος,
[...]ους δεκάκις πρίν τ', ἠδὲ τρεῖς ἐσιδόντι.

ἈΔΗΛΟΝ.

Οἶνος, καὶ τὰ λοετρὰ, καὶ ἡ περὶ κύπριν ἐρωὴ,
ὀξυτέρην πέμπει τὴν ὁδὸν εἰς ἀΐδην.

## ΕΙΣ ΘΕΟΥΣ. Λουκιανοῦ. 38.

Ἀνθρώπους μὲν ἴσως λήσεις, ἄτοπόν τι ποιήσας.
οὐ λήσεις δὲ θεοὺς οὐδὲ λογιζόμενος.

ἈΛΕΞΑΝΔΡΟΥ.

Ζεὺς, κύκνος, ταῦρος, σάτυρος, χρυσὸς, δι' ἔρωτα
λήδης, εὐρώπης, ἀντιόπης, δανάης.

ἈΝΤΙΠΑΤΡΟΥ.

Εὔκολος ἑρμείας ὦ ποιμένες. ἐν δὲ γάλακτι
χαίρων, καὶ δρυΐνῳ σπονδῇ σὺν μέλιτι.

ALEXANDER ... ARAGONVM ... FERDINANDVS ...

ἀλλ' ἐμὲ ἡρακλέης. γυῖα δὲ κτίλον, ἢ παχὺν ἄρνα
αἰτεῖ. καὶ πάντως ἓν θύος ἐκλέγεται.
ἀλλὰ λύκους εἴργει. τί δὲ τὸ πλέον, εἰ τὸ φυλαχθὲν
ὄλλυται, εἴτε λύκοις, εἴθ' ὑπὸ τοῦ φύλακος;

Λεωνίδου.

Ὦ ταῖνδε στείχοντες ἀταρπιτὸν, εἴτε ποτ' ἀγροὺς
δαμόθεν, εἴτ' ἀπ' ἀγρῶν νεῖσθε ποτ' ἀκρόπολιν,
ἄμμες ὅρων φύλακες δισσοὶ θεοὶ, ὧν ὁ μὲν, ἑρμᾶς,
οἷον ὁρῇς μ'. οὗτος δ' ἅτερος, ἡρακλέης.
ἄμφω μὲν θνατοῖς εὐήκοοι. ἀλλὰ ποθ' αὐτοῦ,
αὐτῷ μοι παραθεὶς ἀγράδας, ἐγκέκαφεν.
ναὶ μὰν ὡσαύτως σὺ βότρυας, εἴτε πέλονται
ὥριμοι, εἴτε χύδαν ὄμφακος εὖ βέβρακεν.
μίσεω τὰν μετοχάν. οὐδ' ἥδομαι. ἀλλ' ὁ φέρων τι,
ἄμφω μὴ κοινῇ τοῖς δυσὶ παρτιθέτω,
καὶ λεγέτω, τοῦθ' ἡρακλέους. ἄλλό τι τοῦτο,
ἑρμᾶ. καὶ λύει τὰν ἔριν ἀμφοτέρων.

Ἀντιπάτρου.

Αἰτός μοι δόμος οὗτος, ἐπεὶ παρὰ κύματι πηγῷ
ἵδρυμαι, νοτερῆς δεσπότις ἠιόνος.
ἀλλὰ φίλος. πόντῳ γὰρ ἐπὶ πλατὺ δειμαίνοντι
χαίρω, καὶ ναύταις εἰς ἐμὲ σωζομένοις.
ἱλάσκου τὴν Κύπριν. ἐγὼ δέ σοι ἢ ἐν ἔρωτι
οὔριος, ἢ χαροπῷ πνεύσομαι ἐν πελάγει.

Ἀνύτης.

Κύπριδος οὗτος ὁ χῶρος, ἐπεὶ φίλον ἔπλετο τήνᾳ,
αἰὲν ἀπ' ἠπείρου λαμπρὸν ὁρᾶν πέλαγος,
ὄφρα φίλον ναύτῃσι τελῇ πλόον. ἀμφὶ δὲ πόντος
δειμαίνει, λαμπρὸν δερκόμενος ξόανον.

Λεωνίδου.

Λεωνίδου.

Εἶπέ ποτ' Εὐρώτας ποτὶ τὰν Κύπριν, ἢ λάβε τεύχη,
ἢ ἔξιθι τᾶς Σπάρτας. ἁ πόλις ὁπλομανεῖ.
ἁ δ' ἁπαλὸν γελάσασα, καὶ ἔσσομαι αἰὲν ἀτευχὴς
εἶπε, καὶ οἰκήσω τὰν Λακεδαιμονίαν.
χἁμῖν Κύπρις ἄνοπλος. ἀναιδέες οἱ δὲ λέγουσιν
ἵστορες, ὡς ἁμῖν χ' ἁ θεὸς ὁπλοφορεῖ.

Νικάρχου.

Παρθένε Τριτογένεια, τί τὴν Κύπριν ἄρτι με λυπεῖς;
[illegible] ὸν δῶρον, ἔχεις παλάμῃ;
μέμνησαι τὸ πάροιθεν ἐν Ἰδαίοις σκοπέλοισιν,
ὡς Πάρις οὐ σὲ καλήν, ἀλλ' ἐμὲ ἐδογμάτισε;
σὸν δόρυ, καὶ σάκος ἐστίν. ἐμὸν δὲ τὸ μῆλον ὑπάρχει.
[illegible] εῖνος ὁ πρὶν πόλεμος.

Παλλαδᾶ.

Τὸν Διὸς ἐν τριόδοισιν ἐθαύμασα χάλκεον υἷα,
τὸν πρὶν ἐν εὐχωλαῖς, νῦν παραριπτόμενον.
ὀχθήσας δ' ἄρ' ἔειπον, ἀλεξίκακε τρισέληνε,
μηδέποθ' ἡττηθείς, σήμερον ἐξετάθης.
νυκτὶ δὲ μειδιόων με θεὸς προσέειπε παραστάς,
καιρῷ δουλεύειν καὶ θεὸς ὢν ἔμαθον.

Ἀρχίου.

Βαιὸς ἰδεῖν ὁ Πρίηπος, ἐπ' αἰγιαλίτιδι ναίω
χηλῶ, αἰθυίας ὅποτε ἀντιβίης,
φοξός, ἄπους, οἷόν κεν ἐρημαίῃσιν ἐπ' ἀκταῖς
ξέσσειαν μογερῶν υἱέες ἰχθυβόλων.
ἀλλ' ἤν τις γριπεύς με βοηθόον, ἢ καλαμευτὴς
φωνήσῃ, πνοιῆς ἵεμαι ὀξύτερος.
λεύσσω καὶ τὰ θέοντα καθ' ὕδατος. ἦ γὰρ ἀπ' ἔργων
δαίμονες, οὐ μορφᾶς γνωστὸν ἔχουσι τύπον.

Μέλπομεν βασιλῆα φιλεύιον.
εἰραφιώτην.

Ἀβροκόμην. ἀγροῖκον. ἀοίδιμον. ἀγλαόμορφον.
Βοιωτόν. Βρόμιον. Βακχευτῆρα. Βοτρυοχαίτην.
γηθόσυνον. γανόωντα. γιγαντολέτην γελόωντα.
Διογενῆ. δίγονον. διθυραμβογενῆ Διόνυσον.
εὔιον. εὐχαίτην. εὐάμπελον. ἐγρεσίκωμον.
ζηλαῖον. ζάχολον. ζηλήμονα. ζηλοδοτῆρα.
ἤπιον. ἠλυπότην. ἡδύβροον. ἡδροπῆα.
θυρσοφόρον. θρήϊκα. θιασώτην. [illegible]
ἰνδολέτην. ἱμερτόν. ἰοπλόκον εἰραφιώτην.
κωμαστήν. κραδαόν. κισσοστέφανον. κελαδεινόν.
λυδόν. ληναῖον. λαθικηδέα. λυσιμέριμνον.
μύστην. μαινόλιον. μεθυδώτην. [illegible]μορφον.
νυκτέλιον. νόμιον. νεβρώδεα. νεβριδόπεπλον.
ξυστοβόλον. ξεινόν. ξενοδώτην. ξανθοκάρηνον.
ὀργίλον. ὀβριμόθυμον. ὀρέσκιον. ὀρεσιφοίτην.
πουλυπότην. πλαγκτῆρα πολυστέφανον. πολύκωμον.
ῥηξίνοον. ῥαδινόν. ῥικνώδεα. ῥηνοχορῆα.
σκιρτητήν. σάτυρον. σεμεληγενέτην. σεμεληα.
τερπνόν. ταυρωπόν. τυρρηνολέτην. ταχύμηνιν.
ὑπνοφόβην. ὑγρόν. ὑμνήϊον. ὑλήεντα.
φηρομανῆ. φρικτόν. φιλομειδέα. φοιταλιώτην.
χρυσόκερων. χαρίεντα. χαλίφρονα. χρυσομίτρην.
ψυχοπλανῆ. ψεύστην. ψοφομηδέα. ψυχοδαΐκτην.
ὤριον. ὠμηστήν. ὠρεσίτροφον. ὠρεσίλοιπον.

Ὑμνείω παιᾶνα, μέγαν θεὸν
ἀπόλλωνα.

Ἄβροτον. ἀγλαόμορφον. ἀκερσεκόμην. ἁβροχαίτην.
Βριθύνοον. βασιλῆα. βελεσσιχαρῆ. βιοδώτην.

γηθόσυνον. γελόωντα. γιγαντολέτην. γλυκύθυμον.
διογενῆ. διόπαιδα. δρακοντολέτην. δαφνογηθῆ.
εὔλαλον. εὐρυβίαν. ἑκατηβόλον. ἐλπιδοδώτην.
ζωογόνον. ζάθεον. ζωόφρονα. ζωοδοτῆρα.
ἤπιον. ἡδυεπῆ. ἡδύθροον. ἠπιόχειρα.
θηροφόνον. θαλερόν. θελξίφρονα. θελξιμύθον.
ἰαφέτην. ἱμερτόν. ἰήιον. ἱπποκορυστήν.
κοσμοπλόκον. κλάριον. κρατερόφρονα. καρπογενέθλον.
λητ... λα... λυρογηθέα. λαμπετόωντα.
μουσοπολ... μαντ... μεγαλήτορα. μυριόμορφον.
νεβροχαρῆ. νοερόν. νηπ... θέα. νηφαλέον τε.
ξεινοχαρῆ. ξεινόν. ξεινόφρονα. ξεινοδοτῆρα.
ὄλβιον. ὀλβ...ον. ὀλύμπιον. ὀρεσιφοίτην.
πρηΰν. πανδερκῆ. παναπήμονα. πλουτοδοτῆρα.
ῥυσίπονον. ῥοδόχρουν. ῥηξήνορα. ῥηξικέλευθον.
σιγαλόεντα. σοφόν. σεληνογενέτην. σωτῆρα.
τερψίχορον. τιτᾶνα. τελέστορα. τιμήεντα.
ὑμναγόρην. ὕπατον. ὑψαύχενα. ὑετόεντα.
φοῖβον. φοιβάζοντα. φιλοστέφανον. φρενογηθῆ.
χρησμαγόρην. χρύσεον. χρυσόχροα. χρυσοβέλεμνον.
ψαλμοχαρῆ. ψάλτην. ψυσίζυγα. ψυχοδοτῆρα.
ὠκύπον. ὠκυεπῆ. ὠκύσκοπον. ὠρεσιδώτην.

ΕΙΣ ΙΑΤΡΟΥΣ. Νικομήδους. οἱ δὲ Βάσσου.
εἰς Ἱπποκράτην. Ἀντιστρέφον 39.

Ἱπποκράτης φάος ἦν μερόπων. καὶ σώετο λαῶν
ἔθνεα, καὶ νεκύων ἦν ἄπαυις εἰν ἀΐδῃ.

Ἀντιστρέφον.

Εἰν ἀΐδῃ ἄπαυις ἦν νεκύων, καὶ ἔθνεα λαῶν
σώετο. καὶ μερόπων ἦν φάος ἱπποκράτης.



ALEXANDER ... ARAGONIAE ... FERDINANDI ... GRA ...

Εἰς τὴν ὀρειβασίου βύβλον.

Δῖον ὀρειβασίοιο. τὸν, ἀθανάτην διὰ τέχνην
πολλάκι δειμαίνουσα, μίτους ἀνεβάλλετο μοῖρα.

Εἰς Νίκανδρον.

Καὶ κολοφὼν ἀρίδηλος ἐνὶ πτολίεσσι τέτυκται,
δοιοὺς θρεψαμένη παῖδας ἀριστονόους.
πρωτοτόκον μὲν ὅμηρον, ἀτὰρ Νίκανδρον ἔπειτα,
ἀμφοτέρους μούσαις οὐρανίῃσι φίλους.

Ἄδηλον.

Φάρμακα πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρὰ
Νίκανδρος κατέλεξεν, ᾠδῆς αἵμονος περὶ πάντων
ἀνθρώπων. ἦ γὰρ παιήονός ἐστι γενέθλης.

Ἀδέσποτον.

Παιήων, χείρων, ἀσκληπιὸς, ἱπποκράτης τε.
τοῖς δ' ἔπι, Νίκανδρος, προφορέστερον ἔλλαχεν εὖχος.

Λουκιλλίου.

Μάγνου ὅτ' εἰς ἀΐδην κατέβη, τρομέων ἀϊδωνεὺς,
εἶπεν, ἀναστήσων ἤλυθε καὶ νέκυας.

Τοῦ αὐτοῦ εἰς ἀεὶ
νοσοῦντας.

Τοὺς καταλείψαντας γλυκερὸν φάος οὐκ ἔτι θρηνῶ,
τοὺς δ' ἐπὶ προσδοκίῃ ζῶντας ἀεὶ θανάτου.

Παλλαδᾶ.

Οὐκ ἀλόγως ἐν σιζύφοις δύναμίν τινα θείαν
εἶναι ἔφην. χθὲς γοῦν σίζυφον ἐν χρονίῳ
ἠπιάλῳ κάμνοντι τεταρταίῳ προσῆψα.
καὶ γέγονεν ταχέως οἷα Κρότων ὑγιής.

Τοῦ αὐτοῦ.

Κονδίτου μοι δεῖ. τὸ δὲ κονδίτου, πόθεν ἔχε
τοὔνομα, τῆς φωνῆς ἐστὶ γὰρ ἀλλότριον

της τῶν ἑλλήνων. εἰ ῥωμαϊκῶς δὲ καλεῖται,
    αὐτὸς ἂν εἰδείης ῥωμαϊκώτατος ὤν.
σκεύασον οὖν μοι τοῦτο. τὸ γὰρ κατέχον με νόσημα
    τοῦ στομάχου, χρήζει τοῦ δὲ λέγουσι ποτοῦ.

## ΕΙΣ ΙΧΘΥΑΣ. 40.

Ἀντιπάτρου θεσσαλοῦ.

Πούλυπος εἰναλίῃ ποτ' ἐπὶ προβλῆτι τανυσθείς,
    [illegible]ελίῳ [illegible] ὸν ἀνῆκε πόδα.
οὔπω δ' ἦν πέτρῃ ἴκελος χρόα. τοὔνεκα καί μιν
    αἰετὸς ἐκ νεφέων ὀξὺς ἔμαρψεν ἰδών.
πλοχμοῖς δ' εἱλιχθείς, πέσεν εἰς ἅλα δύσμορος. ἦ ῥα
    ἄμφω, καὶ θήρης ἤμβροτε, καὶ βιότου.

Ἀντιφίλου βυζαντίου.

Αἰγιαλοῦ τενάγεσσιν ὑποπλώοντα λαθραίῃ
    εἰρεσίῃ, φαιδρὼν εἶσιδε πουλυπόδην.
μάρψας δ', ὀξὺς ἔθηκεν ἐπὶ χθόνα, πρὶν περὶ χεῖρας
    πλέξασθαι βρύχην ὀκτατόνους ἕλικας.
δισκευθεὶς δ' ἐπὶ θάμνον οὗ οἰκία δειλὰ λαγωοῦ,
    εἰλιδὸν ταχινοῦ πτωκὸς ἔδησε πόδας.
εἷλε δ' ἁλός. σὺ δ' ἄελπτον ἔχεις γέρας ἀμφοτέρωθεν,
    ἄγρης χερσαίης πρέσβυ, καὶ εἰναλίης.

Φιλίππου.

Μεμφομένη βορέην, ἐπεπωτώμην ὑπὲρ ἅλμης.
    πνεῖ γὰρ ἐμοὶ θρήκης ἤπιος οὐδ' ἄνεμος.
ἀλλά με τὴν μελίγηρυν ἀηδόνα, δέξατο νώτοις
    δελφίν, καὶ πλωτὴν πόντιος ἡνιόχει.
πιστοτάτῳ δ' ἐρέτῃ πορθμευομένη, τὸν ἄκωπον
    ναύτην τῷ στόματος θέλγον ἐγὼ κιθάρῃ.

εἰρεσίην δελφῖνες ἀεὶ μούσῃσιν ἄμισθον
ἤνυσαν. οὐ ψεύστης μῦθος Ἀρίονος.

Ισιδώρου αἰγεώτου.

Πούλυπον ἀγρεύσας ποτὲ Γύννιχος, ἐξ ἁλὸς εἰς γῆν
ἔρριψεν, δείσας θηρὸς ἱμαντοπέδην.
ἀλλ' ὁ δ' ἐφ' ὑπνώοντα πεσὼν συνέδησε λαγωόν,
φεῦ, τάχα θηρευτὰς ἄρτι φυγόντα κύνας.
ἀγρευθεὶς δ' ἠγρεύσεν· ὁ δ' εἰς ἅλα Γύννιχος ἰχθὺν
ἧκε πάλιν, ζωῆς λύτρα λαγωὸν ἔχων.

Αντιφίλου.

Ἀνέρα θὴρ χερσαῖον ὁ πόντιος, ἄπνοον ἔμπνους,
ἁψάμενος λοιμῆς ὑγρὸν ὕπερθε νέκυν,
ὃν ψαμάθους ἐκόμισσα· τὸ δὲ πλέον, ἐξ ἁλὸς εἰς γῆν
νηξάμενος, φόρτου μισθὸν ἔχω θάνατον.
δαίμονα δ' ἀλλήλων ἠμείψαμεν. ἡ μὲν ἐκείνου
χθὼν ἐμὲ, τὸν δ' ἀπὸ γῆς ἔκτανε τοὐμὸν ὕδωρ.

Βιάνορος.

Θαρσεῖ ὅτ' εἰνάλιοι Τυρσηνίδος ἀγχόθι δίνης
φορμικτὰν ἀκάτου θῆκαν ὑπὲρ βύθιον,
αὐτίκα μιν κιθάρῃ λιγυηχέϊ δέξατο δελφὶν
σύνθρονον. ἐν δὲ βυθοῦ ἰήχεθ' ἑλισσόμενος,
μέχρις ἐπ' ἰσθμὸν ἔκελσε Κορίνθιον. ἦ ῥα θάλασσα
ἰχθῦς ἀνθρώπων εἶχε δικαιοτέρους.

Φανίου.

Αντίτα καλαμευτά, ποτὶ ξερὸν ἔλθ' ἀπὸ πέτρας,
καί με λαβὼν ἀρχᾶν πρώϊον ἐμπολέα.
εἴτε σύ γ' ἐν κύρτῳ μελανουρίδας, εἴτε τιν' ἀγρεῖς
μορμύρον, ἢ κίχλην, ἢ σπάρον, ἢ σμαρίδα,
αὐτόν τ' αὐγάσσεις με τὸν οὐ κρέας, ἀλλὰ θάλασσαν
λιμῶντα, ψαφαροῦ κλάσματος εἰς ἀπάτην.

χαλκίδας ἣν δὲ φέρῃς φίλ' ἀκανθίδας, ἥτινα θρίσσοι,
ξυάγρει. λιθίναν οὐ γὰρ ἔχω φάρυγα.

ΕΙΣ ΚΑΛΛΟΣ. Ἀντιπάτρου. 41

Βουκόλος ἔπλεο φοῖβε. Ποσειδάων δὲ, καβάλλης.
κύκνος, Ζεύς. ἄμμων δ', ἀμφιβόητος ὄφις.
χοὶ μὲν ἐπ' ἠϊθέας, σὺ δὲ παιδικὸς, ὄφρα λάθοιτε.
ἐστὲ γὰρ οὐ πειθοῦς εὐνέται, ἀλλὰ βίης.
εὐαγόρας δ' ὢν χαλκὸς, ἄτερ δόλου αὐτὸς ἁλίσκει
πάντας, καὶ πάσας, οὐ μεταβαλλόμενος.

Εἰς εὔμορφον κολυμβῶσαν ἐν τῷ νείλῳ

Ἁ κύπρις πρώαν γυμνάν σε βόασεν ἰδοῦσα,
φεῦ, φεῦ, πῶς σταγόνων ἔκτοθεν οὐρανίων
ζαλώσας ὠδῖνα θαλάσσιον ὁ θρασὺς ἄλλαν
νεῖλος ἀπὸ γλυκερῶν κύπριν ἀνῆκε βυθῶν.

Τί ἂν εἴποι εἰδοθέα ἰδοῦσα τὴν ἑλένην ἐν φάρῳ.

Οἰκτείρω σέο κάλλος, ἐπεὶ Διός ἐσσὶ γενέθλης.
εἰσορόω γὰρ ἄγαλμα διοτρεφὲς ἀτρεκέως γὰρ
τρωσίτε, καὶ δαναοῖσι, μάχη δεκέτηρος ἐτύχθη.
ποῦ Διὸς αἰγιόχοιο τεοῦ γενετῆρος ἀρωγαί;
ἔμπης δ' ἔρχεο θᾶσσον, ἀπήμονα νόστον ἑλοῦσα
εἰδοθέης ἰότητι, κακῆς ἐπὶ νῶτα θαλάσσης.

Ἄδηλον

Αἱ χάριτες, τρεῖς εἰσί. σὺ δὴ, μία ταῖς τρισὶ ταύταις
γεννήθης, ἵν' ἔχωσ' αἱ χάριτες χάριτα.

ΕΙΣ ΚΟΛΑΚΑΣ. Βιζαντίνου. 42.

Εἴτις ἀνὴρ ἄρχων ἐθέλει κολάκων ἀνέχεσθαι,
πολλοὺς ἐκδώσει τοῖς μιαροῖς στόμασιν.

ὥστε καὶ τὸν ἄριστον ἀπεχθαίροντα δικαίως
ὡς κόλακας μισεῖν τοὺς κολακευομένους.

Λουκιανοῦ.

Οὐδὲν ἐν ἀνθρώποισι φύσις χαλεπώτερον εὗρεν,
ἀνθρώπου, καθαρὰν ψευδομένου φιλίην.
οὐ γὰρ ἔθ᾽ ὡς ἐχθρὸν προφυλασσόμεθ᾽. ἀλλ᾽ ἀγαπῶντες
ὡς φίλον, ἐν τούτῳ πλείονα βλαπτόμεθα.

Παλλαδᾶ.

Ην ὁ φίλος τί λάβῃ, δὸ μοι ᾽νε φράτερ [illegible]
ἢν δ᾽ αὖ μήτι λάβῃ, τὸ φράτερ [illegible]
ὤνια γὰρ καὶ ταῦτα τὰ ῥήματα. αὐτὰρ ἔγωγε
οὐκ ἐθέλω δόμινε, οὐ γὰρ ἔχω δόμεναι.

Τοῦ αὐτοῦ.

Ρῶ, καὶ λάμβδα, μόνον κόρακας, κόλακάς τε διΐστα.
οὐκοῦν, ταὐτὸ κόραξ, βωμολόχος τε κόλαξ.
τοὔνεκά μοι βέλτιστε, τόδε ζῶον πεφύλαξο,
εἰδὼς καὶ ζώντων τοὺς κόλακας, κόρακας.

Τοῦ αὐτοῦ.

Οὐχ οὕτω βλάπτει μισεῖν ὁ λέγων ἀναφανδὸν,
ὥσπερ ὁ τὴν καθαρὰν ψευδόμενος φιλίαν.
τὸν μὲν γὰρ μισοῦντα, προειδότες, ἐκτρεπόμεθα.
τὸν δὲ λέγοντα φιλεῖν, οὐ προφυλασσόμεθα.
ἐχθρὸν ἐγὼ κεῖνον κρίνω βαρὺν, ὅς ποτε λάθρῃ
τὴν ἀπὸ τῆς φιλίης πίστιν ἔχων ἀδικεῖ.

Αδήλου.

Πλαστὸν ἔχεις τὸν ἔρωτα. φόβῳ δὲ φιλεῖς, καὶ ἀνάγκῃ.
τοῦ δὲ φιλεῖν οὕτως, οὐδὲν ἀπιστότερον.

ΕΙΣ ΚΡΙΤΑΣ. Αδήλου. 43

Θαρσαλέοι κελτοὶ, ποταμῷ ζηλήμονι ῥήνῳ
τέκνα ταλαντεύουσι. καὶ οὐ πάρος εἰσὶ τοκῆες.

πρὶν παῖν ἀθρήσωσι λελουμένον ὕδασι σεμνῷ.
αὐτὰ γὰρ ἡνίκα μητρὸς ὀλισθήσας διὰ κόλπων
νηπίαχος, πρῶτον προχέει δάκρυ, τὸν μὲν, ἀείρας
αὐτὸς ἐπ' ἀσπίδι θῆκε νέον παῖν, οὐδ' ἀλεγίζει.
οὔπω γὰρ γενέταο φέρει νόον, πρίν γ' ἐσαθρήσῃ
κεκριμένον λουτροῖσιν ἐλεγχιγάμου ποταμοῖο.
ἡ δὲ μετ' εἰλείθυιαν ἐπ' ἄλγεσιν ἄλγος ἔχουσα.
μήτηρ, εἰ καὶ παιδὸς ἀληθέα οἶδε τοκῆα,
ἐκδέχεται τρομέουσα, τί μήσεται ἄστατον ὕδωρ.

Παλλαδᾶ.

Οὐδεὶς καὶ καθαρός, καὶ μείλιχος ἤλυθεν ἄρχων.
ἓν γὰρ ἑνὸς δοκέει δόγματος ἀντίπαλον.
τὸ γλυκὺ τοῦ κλέπτοντος. ὑπερφίαλου δὲ, τὸ ἁγνόν.
ὄργανα τῆς ἀρετῆς ταῦτα δύ' ἐστὶ πάθη.

Τοῦ αὐτοῦ.

Μήποτε δουλεύσασα γυνὴ δέσποινα γένοιτο
ἐστὶ παροιμιακόν. τῷ δ' ἔθ' ὅμοιον ἐρῶ.
μήτε δίκην δικάσειεν ἀνὴρ γεγονὼς δικολέκτης,
μηδ' ἂν Ἰσοκράτεος ῥητορικώτερος ᾖ.
πᾶς γὰρ ὁ μισθαρνεῖν εἰθισμένος, οὐδ' ἐν ἑταίρῳ
σεμνότερον δικάσαι, μὴ ῥυπαρῶς δύναται.

Τοῦ αὐτοῦ.

Εἶναι νομίζω φιλόσοφον καὶ τὸν θεόν,
Βλασφημίαις τὸν εὐθὺς οὐ θυμούμενον,
χρόνῳ δ' ἐπαυξάνοντα τὰς τιμωρίας,
τὰς τῶν πονηρῶν, καὶ ταλαιπώρων βροτῶν.

Τοῦ αὐτοῦ.

Στυγνὴν τὴν νίκην τίς ἰδὼν κατὰ τὴν πόλιν ἐχθὲς,
εἶπε, θεὰ νίκη, τίπτε πέπονθας ἄρα;

ἣδ᾽ ἀποδυρομένη, καὶ μεμφομένη κρίσιν, εἶπεν,
ὅτι ἔγνως σὺ μόνος; Πατρικίῳ δέδομαι.
Ἰὼ ἄρα καὶ νίκη πολυώδυνος, ἣν παρὰ θεσμὸν
Πατρίκιος ταύτης ἥρπασεν ὡς ἄνεμον.

## ΕΙΣ ΛΟΓΟΓΡΑΦΙΑΝ.

ἤτοι ἐποποιίαν. Παρμενίωνος. 44.

Φημὶ πολυστιχίην ἐπιγράμματος, οὐ κατὰ μούσας
εἶναι, μὴ ζητεῖτ᾽ ἐν σταδίῳ δόλιχον.
πόλλ᾽ ἀνακυκλεῖται δολιχοῦ δρόμος. ἐν σταδίῳ δὲ
ὀξὺς ἐλαυνόμενος, πνεύματός ἐστι τόνος.

Κυρίλλου.

Πᾶν καλὸν ἐς ἐπίγραμμα τὸ δίστιχον. ἢν δὲ παρέλθῃς
τοὺς τρεῖς, ῥαψῳδεῖς, κοὐκ ἐπίγραμμα λέγεις.

Ἀδήλου.

Οἴγνυμεν ἐξ ἑτέρης πόμα πίδακος, ὥς τ᾽ ἀφύσασθαι
ξεῖνον μουσοπόλου γράμμα Λεωνίδεω.
δίστιχα γὰρ ψήφοισιν ἰσάζεται. ἀλλὰ σὺ μῶμε,
ἔξιθι, κεἰς ἑτέρους ὀξὺν ὀδόντα βάλε.

Εἰς τὸν φαίδωνα διάλογον Πλάτωνος,
νοθευόμενον ὑπὸ Παναιτίου.

Εἴμε Πλάτων ὁ γράψε, δύω ἐγγόνοντο Πλάτωνε,
σωκρατικῶν ὀάρων ἄνθεα πάντα φέρω.
ἀλλὰ νόθον μ᾽ ἐτέλεσσε Παναίτιος. ὅς ῥ᾽ ἐτάλασσε
καὶ ψυχὴν θνητὴν κἀμὲ νόθον τελέσαι.

Αὐτομέδοντος.

Νικήτης ὀλίγος μὲν ἐπὶ προτόνοισιν ἀήτης,
οἷά τε πρηείης ἄρχεται ἐκ μελέτης.

ἀλλ' ὅταν ἐμπνεύσῃ, κατὰ δ' ἱστία πάντα φέρηται,
λαίφεα πακτώσας, μέσσα θέει πελάγη,
ναῦς ἅτε μυριόφορτος, ἕως ἐπὶ τέρματα μύθων
ἔλθῃ, ἀκυμάντους ἔμπορος εἰς λιμένας.

Ἄδηλον.

Ὦ φίλος, εἰ σοφὸς εἶ, λάβε μ' ἐν χέρας· εἰ δέ γε πάμπαν
νῆϊς ἔφυς μουσέων, ῥῖψον ἃ μὴ νοέεις.
εἰμὶ δ' ἐγὼ πάντεσσι βατός. παῦροι δ' ἀγάσαντο
Θουκυδίδην ὀλόρου, κεκροπίδην τὸ γένος.

Ἄδηλον.

Πᾶς λόγος ἐστὶ μάταιος, ὁ μὴ τετελεσμένος ἔργῳ.
καὶ πᾶσα πρᾶξις, τὸν λόγον ἔργον ἔχει.

## ΕΙΣ ΜΑΙΝΟΜΕΝΟΥΣ. 45.

Κοινῇ πὰρ κλισίῃ ληθαργικὸς, ἠδὲ φρενοπλὴξ
κείμενοι, ἀλλήλων νοῦσον ἀπεσκέδασαν.
ἐξέθορε κλίνης γὰρ ὁ τολμήεις ὑπὸ λύσσης,
καὶ τὸν ἀναίσθητον, παντὸς ἔτυπτε μέλους.
πληγαὶ δ' ἀμφοτέροις ἐγένοντ' ἄκος. οἷς ὁ μὲν, αὐτῶν
ἔγρετο. τὸν δ' ὕπνου πουλὺς ἔρειψε κόπος.

## ΕΙΣ ΜΑΘΗΜΑΤΑ. 46.

Ἀντιπάτρου.

Γράμμα τόδ' Ἀρήτοιο δαήμονος, ὅς ποτε λεπτῇ
φροντίδι δηναιοὺς ἀστέρας ἐφράσατο,
ἀπλανέας τ' ἄμφω, καὶ ἀλήμονας, οἷσιν ἐναργὴς
ἀλλόμενος κύκλοις οὐρανὸς ἐνδέδεται.
αἰνείσθω δὲ καμὼν ἔργον μέγα. καὶ Διὸς εἶναι
δεύτερος, ὅστις ἔθηκ' ἄστρα φαεινότερα.

ARAGONIAM · ALEXANDER
FERDINANDI

Λεωνίδου.

Μάντιοι ἀστροθέαται ὅσοι ζητεῖτε κέλευθον,
ἔῤῥοιτ' εἰκαίης ψευδολόγοι σοφίης.
ὑμέας ἀφροσύνη μαιώσατο, τόλμα δ' ἔτικτε
τλήμονας, οὐδ' ἰδίην εἰδότας ἀκλείην.

Αντιπάτρου.

Θεογένης Πείσωνι τὰ τεχνήεντα κύπελλα
πέμπει. χωροῦμεν δ' οὐρανὸν ἀμφότερα.
δοιὰ γὰρ ἐκ σφαίρης τετμήμεθα. καὶ τὸ μὲν ἡμῶν
σὺν νοτίους, τόδ' ἔχει τείρεα ταῖν ἄρκτη.
ἀλλὰ σὺ μηκέτ' οὖν ἄρκτον ἐπίβλεπε. δοιὰ δ' ἐν ἀμφοῖν
μέτρα πιὼν, ἄθρει πάντα τὰ φαινόμενα.

Πτολεμαίου.

Οἶδ' ὅτι θνατὸς ἐγὼ, καὶ ἐφάμερος. ἀλλ' ὅταν ἄστρων
μασεύω πυκινὰς ἀμφιδρόμους ἕλικας,
οὐκ ἔτ' ἐπιψαύω ποσὶ γαίης, ἀλλὰ παρ' αὐτῷ
Ζηνὶ διοτρεφέος πίμπλαμαι ἀμβροσίης,

Λῆμμα εἰς τὰ προκείμενα
προβλήματα.

Εὑρεῖν ἀριθμὸν τὸν, α, ἀπὸ μονάδος ἔχοντα τὰ διδόμενα μέρη, προκείσθω εὑρεῖν τὸν ἔχοντα τὰ ὧδι τοῦ προβλήματος τῶν Αὐγείου βοῶν μέρη, ἥμισυ. ὄγδοον. δωδέκατον. εἰκοστόν. τριακοστόν. ἐκτίθημι ἀντὶ τῶν μορίων τούτων, τοὺς παρωνύμους αὐτοῖς ἀριθμοὺς, β. η. ιβ. κ. λ. λαμβάνω τῶν προτέρων δύο ἀριθμῶν τὸ μέγιστον κοινὸν μέτρον. εἰ μὲν πρῶτοι πρὸς ἀλλήλους, καὶ ἀσύνθετοί εἰσι, τὴν μονάδα. εἰ δὲ δεύτεροι, καὶ ἀσύνθετοι, τὸ εὑρισκόμενον. καὶ ὁσάκις εἴτε ἡ μονὰς, εἴτε ὁ εὑρεθεὶς ἄλλος ἀριθμὸς μετρεῖ τὸν πρότερον, τοσαυτάκις ποιῶ τὸν δεύτερον. καὶ τὸν

γινόμενον ἤδη πρῶτον ἀπὸ μονάδος ἔχοντα τὰ προληφθέντα δύο μέρη, θεωρῶ πρὸς τὸν, γ, καὶ πάλιν λαμβάνω τὸ κοινὸν μέγιστον μέτρον αὐτῶν καὶ ποιῶ ὁμοίως ἄχρις οὗ διὰ πάντων διέλθω. καὶ τὸ τέλος ἀποβαίνοντα, ἐκεῖνον εἶναί φημι τὸν, α, ἀπὸ μονάδος ἔχοντα τὰ διδόμενα μόρια. οἷον, λαμβάνω πρῶτον, τὸ κοινὸν μέγιστον μέτρον τῶν, β, καὶ η, ὅς ἐστιν αὐτὸς ὁ, β, καὶ ἐπεὶ ἅπαξ ὁ, β, ἑαυτὸν μετρεῖ, λέγω ἅπαξ τὰ, η, πάλιν, η, ὃς πρῶτος ἀπὸ μονάδος ἔχει ἥμισυ, [illegible]λιν λαμβάνω τὸ μέγιστον κοινὸν μέτρον τῶν ρκ, καὶ τῶν λ, καὶ ἔστιν ὁ, δ, καὶ ἐπεὶ ὁ, δ, δὶς μετρεῖ τὸν, η, λέγω δὶς τὰ, ιβ, κδ, ὃς πρῶτος ἀπὸ μονάδος ἔχει ἥμισυ, ὄγδοον, δωδέκατον, εἰ μέντοι οὗτος καὶ ἕτερα ἔχει μέρη, οὐ παρὰ τοῦτο ὁ ὅρος ψεύδεται. οὐ γὰρ περὶ πάντων τῶν μερῶν αὐτοῦ ζητοῦμεν. πάλιν λαμβάνω τὸ κοινὸν μέγιστον μέτρον τῶν, κδ, καὶ τῶν, κ, καὶ ἔστιν ὁ, δ, ἐπεὶ δὲ αὐτὸς ὁ, δ, ἑξάκις μετρεῖ τὸν, κδ, λέγω ἑξάκις τὰ, κ ρκ, ὃς ἀπὸ μονάδος ἔχει ἥμισυ, η, ιβ, κ. πάλιν λαμβάνω τὸ μέγιστον κοινὸν μέτρον τῶν, ρκ, καὶ ἔστιν ὁ, λ, καὶ ἐπεὶ αὐτὸς ὁ, λ, τετράκις μετρεῖ τὸν, ρκ, λέγω τετράκις τὰ, λ, πάλιν, ρκ, αὐτὸς ἄρα ὁ, ρκ, πρῶτος ἀπὸ μονάδος ἔχει τὰ δοθέντα μέρη.

Παλλὰς ἐγὼ τελέθω σφυρήλατος. αὐτὰρ ὁ χρυσὸς,
  αἰζηῶν πέλεται δῶρον ἀοιδοπόλων.
ἥμισυ μὲν χρυσοῖο, Χαρίσιος, ὀγδοάτην δὲ,
  Θέσπις, καὶ δεκάτην μοῖραν ἔθηκε Σόλων.
αὐτὰρ ἐεικοστὴν, Θεμίσων. τὰ δὲ λοιπὰ τάλαντα
  ἐννέα, καὶ τέχνη, δῶρον ἀριστοδίκου.

Αὐγείην ἐρέεινε, μέγα σθένος ἀλκείδαο,
πληθὺν βουκολίων διζήμενος. ὃς δ' ἀπάμειπτο

ἀμφὶ μὲν ἀλφειοῖο ῥοὰς φίλος, ἥμισυ τῶνδε.
μοίρῃ δ' ὀγδοάτῃ ὄχθον κρόνου ἀμφινέμονται.
δωδεκάτῃ δ' ἀπάνευθε ταραξίππιο παρ' οὖρον.
ἀμφὶ δ' ἄρ' ἤλιδα δῖαν ἐεικοστὴ νεμέθονται.
αὐτὰρ ἐν ἀρκαδίῃ τριηκοστὴν προλέλοιπα.
λοιπὰς δ' αὖ λεύσσεις ἀγέλας τόδε πεντήκοντα.

Χάλκεός εἰμι λέων. κρουνοὶ δέ μοι ὄμματα δοιά,
καὶ στόμα. σὺν δὲ, θέναρ δεξιτεροῖο ποδός.
πλήθει δὲ κρατῆρα δυ' ἤμασι δεξιὸν ὄμμα,
καὶ λαιὸν τρισσοῖς, καὶ πισύρεσι θέναρ.
ἄρκιον ἓξ ὥραις πλῆσαι στόμα. σὺν δ' ἅμα πάντα,
καὶ στόμα, καὶ γλῆναι, καὶ θέναρ εἰπὲ πόσον.

## Σχόλιον Μαξίμου μοναχοῦ.

Τὸ καθόλου πρόβλημα, τοιοῦτόν ἐστιν. Εὑρεῖν ἀριθμὸν ἴσον τοῖς δοθεῖσιν αὐτοῦ μέρεσι, καὶ ἔτι μονάσι ταῖς δοθείσαις. Δεῖ δὴ τὰ διδόμενα μέρη, μήτ' ἴσα, μήτε μείζονα εἶναι τοῦ ὅλου. εἰ μὲν γὰρ τὰ διδόμενα μέρη ἴσα ἐστὶ τῷ ὅλῳ, πῶς καὶ αἱ μονάδες σὺν αὐτοῖς ἴσαι ἔσονται τῷ ὅλῳ. εἰ δὲ καὶ μείζονα, πολλῷ πλέον οὐκ ἔσονται. Ἰστέον γε μὴν, ὅτι οὐδὲ πάντα τοῦ ζητουμένου ἀριθμοῦ τὰ μέρη δίδονται, ἀλλά τινα. Εὑρήσθω ὁ ἀριθμὸς ὁ, α, ἀπὸ μονάδος ἔχων τὰ διδόμενα μέρη. οὗτος οὖν, ἐπειδὴ τὰ δοθέντα μέρη αὐτοῦ ἐλάττονά ἐστι τοῦ ὅλου, ἕξει καὶ μονάδας ὁσασδήποτε ὑπολοίπους. κἂν μὲν αὗται ἴσαι ὦσι ταῖς ἐξ ἀρχῆς δοθείσαις μονάσιν, ἔχομεν τὸ ζητούμενον. εὕρηται γὰρ ἀριθμὸς, ἴσος ὢν τοῖς δοθεῖσιν αὐτοῦ μέρεσι, καὶ ἔτι μονάσι ταῖς δοθείσαις. εἰ δὲ μὴ, ἀλλ' αἱ ὑπολιμπανόμεναι μετὰ τὰ μέρη μονάδες, ἐλάττονες εἶεν τῶν

δοθεισῶν δ' ἐξ ἀρχῆς μονάδων, σκοπεῖν τίνα λόγον ἔχουσιν ἐκεῖναι πρὸς ταύτας τὰς ἐλάττονας, καὶ λαμβάνειν ἕτερον ἀριθμὸν, τὸν λόγον ἔχοντα πρὸς τὸν εὑρεθέντα ἀριθμὸν, ὃν λόγον ἔχουσιν αἱ μονάδες πρὸς τὰς μονάδας, κἀκεῖνον εἶναι λέγειν τὸν ζητούμενον ἀριθμόν. οἷον, ἐπὶ μὲν τοῦ τῆς Παλλάδος παραδείγματος, ζητεῖται τίς ἀριθμὸς, α, ἀπὸ μονάδος ἔχει μέρος ἥμισυ, ὄγδοον, δέκατον, καὶ εἰκοστόν. καὶ εὕρηται ὁ τεσσαράκοντα. τούτου γὰρ μέρος ἥμισυ μὲν ὁ, κ, ὄγδοον δὲ, ὁ, ε, δέκατον, ὁ, δ, καὶ εἰκοστὸν, ὁ, β. ταῦτα δὲ πάντα ὁμοῦ, καὶ μονάδες ἐννέα, γίνονται, μ, καὶ ἔχομεν τὸ ζητούμενον. Ἐπὶ δὲ τοῦ τῶν βοῶν παραδείγματος, ζητεῖται ὡσαύτως ὁ ἔχων, α, ἀπὸ μονάδος ἥμισυ, ὄγδοον, δωδέκατον, εἰκοστὸν, καὶ τριακοστόν. καὶ εὕρηται ὁ, ρ, κ, τούτου γὰρ ἥμισυ μὲν, τὰ, ξ, ὄγδοον δὲ, τὰ, ιε, δωδέκατον, τὰ, ι, κ, τὰ ἓξ καὶ τριακοστὸν, τὰ, δ. ταῦτα δὲ πάντα ὁμοῦ γίνονται ἐνενηκονταπέντε. λοιπαὶ καὶ μέχρι τῶν, ρκ, μονάδες, κε. ἀλλ' ἡμεῖς μονάδας, ν, ἐζητοῦμεν. ἐπεὶ οὖν ὁ, ν, πρὸς τὸν, κε, τὸν διπλάσιον ἔχει λόγον, ληφθήτω ὁ διπλάσιον τοῦ, ρκ, ὅς ἐστιν ὁ, σμ, τούτου γοῦν, ἥμισυ μὲν, τὰ ρκ, ὄγδοον δὲ, τὰ λ, δωδέκατον, τὰ κ, εἰκοστὸν, τὰ ιβ, καὶ τριακοστὸν τὰ, η. ταῦτα δὲ πάντα ὁμοῦ, ἑκατὸν ἐνενήκοντα, οἷς προστιθέμεναι καὶ πεντήκοντα μονάδες, ποιοῦσι τὸν, σμ, καὶ δέδεικται τὸ προκείμενον. ἦσαν γὰρ ἐν μὲν τῷ, α, τάλαντα, μ, ἐν δὲ τῷ, β, ἀγέλαι. σμ. Τὸ δὲ περὶ τῶν κρουνῶν πρόβλημα, μεθοδεύεται οὕτως. ὁ μὲν δεξιὸς ὀφθαλμὸς, διὰ, β, ἡμερῶν, ἤτοι ὡρῶν, κδ, πληροῖ τὸν κρατῆρα. οὐ γὰρ εἶπε νυχθημέρων. ὁ δ' ἀριστερὸς, διὰ τριῶν ἡμερῶν, ἤτοι ὡρῶν τριακονταέξ. τὸ δὲ θέναρ, ἐν τέτταρσιν ἡμέραις, ἤτοι ὥραις, μη, τὸ δὲ στόμα, διὰ ὡρῶν ἕξ. ἐπεὶ τοίνυν ὁ δεξιὸς ὀφθαλμὸς διὰ κδ, ὡρῶν πληροῖ τὸν κρατῆρα, διὰ

μιᾶς ἄρα ὥρας τὸ εἰκοστοτέταρτον μέρος τοῦ κρατῆρος ἐξ πληρώσει, ὡσαύτως καὶ ὁ ἀριστερὸς διὰ μιᾶς ὥρας τὸ τριακοστέκτον αὐτοῦ. Εὑρήσθω κἀνταῦθα ἀριθμὸς ὁ, α, ἔχων ἀπὸ μονάδος μέρη ταῦτα, εἰκοστοτέταρτον, τριακοστέκτον καὶ τὸ θέναρ, τὸ τεσσαρακοστόγδοον, καὶ τὸ στόμα, τὸ ἕκτον. εὕρηται τοίνυν ὁ, ρμδ, τούτου γὰρ εἰκοστοτέταρτον μὲν, τὰ ἕξ, τριακοστέκτον δὲ, τὰ, δ, τεσσαρακοστόγδοον, τὰ γ, καὶ ἕκτον, τὰ, κδ, ὁμοῦ δὲ πάντα, λζ, ἑκατοστοτεσσαρακοστοτέταρτα. διὰ μιᾶς ὥρας ἄρα πάντες ὁμοῦ οἱ κρουνοί, λζ, ἑκατοστοτεσσαρακοστοτέταρτα μέρη πληροῦσι τοῦ κρατῆρος. ταῦτα τὰ, λζ, πολλαπλασιαστέον ἄχρις οὗ δυνάμεθα ἐλθεῖν ἐπὶ τὸν, ρμδ, δυνάμεθα δὲ τρίς. τρὶς γὰρ τὰ, λζ, ρια. λοιπὰ καὶ ἄχρι τῶν, ρμδ, λγ, ἅπερ ἐπειδὴ τῇ μιᾷ ὥρᾳ, λζ, ἐπιβάλλουσιν, ἔσονται λγ, τριακοστέβδομα μιᾶς ὥρας. πληρωθήσεται ἄρα ὁ κρατὴρ, ὁμοῦ πάντων τῶν κρουνῶν ῥεόντων, ἐν ὥραις τρισί, διὰ τὸ τρὶς τὰ λζ, καὶ ἔτι. λ, καὶ τρισὶ τριακοστεβδόμοις μιᾶς ὥρας. Οὕτω δὲ χρὴ ποιεῖν καὶ ἐπὶ πάντων τῶν τοιούτων προβλημάτων.

Ἄμφω μὲν ἡμεῖς εἴκοσι μνᾶς ἕλκομεν,
Ζῆθός τε, χὠ ξύναιμος. ἢν δέ μου λάβῃς
τρίτον, τὸ τέτρατόν τε, τοῦ δ' Ἀμφίονος.
ἓξ πάντ' ἀνευρών, μητρὸς εὑρήσεις σταθμόν.

Ἑρμηνεία τοῦ αὐτοῦ.

Δώδεκα μναῖ. ὧν τὸ τρίτον, τέσσαρες. ὀκτὼ μναῖ. ὧν τὸ τέταρτον, δύο. δώδεκα δὲ, καὶ ὀκτὼ, εἴκοσι. τέσσαρα δὲ, καὶ δύο, ἕξ.

Ἀδέσποτον.

Τὸν σοφὸν ἐν κιθάρῃ, τὸν μουσικὸν Ἀνδροτίωνα,
ἤρετό τις τίνα κρουματικὴν σοφίην,

δεξιτερὴν

ἐξ ἑτέρης ὑπάτην, ὁπότε πλήκτροισι δονήσω
ἡ λαιὴ νήτη πάλλεται αὐτομάτως,
κτύπον ὑποτρίζουσα. καὶ ἀντίτυπον τερέτισμα
πάχει, τῆς ἰδίης πλησσομένης ὑπάτης.
ὥστε με θαυμάζειν πῶς ἄπνοα νεῦρα ταθέντα,
ἡ φύσις ἀλλήλοις θήκατο συμπαθέα.
ὃς δέ, τὸν ἐν πλήκτροισιν ἀριστόξεινον ἀγητὸν
ὤμοσε μὴ γνῶναι τήνδε θεημοσύνην.
ἔστι δ' ἐτὴ λύσις ἥδε. τὰ νεῦρα πάντα τέτυκται
ἐξ οἴος χολάδων ἄμμιγα τεμνομένων.
τοὔνεκεν εἰσὶν ἀδελφά, καὶ ὡς ξύμφυλα συνηχεῖ,
ξυγγενὲς ἀλλήλων φθέγμα μεριζόμενα.
γνήσια γὰρ τάδε πάντα, μιῆς ἅτε γαστρὸς ἐόντα,
καὶ τὴν ἀντιτύπων κληρονομεῖ πάταγον.
καὶ γὰρ δεξιὸν ὄμμα κακούμενον ὄμματι λαιῷ,
πολλάκι τοὺς ἰδίους ἀντιδίδωσι πόνους.

## ΕΙΣ ΜΕΘΗΝ. 47

Ἀντιπάτρου.

Μηδ' ὅτ' ἐπαγγέλλῃ ὅλον πίσυνε θαλάσσῃ
ναυτίλε, μηδ' εἴ τοι πείσματα χέρσος ἔχει.
καὶ γὰρ Ἴων ὅρμῳ ἐνικάππεσεν. ὃν δὲ κόλυμβον
νηῦν τὰς ταχινὰς οἶνος ἔδησε χέρας.
φεῦγε χοροιτυπίην ἀθηναίου. ἐχθρὸς ἰάκχῳ
πόντος, τυρσηνοὶ τοῖον ἔθεν τὸ νόμον.

Ἀργενταρίου.

Κωμάζω, χρύσειον ἐν ἑσπερίων χορὸν ἄστρων
λεύσσων. οὐδ' ἄλλων λᾶξ ἐβάρυνα χορούς.
στέψας δ' αὐθοβόλευν κρατὸς τρίχα, τὴν κελαδεινὴν
πηκτίδα μουσοπόλοις χερσὶν ἐπηρέθισα.



ALEXANDER ARAGONUM · FERDINANDUS SANC…

καὶ τάδε ἀνδρῶν, ξύνκοσμον ἔχω βίον. οὐδὲ γὰρ αὐτὸς
κόσμος ἄνευθε λύρης ἔπλετο, καὶ στεφάνου.

Ἄδηλον

Ὁ πρὶν ἀεὶ Βρομίου μεμεθυσμένος οἰνάδι πηγῇ,
σύντροφος εὐάσταις, αἰγοπόδης σάτυρος,
λιχθάδιον κατὰ κῶλον ἀλυκτοπέδῃσι λυγωθεὶς,
ἄντια παιδὶ θεᾶς χαλκοτορεῖ Θέτιδος,
οὐ σοφὸν ἐκ τέχνας ἀσκῶν πόνον, ἀλλὰ πενιχρὰν
ἐργάτιν ἐκ μόχθων ῥυόμενος βιοτάν.

Ἄδηλον.

Ποῦ σοι κεῖνα κύπελλα λαφύστιε, ποῦ καλὰ θύρσων
πήγματα, καὶ κῶμοι, σκιρτοπόδη σάτυρε;
τίς σε παρὰ σμίλαισι ποδίκροτον ἅμμα καθάψας
θήκατο, τὸν Βρομίῳ σπάργαν' ἑλιξάμενον;
ἀχρήμων ἔνδεια, καὶ ἁ πάντολμος ἀνάγκα,
ἅ με παρ' ἡφαίστῳ θῆκε μακελοπόταν.

## ΕΙΣ ΜΕΤΡΙΟΤΗΤΑ. 48

Βάσσου.

Μήτε με χείματι πόντος ἄγοι θρασὺς, οὐδὲ γαλήνην
ἀργὴν ἠσπασάμην τὴν πολυηνεμίην.
αἱ μεσότητες ἄρισται. ὅπη δέ γε πρῆξις ἀνδρῶν,
καὶ μάλα μέτρον ἐγὼ τἄρκιον ἠσπασάμην.
τοῦτ' ἀγάπα φίλε Λάμπι, κακὰς δ' ἔχθαιρε θυέλλας.
εἰσί τινες πρηεῖς, καὶ βιότου ζέφυροι.

Ἄδηλον.

Πᾶν τὸ περισσὸν, ἄκαιρον, ἐπεὶ λόγος ἐστὶ παλαιὸς,
ὡς καὶ τοῦ μέλιτος τὸ πλέον ἐστὶ χολή.

Ἰουλιανοῦ.

Οἶκος, καὶ πάτρη, βιότου χάρις. αἱ δὲ περισσαὶ
φροντίδες, ἀνθρώποις, οὐ βίος, ἀλλὰ πόνος.

ΕΙΣ ΜΙΣΟΣ. Ἄδηλον. 49

Ἑσπέριός μ᾽ ἐδάμασσεν ὁμοῦ, καὶ πρώϊος ὕπνος,
ὃς μὲν ἐπιβρίσας, ὃς δέ με μὴ καλέσας.
ἐκ δ᾽ ἀμφοτέρων, ὁ μὲν ἐρρέτω. ὃς δὲ, παρείη
ἵλαος, ὡράων μέτρον ἐπιστάμενος.

ΕΙΣ ΜΗΤΡΥΙΑΝ. Καλλιμάχου. 50

Στήλην μητρυιῆς μικρὰν λίθον ἔστεφε κοῦρος,
ὡς βίον ἠλλάχθαι, καὶ τρόπον οἰόμενος.
ἡ δὲ, τάφῳ κλινθεῖσα, κατέκτανε παῖδα πεσοῦσα.
φεύγετε μητρυιῆς καὶ τάφον οἱ πρόγονοι.

Ἄδηλον.

Μητρυιαὶ, προγόνοισιν ἀεὶ κακόν, οὐδὲ φιλοῦσαι
σώζουσιν. Φαίδραν γνῶθι, καὶ Ἱππόλυτον.

Παρμενίωνος μακεδόνος.

Μητρυιῆς δύσμηνις ἀεὶ χόλος, οὐδ᾽ ἐν ἔρωτι
ἤπιος. οἶδα πάθη σώφρονος ἱππολύτου.

ΕΙΣ ΜΝΗΜΗΝ. 51

Μακεδονίου ὑπάτου.

Μνήμη, καὶ λήθη, μέγα χαίρετον. ἡ μὲν ἐπ᾽ ἔργοις
μνήμη, τοῖς ἀγαθοῖς. ἡ δ᾽ ἐπὶ λευγαλέοις.

ΕΙΣ ΜΥΣΤΗΡΙΟΝ. Λουκιανοῦ. 52

Ἀρρήτων ἐπέων γλώσσῃ σφρηγὶς ἐπικείσθω.
κρεῖσσον γὰρ μύθων ἢ κτεάνων φυλακή.

ΕΙΣ ΜΕΜΨΙΝ. Ἀντιφίλου. 53

Ἠγραῦς Εὐβούλη, ὅτε οἱ καταθύμιον ἦν τι,
Φοίβου τὸν περὶ πολλῶν μάντιν ἄειρε λίθον,



ALEXAND ... ARAGONVM ... DEI GRA REX ... FERDINANDI SANC

χείρεσι πειράζουσα, καὶ ἣν βαρὺς ἡνίκα μή τι
ἤθελεν. εἰ δ' ἐθέλοι, κουφότερος πετάλων.
αὐτὴ δὲ πρήσσουσα τό οἱ φίλον, ἥν ποθ' ἁμάρτοι,
Φοίβῳ τὰς αὐτοῦ χεῖρας ἐπεγράφετο.

ΕΙΣ ΝΑΟΥΣ. Ἀντιπάτρου. 54

Καὶ κραναᾶς Βαβυλῶνος ἐπίδρομον ἅρμασι τεῖχος,
καὶ τὸν ἐπ' Ἀλφειῷ Ζῆνα κατηυγασάμην,
κάπων τ' αἰώρημα, καὶ ἠελίοιο Κολοσσὸν,
καὶ μέγαν αἰπεινᾶν πυραμίδων κάματον,
μνᾶμά τε Μαυσωλοῖο πελώριον. ἀλλ' ὅτ' ἐσεῖδον
Ἀρτέμιδος νεφέων ἄχρι θέοντα δόμον,
κεῖνα μὲν ἠμαύρωτο. ἢν ἴδε νόσφιν Ὀλύμπου
ἅλιος, οὐδέν πω τοῖον ἐπαυγάσατο.

Τοῦ αὐτοῦ.

Τέσσαρες αἰωροῦσι τανυπτερύγων ἐπὶ νώτων
νῖκαι, ἰσηρίθμους ἧκας ἀθανάτων,
ἁ μὲν, Ἀθηναίαν πολεμαδόκον, ἁ δ' Ἀφροδίταν,
ἁ δὲ, τὸν Ἀλκείδαν, ἁ δ' ἀφόβητον Ἄρη,
σοῖο κατευόροφον γραπτὸν τέγος. οὗ δὲ νέονται
οὐρανόν. ὦ Ῥώμας Γάϊε πάτρας ἔρυμα,
θείη ἀνίκατον μὲν ὁ βουφάγος. ἁ δέ γε Κύπρις,
εὔγαμον. εὔμητιν Παλλάς. ἄτρεστον Ἄρης.

Μνασάλκου.

Στῶμεν ἁλιρράντοιο παρὰ χθαμαλὰν χθόνα πόντου,
δερκόμενοι τέμενος Κύπριδος εἰναλίας,
κράναν τ' αἰγείροισι κατάσκιον. ἧς ἄπο νᾶμα
ξουθαὶ ἀφύσσονται χείλεσιν ἀλκυόνες.

Εἰς τάφον Πομπηΐου ἐν αἰγύπτῳ,
Ἀδριανοῦ Βασιλέως.

Τῷ ναοῖς βρίθοντι, πόση σπάνις ἔπλετο τύμβου.

ΕΙΣ ΝΑΥΑΓΙΟΝ. 55

Ζωσίμου θασίου.

Οὐ μόνον ὑσμίνῃσι, καὶ ἐν στονόεντι κυδοιμῷ
ῥυόμ᾽ ἀρειτόλμου θυμὸν ἀναξιμένους,
ἀλλὰ καὶ ἐν πόντῳ, ὁπότ᾽ ἔσχισε νῆα θάλασσα,
ἀσπὶς ἐφ᾽ ἡμετέρης νηξάμενον σανίδος.
εἰμὶ δὲ κὴν πελάγει, καὶ ἐπὶ χθονὸς ἐλπὶς ἐκείνῳ,
τὸν θρασὺν ἐκ διπλῶν ῥυσαμένη θανάτων.

Θέωνος ἀλεξανδρέως.

Ἡ πάρος ἀντιπάλων γε ἐπίκρανος ἀσπὶς ἀκόντων,
ἡ φόνιον στυγνοῦ κῦμα φέρουσα μόθου,
ἄγριον οὐδ᾽ ὅτε πόντος ἐπὶ κλόνον ἤλασε φωτὶ,
καὶ πικρὴ ναυτέων ἔπλετ᾽ ἀλιφθορίη,
συζυγίης ἀμέλησα. καλὸν δέ σε φόρτον ἄγουσα,
ναὶ φίλος, εὐκταίων ἄχρις ἔβην λιμένων.

Ἰουλίου λεωνίδου.

Ἐν ἑνὶ κινδύνους ἔφυγον δύο Μυρτίλος ὅπλῳ,
τὸν μὲν, ἀριστεύσας, τὸν δ᾽ ἐπινηξάμενος,
ἀργέστης ὅτ᾽ ἔλυσε νεὼς τρόπιν. ἀσπίδα δ᾽ ἔσχον
σωθεὶς κεκρημένην ὕδατι, καὶ πολέμῳ.

Ἰουλίου διοκλέους.

Οὐκ οἶδ᾽ εἴτε σάκος λέξαιμί σε, τὴν ἐπὶ πολλοὺς
ἀντιπάλους πιστὴν σύμμαχον ὡπλισάμην,
εἴτε δὲ βαιὸν ἐμοὶ πόντου σκάφος. ἦ μ᾽ ἀπὸ νηὸς
ὀλλυμένης, κόμισας νηκτὸν ἐπ᾽ ἠιόνας.
ἄρεος ἐν πολέμοις ἔφυγον χόλον. ἐν δὲ θαλάσσῃ,
νηρῆος. σὺ δ᾽ ἄρ᾽ ἦς ὅπλον ἐν ἀμφοτέροις.

Ἀντιφάνους.

Νηὸς ἀλιστρέπτου πλαγκτὸν κύτος εἶδεν ἀπ᾽ ἀκτῆς
μηλοβότης, βλοσυροῖς κύμασι συρόμενον.

χεῖρα δ᾽ ἐπερρίψεν. τὸ δ᾽ ἐπεσπάσατ᾽ ἐν βυθὸν ἅλμης
τὸν σώζονθ᾽. οὕτω πᾶσιν ἀπηχθάνετο.
ναυηγὸν δ᾽ ὁ νομεὺς ἔσχε μόρον. ᾧ δ᾽ ἐκείνην
καὶ δοῦμοι χῆροι πορθμίδα, καὶ λιμένων.

Φιλίππου.

Νῆα μὲν ὤλεσε πόντος. ἐμοὶ δ᾽ ἔπορεν πάλι δαίμων
πλαζομένῳ, φύσιν νῆα ποθεινοτέρην.
πατρὸς ἰδὼν γὰρ ἐγὼ δέμας εἰς ἐμὲ καίριον ἐλθόν,
μονόρετης ἐπέβην, φόρτος ὀφειλόμενος.
ἤγαγε δ᾽ εἰς λιμένας με, καὶ ἔσπειρεν δὶς ὁ πρέσβυς,
νήπιον ἐν γαίῃ, δεύτερον ἐν πελάγει.

Ἀντιπάτρου μακεδόνος.

Αἰεὶ θηλυτέρῃσιν ὕδωρ κακὸν Ἑλλήσποντος,
ξεῖνε Κλεωνίκης πεύθεο Δυρραχίδος.
πλῶε γὰρ ἐν Σηστὸν μετὰ νυμφίον. ἐν δὲ μελαίνῃ
φορτίδι, τὴν Ἕλλης μοῖραν ἀπεπλάσατο.
Ἡρὼ δειλαίη, σὺ μὲν ἀνέρα, Δηίμαχος δέ,
νύμφην, ἐν παύροις ὤλεσατε σταδίοις.

Αἰμιλιανοῦ νικαέως.

Ἄβαλε, χειμέριος με κατέκλυσε κύματα πόντου
δειλαίην, νεκύων φόρτον ἀμειψαμένην.
αἰδέομαι σωθεῖσα. τί μοι πλέον ὅρμον ἱκέσθαι,
δευομένῃ φωτῶν πείσματα λυομένων;
κωκυτοὶ με λέγοιτε βαρὺ σκάφος. ὤλεσα φῶτας
ὤλεσα. ναυηγοὶ δ᾽ εἰσὶν ἔσω λιμένος.

Φιλίππου.

Ἰκαρίην τὸ πάρος πλώων ἅλα, νηὸς ὀλισθὼν
Δᾶμις ὁ Νικαρέτου, κάππεσεν εἰς πέλαγος.
πολλὰ πατὴρ δ᾽ ἠρᾶτο θεοῖς ἀθανάτοις, καὶ ἐν ὕδωρ
φθέγγεθ᾽, ὑπὲρ τέκνου κύματα λισσόμενος.

ὤλετο δ᾽ οἰκτίστως ἁλὶ βρυχθείς. κεῖνο δὲ πατρὸς
ἔκλυεν αἰάζων ὅδε πάλαι πέλαγος.

Ἀπολλωνίδου.

Καί ποτε δινείης ἄφοβος πόρος εἶπε θάλασσα,
εἰ καὶ ἐν ἀλκυόνων ἤμασι κλαυσόμεθα.
ἀλκυόνων, αἷς πόντος ἀεὶ στηρίξατο κῦμα
νήνεμον, ὡς κρίναι χέρσον ἀπιστοτέρην.
ἀλλὰ καὶ ἡνίκα γαῖα, καὶ ὠδίνεσσιν ἀπήμων
αὐχεῖς, σὺν φόρτῳ δύσας ἀριστομένην.

Βάσσου.

Οὐλόμεναι νήεσσι καφηρίδες, αἵ ποτε νόστου
ὠλέσαθ᾽ ἑλλήνων, καὶ στόλον ἰλιόθεν,
πυρσὸς ὅτε ψεύστης χθονίης δνοφερώτερα νυκτὸς
ἧψε σέλα, τυφλὴ δ᾽ ἔδραμε πᾶσα τρόπις
χοιράδας εἰς πέτρας, δαναοῖς πάλιν ἴλιος ἄλλη
ἔπλετο, καὶ δεκέτους ἐχθροτέρη πολέμου.
καὶ τὴν μὲν, τότ᾽ ἔπορσαν. ἀνίκητος δὲ καφηρεὺς
ναύπλιε. σοὶ γὰρ πᾶν ἑλλὰς ἔκλαυσε δάκρυ.

Ἀργενταρίου.

Ἐθραύσθης ἠλεῖα παρ᾽ οἰνοπότῃσι λάγυνε,
νηδύος ἐκ πάσης χευαμένη βρόμιον.
τηλόθε γὰρ λίθος εἰς σὲ βαρύστονος, οἷα κεραυνὸς,
οὐ Διὸς ἐκ χειρῶν, ἀλλὰ Δίωνος ἔβη.
τὴν δὲ γέλως ἦθι σοί, καὶ σκώμματα πολλὰ, τυπείσης,
καὶ πολὺς ἐξ ἑτάρων γιγνόμενος θόρυβος.
οὐ θρηνῶ σε λάγυνε, τὸν εὐιαστῆρα τεκοῦσαν
Βάκχον, ἐπεὶ Σεμέλη καὶ σὺ, πεπόνθατ᾽ ἴσα.

Φιλίππου.

Κλασθείσης ποτὲ νηὸς ἐν ὕδασι, δῆριν ἔθεντο
δισσοὶ ὑπὲρ μούνης μαρνάμενοι σανίδος.



ALEXANDRI · ARAGONIUM · FERDINANDI · SANCI

τύψε μὲν ἀνταγόρης Πεισίστρατον, οὐ νεμεσητὸν,
ἦν γὰρ ὑπὲρ ψυχῆς. ἀλλ' ἐμέλησε δίκη.
νήχεθ' ὁ μὲν. τὸν δ' εἷλε κύων ἅλιος. παναλάστωρ
χήρων, οὐδ' ὑγρῷ παύεται ἐν πελάγει.

ΕΙΣ ΝΑΥΤΙΛΙΑΝ. Ἀντιπάτρου. 56

Γειαρότης ἄρχιππος ὅτ' ἐκ νούσοιο βαρείης
ἄρτι λιποψυχέων ἔρχετ' εἰς ἀΐδην,
εἶπε τάδ' υἱέεσσιν, ὦ φίλα τέκνα, μάκελλαν,
καὶ τὸν ἀροτρητὴν στέρξατέ μοι βίοτον.
μὴ σφαλερῆς αἰνεῖτε πόνον στυγεροῖο θαλάσσης,
καὶ βαρὺν ἀτηρῆς ναυτιλίης κάματον.
ὅσσον μητρυιῆς γλυκερωτέρη ἔπλετο μήτηρ,
τόσσον ἁλὸς πολιῆς γαῖα ποθεινοτέρη.

Ἀντιφίλου Βυζαντίου.

Τόλμα, νεῶν ἀρχηγὲ, σὺ γὰρ δρόμον εὕραο πόντου,
καὶ ψυχὰς ἀνδρῶν κέρδεσιν ἠρέθισας,
οἷον ἐτεκτήνω δόλιον ξύλον. οἷον ἐνῆκας
ἀνθρώποις θανάτῳ κέρδος ἐλεγχόμενον.
ἦν ὄντως μερόπων χρύσεον γένος, εἴ γ' ἀπὸ χέρσου
τηλόθεν ὡς ἀΐδης πόντος ἀπεβλέπετο.

Τοῦ αὐτοῦ.

Γλαῦκος ὁ Νεσσαίοιο διαπλώουσιν ὁδηγὸς,
πορθμοῦ, καὶ θασίων ἔντροφος αἰγιαλῶν,
πόντου ἀρωστροῦτὴρ ἐπιδέξιος ἤδ' ὅτ' ἐκώπα
πλαζομένη στροφῶν πηδάλιον παλάμῃ,
μυριετὴς, ἁλίοιο βίου ῥάκος, οὐδ' ὅτ' ἔμελλε
θνήσκειν, ἐκτὸς ἔβη γηραλέης σανίδος.
τοὶ δὲ, κέλυφος ἔκλυσαν ἐπ' ἀνέρι, τόφρα γεραιὸς
πλώσῃ ἐπ' οἰκείης εἰς ἀΐδην ἀκάτου.

ALEXANDER PP VI ... FERDINANDI ... VALENTINUS SANCTI

Λεωνίδου.

Ὁ πλόος, ὡραῖος. καὶ γὰρ λαλαγεῦσα χελιδὼν
ἤδη, μέμβλωκεν, χὠ χαρίεις ζέφυρος.
λειμῶνες δ' ἀνθεῦσι. σεσίγηκεν δὲ θάλασσα
κύμασι, καὶ τρηχεῖ πνεύματι βρασσομένη.
ἀγκύρας ἀνέλοιο, καὶ ἐκλύσαιο γύαια
ναυτίλε, καὶ πλώοις, πᾶσαν ἐφεὶς ὀθόνην.
ταῦθ' ὁ Πρίηπος ἐγὼν ἐπιτέλλομαι, ὁ λιμενίτης
ἄνθρωφ', ὅς πλώῃς πᾶσαν ἐπ' ἐμπορίην.

Ἀντιπάτρου σιδωνίου.

Ἀκμαῖος ῥοθίῃ νηὶ δρόμος. οὐδὲ θάλασσα
πορφύρει, τρομερῇ φρικὶ χαρασσομένη.
ἤδη δὲ πλάσσει μὲν ὑπώροφα γυρὰ χελιδὼν
οἰκία. λειμώνων δ' ἁβρὰ γελᾷ πέταλα.
τοὔνεκα μηρύσασθε διάβροχα πείσματα ναῦται,
ἕλκετε δ' ἀγκύρας φωλάδας ἐκ λιμένων.
λαίφεα δ' εὐύφεα προτονίζετε. ταῦθ' ὁ Πρίηπος
ὔμμιν ἐνορμίτους, παῖς ἐνέπω Βρομίου.

Μάρκου ἀργενταρίου.

Λῦσον ἀπ' εὐόρμων δολιχὰ πρυμνήσια νηῶν,
εὔτροχα δ' ἐκπετάσας λαίφεα, ποντοπόρει
ἔμπορε. χειμῶνες γὰρ ἀπέδραμον, ἄρτι δὲ κῦμα
γλαυκὸν θηλύνει πρηΰγελως ζέφυρος.
ἤδη καὶ φιλότεκνος ὑπὸ τραυλοῖσι χελιδὼν
χείλεσι, καρφίτην πηλοδομεῖ θάλαμον.
ἄνθεα δ' ἀντέλλουσι κατὰ χθόνα. τῷ, σὺ Πριήπῳ
πειθόμενος, πάσης ἅπτεο ναυτιλίης.

Σατύρου θυίλλου.

Ἤδη πηλοδομεῦσι χελιδόνες. ἤδη ἀν' οἶδμα
κολποῦται μαλακὰς εἰς ὀθόνας ζέφυρος.

ἤδη καὶ λειμῶνες ὑπὲρ πετάλων ἐχέαντο
 ἄνθεα, καὶ τρηχὺς σῖγα μέμυκε πόρος.
σχοίνους ἀγκύρας τε ἐφ' ὁλκάδια, φορτίζεσθε
 ἀγκύρας, καὶ πᾶν λαῖφος ἐφέσθε κάλοις.
ταῦθ' ὑμῖν πλώουσιν ἐπ' ἐμπορίην, ὁ Πρίηπος
 ὁ λιμενορμίτης ναυτιλίη γράφομαι.

Σατύρου.

Ηδη μὲν ζεφύροιο πλοκτόνου ὑγρὸν ἄημα
 ἠρέμα λειμῶνας πνείει ἐπ' αἰθοκόμους.
κεκροπίδες δ' ἤχησι. γαληναίη δὲ θάλασσα
 μειδιάει, κρυερῶν ἄτρομος ἐξ ἀνέμων.
ἀλλ' ἴτε θαρσαλέοι, πρυμνήσια λύετε ναῦται,
 πίτνατε δ' εὐπτερύγων λεπταλέας στολίδας.
ὦ ἴτ' ἐπ' ἐμπορίην, πίσυνοι χαρίεντι Πριήπῳ,
 ὦ ἴτε δὴ λιμένων δαίμονι πειθόμενοι.

Αρχίου.

Τοῦ δέ με κυματοπλῆγος ἐπὶ σκοπέλοιο Πρίηπον
 ναῦται θρηϊκίου θῆκαν πόρου φύλακα.
πολλάκις οἷς ἤιξα ταχὺς καλέουσιν ἀρωγὸς
 ξεῖνε, κατὰ πρύμνης ἡδὺν ἄγων ζέφυρον.
τοὔνεκεν οὔτ' ἄκνισον, ὁπὸρ θέμις, οὔτ' ἐπιδευῆ
 εἴαρος ἀθρήσεις βωμὸν ἐμὸν στεφάνων,
ἀλλ' αἰεὶ θυόεντα, καὶ ἔμπυρον. οὐδ' ἑκατόμβη
 τόσον, ὅσον τιμὴ δαίμοσιν ἁνδάνεται.

Αγαθίου σχο-
λαστικοῦ.

Εὔδια μὲν πόντος πορφύρεται. οὐ γὰρ ἀήτης
 κύματα λευκαίνει φρικὶ χαρασσόμενα.
οὐκ ἔτι δὲ σπιλάδεσσι περὶ κλασθεῖσα θάλασσα
 ἔμπαλιν ἀντωπὸς πρὸς βάθος εἰσάγεται.

οἱ ζέφυροι πνείουσιν. ὑποτρύζει δὲ χελιδὼν,
κάρφεσι κολλητὸν πηξαμένη θάλαμον.
θάρσει ναυτιλίης ἔμπειρε μὲ, κἂν παρὰ σύρτιν,
κἂν παρὰ σικελίην ποντοπορῇς κροκάλην.
μοῦνον ἐνορμίταο παραὶ βωμοῖσι Πριήπου
ἢ σκάρον, ἢ βῶκας φλέξον ἐρευθομένους.

Παύλου σιλεντιαρίου.

Ἤδη μὲν ζεφύροισι μεμυκότα κόλπον ἀνοίγει
εἴαρος εὐλείμων θελξινόοιο χάρις.
ἄρτι δὲ δουρατέοισιν ἐπωλίσθησε κυλίνδροις
ὁλκὰς, ἀπ' ἠϊόνων εἰς βυθὸν ἑλκομένη.
λαίφεα κυρτώσαντες ἀταρβέες ἔξιτε ναῦται,
πρηῢν ἀμοιβαίης φόρτον ἐς ἐμπορίης.
πιστὸς νηυσὶ Πρίηπος, ἐπεὶ Θέτιν εὔχομαι εἶναι
ἡμετέρου πατρὸς ξεινοδόκον Βρομίου.

Θεαιτήτου σχολαστικοῦ.

Ἤδη καλλιπέτηλον ἐπ' εὐκάρποισι λοχείαις
λήϊον, ἐκ ῥοδέων ἀνθοφορεῖ καλύκων.
ἤδη ἐπ' ἀκρεμόνεσσιν ἰσοζυγέων κυπαρίσσων
μουσομανὴς τέττιξ θέλγει ἀμαλλοδέτην.
καὶ φιλόπαις ὑπὸ γεῖσα δόμους τεύξασα χελιδὼν,
ἔκγονα πηλοχύτοις ξεινοδοκεῖ θαλάμοις.
ὑπνώει δὲ θάλασσα φιλοζεφύροιο γαλήνης,
νηοφόροις νώτοις, εὔδια πεπταμένης.
οὐκ ἔτι πρυμναίοισι καταιγίζουσα κορύμβοις,
οὐκ ἔτι ῥηγμίνων ἀφρὸν ἐρευγομένη,
ναυτίλε, ποντομέδοντι, καὶ ὁρμοδότῃ Πριήπῳ
τευθίδος, ἢ τρίγλης ἀνθεμόεσσαν ἴτυν,
ἢ σκάρον αὐδήεντα παρὰ βωμοῖσι πυρώσας,
ἄτρομος ἰωνίου τέρμα θαλασσοπόρει.

ALEXANDRI · ARAGONIUM · REGIS · FERDINANDUS · INFANS · DE · CALABRIA

ΕΙΣ ΝΗΑΣ. Ζηλωτοῦ. 57.

Ἐκλάσθην ὑπὸ γῆς ἀνέμῳ πίτυς. ἐς τί με πόντῳ
στέλλετε ναυηγὸν κλῶνα πρὸ ναυτιλίης;

Τοῦ αὐτοῦ.

Ἐς τί πίτυν πελάγει πιστεύετε γομφωτῆρες,
ἧς πολὺς ἐξ ὀρέων ῥίζαν ἔλυσε νότος;
αἴσιον οὐκ ἔσομαι πόντου σκάφος. ἐχθρὸν ἀήταις
δένδρεον, ἐν χέρσῳ τὰς ἁλὸς οἶδα τύχας.

Ἀδέσποτον.

Ἀρτιπαγῆ ῥοθίοισιν ὑπὸ κροκάλῃσί με νῆα,
καὶ μήπω χαροποῦ κύματος ἁψαμένην,
οὐδ' αὖ ἔμηνε θάλασσα. τὸ δ' ἄγριον ἐπλήμμυρε
χεῦμα, καὶ ἐκ σταθερῶν ἥρπασεν ἠιόνων,
ὁλκάδα. τῇ, δείλαιος ἀεὶ κλόνος, ἦγε τὰ πόντου
χεύματα, κἢν χέρσῳ λοίγια, κἢν πελάγει.

Κηλλην ἰουπετιανοῦ.

Οὔπω ναῦς, καὶ ὄλωλα. τί δ' ἂν πλέον, εἰ βυθὸν ἔγνων,
ἔτλην; φεῦ, πάσαις ὁλκάσι μοῖρα κλύδων.

Τοῦ αὐτοῦ.

Ἄρτι με πηγνυμένην ἀκάτου τρόπιν, ἔασσε γείτων
πόντος, κἢν χέρσῳ εἰς ἐμὲ μαινόμενος.

Ἀδέσποτον.

Ἐκλάσθην ἀνέμοισι πίτυς. με τεύχετε νῆα,
ναυηγῶν ἀνέμων χερσόθι γ σαμένην;

Ἀδέσποτον.

Οὔρεσιν ἐνδολιχοῖς βλωθρὴν πίτυν ὑέτιός με
πρόρριζον γαίης ἐξεκύλισε νότος.
ἔνθεν ναῦς γενόμην, ἀνέμοις πάλιν ὄφρα μάχομαι,
ἄνθρωποι, τόλμης οὔποτε φειδόμενοι.

ALEXANDER PP VI VALENTINUS FERDINANDUS

Ἀδήλου.

Τίπτέ με τὴν ἀνέμοισιν ἁλώσιμον ἤλεε τέκτων,
τήνδε πίτυν τεύχεις νῆα θαλασσοπόρον;
οὐδ' οἰωνὸν ἔδεισας, ὅτι Βορέης μ' ἐδίωξεν
ἐν χθονί; πῶς ἀνέμους φεύξομαι ἐν πελάγει;

Ἀντιφίλου Βυζαντίου.

Μυρία με τρίψασαν ἀμετρήτοιο θαλάσσης
κύματα, καὶ χέρσῳ βαιὸν ἐρεισαμένην,
ὤλεσεν οὐχὶ θάλασσα, νεῶν φόβος, ἀλλ' ἐπὶ γαίης
ἥφαιστος. τίς ἐρεῖ πόντον ἀπιστότερον;
ἔνθεν ἔφυν, ἀπόλωλα. παρ' ἠιόνεσσι δὲ κεῖμαι
χέρσῳ, τὴν πελάγους ἐλπίδα μεμφομένη.

Σεκούνδου.

Ὁλκὰς ἀμετρήτου πολέμου ἀνύσασα κέλευθον,
καὶ τοσάκις χαροποῖς κύμασι νηξαμένη,
ἣν ὁ μέλας οὔτ' εὖρος ἐπόντισεν, οὔτ' ἐπὶ χέρσον
ἤλασε χειμερίων ἄγριον οἶδμα νότων.
ἐν πυρὶ νῦν ναυηγὸς ἐγὼ χθονὶ μέμφομ' ἀπίστῳ,
νῦν ἁλὸς ἡμετέρης ὕδατα διζομένη.

Λεωνίδου ταραντίνου.

Ὁλκάδα πῦρ μ' ἀνέφλεξε, τόσην ἅλα μετρήσασαν,
ἐν χθονί, τῇ πεύκας εἰς ἐμὲ κειραμένη.
ἣν πέλαγος διέσωσεν ἐπ' ἠόνας, ἀλλὰ θαλάσσης
τὴν ἐμὲ γειναμένην εὗρον ἀπιστοτέρην.

Ἰουλιανοῦ ἀπὸ ὑπάρχων αἰγυπτίου.

Ὁλκὰς ὕδωρ προφυγοῦσα πολυφλοίσβοιο θαλάσσης,
ἐν χθονὸς ἀγκοίναις ὤλετο μητερίαις·
ἱσταμένην γὰρ πυρσὸς ἐπέφλεγε. καιομένη δέ,
δυσμενέων ὑδάτων συμμαχίην ἐκάλει.

Ἀντιπάτρου θεσσαλονικέως.

Τὴν μικρὴν με λέγουσι, καὶ οὐκ ἴσα ποντοπορεύσαις
ναυσὶ δι' ἰθύνειν ἄτρομον εὐπλοΐην.
οὐκ ἀπόφημι δ' ἐγώ. βραχὺ μὲν σκάφος, ἀλλὰ θάλασσα
πᾶν ἴσον. οὐ μέτρων ἡ κρίσις, ἀλλὰ τύχης.
ἔστω πηδαλίοις ἑτέρη πλέον. ἄλλο γὰρ ἄλλη
θάρσος. ἐγὼ δ' εἴην δαίμοσι σωζομένη.

Ἀντιφίλου.

Ὑλοτόμοι παύσασθε νεῶν χάριν· οὐκ ἔτι πεύκη
κύματος, ἀλλ' ἤδη ῥινὸς ὑποτροχάει.
γόμφος δ' οὐκ ἔτι χαλκὸς ἐν ὁλκάσιν, ἠδὲ σίδηρος,
ἀλλὰ λίνῳ τοίχων ἁρμονίη δέδεται.
τὰς δ' αὐτὰς ποτὲ πόντος ἔχει νέας, ἄλλοτε γαῖα
πηκτὴν ἁμαξίτην φόρτον ἀειρομένας.
Ἀργὼ μὲν προτέροισιν ἀοίδιμος· ἀλλὰ Σαβίνου
καινοτέρην πῆξαι Παλλὰς ἐνεῦσε τρόπιν.

Μαικίου.

Ναῦν Ἱεροκλείδης ἔχεν σύγγηρον, ὁμόπλουν,
τὴν αὐτὴν ζωῆς καὶ θανάτου σύνοδον,
πιστὴν ἰχθυβολεῦντι συνέμπορον. οὔτις ἐκείνης
πώποτ' ἐπέπλωσεν κῦμα δικαιοτέρη.
γήραος ἄχρις ἔβοσκε πονευμένη. εἶτα θανόντα
ἐκτέρισεν. συνέπλω δ' ἄχρι καὶ εἰς ἀΐδην.

Ἀντιπάτρου.

Πύρρος ὁ μουνερέτης, ὀλίγῃ νηῒ λεπτὰ ματεύων
φυκία, καὶ τριχίνης μαινίδας ἐκ καθέτου,
ἠϊόνων ἀπὸ τῆλε τυπεὶς, κατέδουπε κεραυνῷ.
νηῦς δὲ πρὸς αἰγιαλοὺς ἔδραμεν αὐτομάτη,
ἀγγελίην θείῳ καὶ λιγνύϊ μηνύουσα.
καὶ φράσεν, ἀργώην δ' οὐκ ἐπόθησε τρόπιν.

Ἄδηλον.

Ἡ ναῦς ἀπ' ἔργων Κύπριδος γομφουμένη,
πρὸς τὸν γεννάρχην πόντου ἤλυθον θεοῦ.
ἀνὴρ γάρ ὥρας μ' ἔμπορος κεκτήνατο,
καλέσας ἑταίρην· εἰμὶ γὰρ πᾶσιν φίλη.
ἔμβαινε θαρρῶν· μισθὸν οὐκ αἰτῶ βαρύν.
ἐλθόντα δέχομαι· πάντα βαστάζω ξένον.
ὥσπερ ἐπὶ γαίης, κὴν βυθῷ μ' ἐρέσσετε.

ΕΙΣ ΝΗΣΟΥΣ. Ἀπολλωνίδου οἱ δὲ Ἀντιπάτρου. 58

Εἴθε με παντοίοισιν ἔτι πλάζεσθαι ἀήταις,
ἢ Λητοῖ στῆναι μαῖαν ἀλωομένῃ.
οὐκ ἂν χητοσύνην τόσον ἔστενον, οἳ ἐμὲ δειλήν,
ὅσσας Ἑλλήνων νηυσὶ παραπλέομαι,
Δῆλος ἐρημαίη, τὸ πάλαι σέβας. ὀψέ πῃ Ἥρη
Λητοῦς, ἀλλ' οἰκτρὴν τήνδ' ἐπέθηκε δίκην.

Ἀλφειοῦ μιτυληναίου.

Λητοῦς ὠδίνων ἱερὴ τροφέ, τὴν ἀσάλευτον
αἰγαίου κρονίδης ὥρμισατ' ἐν πελάγει,
οὔ σε δυσαιάζω μὰ τοὺς δέσποινα βοήσω
δαίμονας, οὐδὲ λόγοις ἕψομαι ἀντιπάτρου,
ὀλβίζω δ' ὅτι φοῖβον ἐδέξαο, καὶ μετ' ὄλυμπον
ἄρτεμις οὐκ ἄλλην, ἢ σὲ λέγει πατρίδα.

Ἀντιπάτρου.

Κείνην οὐκ ἀπόφημι· σὲ γὰρ προπάροιθεν ἔθηκαν
κλήζεσθαι πηνοί τήνδε βορηϊάδα.
ἀλλὰ καὶ ὀρτυγίην εἶχε κλέος· οὔνομα δ' αὐτῆς
ἤρχετο ῥιπαίων ἄχρις ὑπὲρ βορέων.

νῦν δὲ σὺ μὲν ζώεις, ἡδ' οὐκ ἔτι. τίς κεν ἐώλπει
ὄψεσθαι τὴν Δῆλον ἐρημοτέρην;

Αντιφίλου.

Ἡ τερεβινθώδης ὀλιγάμπελος, οἵα τε βαιὴ
νησίς, ἀλλ' ὁμαλὴ πᾶσα, καὶ ἀσύφελος.
αἱ δ' ἄγχου, μεγάλαι τε, καὶ εὐρέες, ἀλλ' ὑπὸ πολὺ
τρηχεῖαι. μεγέθει, τῶν πορισότεραι.
καρποῖς, οὐ σταδίοισιν ἐρίζομεν. οὐδὲ γὰρ αὔλαξ
αἰγύπτου, λιβύης ψάμμου ὑποστρέφεται.

Τοῦ αὐτοῦ.

Ὡς πάρος ἀελίου, νῦν Καίσαρος ἡ ῥόδος εἰμὶ
νᾶσος, ἴσον δ' αὐχῶ φέγγος ἀπ' ἀμφοτέρων.
ἤδη σβεννυμέναν με νέα κατεφώτισεν ἀκτίς
ἅλιε, καὶ παρὰ σὸν φέγγος ἔλαμψε Νέρων.
πῶς εἴπω; τίνι μᾶλλον ὀφείλομαι; ὃς μὲν, ἔδειξεν
ἐξ ἁλός. ὃς δ' ἤδη ῥύσατο δυομένην.

ΕΙΣ ΟΙΝΟΝ. Αντιπάτρου. 59

Ὕδατος ἀκρήτου κεκορημένον ἄγχι παρὰ σὰς
χθιζὸν ἐμοὶ κοίτας Βάκχος, ἔλεξε τάδε,
εὕδεις ἄξιον ὕπνον ἀπεχθομένων ἀφροδίτῃ.
εἰπέ μοι ὦ νήφων, πόθ' εὔθεαι ἱππολύτου;
τάρβει μή τι πάθῃς ἐναλίγκιον. ὡς ὁ μὲν, εἰπὼν,
ᾤχετ'. ἐμοὶ δ' ἀπὸ τῆς, οὐκ ἔτι τερπνὸν ὕδωρ.

Φιλίππου.

Εὐθαλέα πλάτανόν με νότου βαρυλαίλαπος αὖραι,
ῥίζης ἐξ αὐτῆς ἐστόρεσαν δαπέδῳ.
λουσαμένη βρομίῳ δ' ἔστην πάλιν, ὄμβρον ἔχουσα
χείματι καὶ θάλπει, τοῦ Διὸς ἡδύτερον.

ὀλλυμένη

ὀλλυμένη δ' ἔζησα. μόνη δὲ πιοῦσα λυαῖον,
ἄλλων κλινομένων, ὀρθοτέρη βλέπομαι.

Μελεάγρου.

Αἱ νύμφαι τὸν Βάκχον, ὅτ' ἐκ πυρὸς ἥλαθ' ὁ κοῦρος,
νίψαν, ὑπὲρ τέφρης ἄρτι κυλιόμενον.
τοὔνεκα σὺν νύμφαις Βρόμιος φίλος. ἢν δέ νιν εἴργῃς
μίσγεσθαι, δέξῃ πῦρ ἔτι καιόμενον.

Ἐπιγόνου θεσσαλονικέως.

Ἀργυρέη κρηνίς με τὸν οὐκέτι μακρὰ βοῶντα
βάτραχον, οἰνηραῖς ἔσχεν ὑπὸ σταγόσιν.
κεῖμαι δ' ἐν νύμφαις κείναις φίλος, οὐδὲ λυαίῳ
ἐχθρός, ὑπ' ἀμφοτέρων λουόμενος σταγόσιν.
ὀψέ ποτ' εἰς Διόνυσον ἐκώμασα. φεῦ, τινὲς ὕδωρ
πίνουσι, μανίην σώφρονα μαινόμενοι;

Ἰουλιανοῦ Βασιλέως εἰς οἶνον
ἀπὸ κριθῆς.

Τίς; πόθεν εἶς Διόνυσε; μὰ γὰρ τὸν ἀληθέα Βάκχον,
οὔ σ' ἐπιγιγνώσκω. τὸν Διὸς οἶδα μόνον.
κεῖνος νέκταρ ὄδωδε· σὺ δὲ, τράγου. ἦ ῥά σε Κελτοὶ
τῇ πενίῃ βοτρύων τεῦξαν ἀπ' ἀσταχύων.
τῷ σε χρὴ καλέειν Δημήτριον, οὐ Διόνυσον.
πυρογενῆ μᾶλλον, καὶ Βρόμον, οὐ Βρόμιον.

Ἀλκαίου.

Οἶνος καὶ κένταυρον ἐπίκρατες, οὐχὶ σὲ μοῦνον
ὤλεσεν, ἠδ' ἐρατὴν καλλίου ἡλικίην.
ὄντως ὠμοχάρων ὁ μονόμματος, ὧ σὺ τάχιστα
τὴν αὐτὴν πέμψαις εἰς ἀΐδεω πρόποσιν.

Νικηράτη.

Οἶνός τοι χαρίεντι μέγας πέλει ἵππος ἀοιδῷ.
ὕδωρ δὲ πίνων, καλὸν οὐ τέκοις ἔπος.

ταῦτ' ἔλεγεν Διόνυσε, καὶ ἔπνεεν οὐχ ἑνὸς ἀσκοῦ
Κρατῖνος, ἀλλὰ παντὸς ὅλου δὲ πίθου.
τοιγὰρ ὑπὸ στεφάνοις μέγας ἔβρυεν. εἶχε δὲ κισσῷ
μέτωπον, ὥσπερ καὶ σὺ κεκροκωμένον.

## ΕΙΣ ΟΡΝΙΣ. Ἀργενταρίου. 60

Μηκέτι νῦν μινύριζε παρὰ δρυῒ, μηκέτι φώνει,
κλωνὸς ἐπ' ἀκροτάτου κόσσυφε κεκλιμένος.
ἐχθρὴ σοι τόδε δένδρον. ἐπείγεο δ' ἄμπελος ἔνθα
ἀντέλλει, γλαυκὸν σύσκιος ἐκ πετάλων.
κείνης ταρσὸν ἔρεισον ἐπὶ κλάδου. ἀμφὶ τε κείνῃ
μέλπε, λιγὺν προχέων ἐκ στόματος κέλαδον.
δροῦς γὰρ ἐπ' ὀρνίθεσσι φέρει τὸν ἀνάρσιον ἰξόν.
ἡ δὲ, βότρυν. στέργει δ' ὑμνοπόλους Βρόμιος.

Ἀπολλωνίδου.

Ὁ πρὶν ἐγὼ ῥοδίοισιν ἀνέμβατον ἱρὸς ὄρνις
ὁ πρὶν κορκωπίδαις αἰετὸς ἱστορίῃ,
ὑψιπετὴς τότε ταρσὸν ἀνὰ πλατὺν ἠέρ' ἀερθείς,
ἤλυθον, ἡνίκ' ἔσω νῆσον ἔτ' εἶχε Νέρων.
κείνου δ' αὐλίσθην ἐνὶ δώμασι, χειρὶ συνήθης
κραντῆρος, οὐ φεύγων Ζῆνα τὸν ἐσσόμενον.

Φιλίππου.

Ψιττακὸς ὁ βροτόγηρυς, ἀφεὶς λυγοτευχέα κύρτον,
ἤλυθεν εἰς δρυμοὺς ἀνθοφυεῖ πτέρυγι.
αἰεὶ δ' ἐκ μελετῶν ἀσπάσμασι Καίσαρα κλεινὸν,
οὐδ' ἀν' ὄρη λήθην ἤγαγεν οὐνόματος.
ἔδραμε δ' ὠκυδίδακτος ἅπας οἰωνὸς ἐρίζων,
τίς φθῆναι δύναται δαίμονι χαῖρ' ἐνέπειν.
ὀρφεὺς θῆρας ἔπεισεν ἐν οὔρεσιν, ἐς δὲ σὲ Καῖσαρ
νῦν ἀκέλευστος ἅπας ὄρνις ἀνακρέκεται.

ALEXANDRI ... FERDINANDI ... SANINI

Ἀρχίου.

Αὐταῖς σὺν κίχλῃσιν ὑπὲρ φραγμοῖο διωχθεὶς
κόσσυφος ἠερίης κόλπον ἔδυ νεφέλης
καὶ τὰς μὲν, συνοχηδὸν ἀνέκδρομος ὤχμασε θώμιγξ.
τὸν δὲ, μόνον πλεκτῶν αὖθι μεθῆκε λίνων,
ἱρὸν, ἀοιδοπόλων ἔτυμον γένος. ἦ ἄρα πολλὴν
καὶ κωφαὶ πλείων ὧν φροντίδ' ἔχουσι πάγαι.

Παύλου σιλεντιαρίου.

Ὄρθριος εὐπλέκτοιο λίνου νεφοειδέϊ κόλπῳ
ἔμπεσε σὺν κίχλῃ κόσσυφος ἡδυβόας.
καὶ τὰν μὲν, πανάφυκτος ἕλε βρόχος. ὠκὺ δ' ἀπέπτα
ἐξ ὀρνιθοπέδας ᾠδὸς ἐρημοφίλας.
ἦ τάχα που τριμάκαιρα φιλαγρέτις ὄρνιν ἀοιδὸν
ἄρτεμις εὐμόλπου λῦσεν ἄνακτι λύρης.

Ἀντιφίλου.

Ἀκαλὸν αὐτοπόνητον ἐν αἰθέρι ῥεῦμα μελισσῶν,
αἱ πλασταὶ κηρῶν αὐτοπαγεῖς θαλάμαι,
προίκιος ἀνθρώπων βιότῳ χάρις, οὐχὶ μακέλλας,
οὐ βοὸς, οὐ γαμψῶν δευομένα δρεπάνων,
γαυλοῦ δὲ σμικροῖο, τόθι γλυκὺ νᾶμα μέλισσα
πηγάζει σμήνους δαψιλὲς ἐξ ὀλίγου,
χαίροιτ' εὐαγέες, καὶ ἐν ἄνθεσι ποιμαίνοισθε
αἰθερίου πτηναὶ νέκταρος ἐργάτιδες.

Ζωνᾶ.

Εἴδ' ἄγετε ξουθαὶ σιμβληΐδες ἄκρα μέλισσαι
φέρβεσθ', ἢ θύμου ῥικνὰ πολυκνίδια,
ἢ πετάλας μήκωνος, ἢ ἀσταφιδίτιδα ῥᾶγα,
ἢ ἴον, ἢ μάλων χνοῦν εὐθηκαρπίδιον.
πάντα πολυκνίξασθε, καὶ ἄγγεα κηρώσασθε,
ὄφρα μελισσοσόος Πὰν εὐθηκυψέλιος

γεύσηται. τὸ μὲν αὐτός. ὁ δὲ Βλισκρίδε χερὶ
κατανώσας, βαιὰν κύμμι λίπη μερίδα.

Παλλαδᾶ.

Ἵπποι μὲν, σφηκῶν γένεσις. ταῦροι δὲ, μελισσῶν.

Τοῦ αὐτοῦ.

Τίπτε παινημέριος πανδιονὶ κάμμορε κούρη,
μυρομένη κελαδεῖς τραυλὰ διὰ στομάτων;
ἦτοι παρθενίης πόθος ἵκετο, τήν τοι ἀπηύρα
Θρηΐκιος Τηρεὺς, αἰνὰ βιασσάμενος;

Ἀργενταρίου.

Ὄρνι, τί μοι φίλον ὕπνον ἀφήρπασας; ἡδὺ δὲ πυῤῥῆς
εἴδωλον, κοίτης ᾤχετ᾽ ἀποπτάμενον.
ἆ τάδε θρέπτρα τίνεις, ὅτι θηκά σε δύσμορε πάσης
ὠτόκου κραίνειν ἐν μεγάροις ἀγέλης;
μὰ βωμὸν καὶ σκῆπτρα Σαράπιδος, οὐκ ἔτι νυκτὸς
φθέγξεαι, ἀλλ᾽ ἕξεις βωμὸν, ὃν ὠμόσαμεν.

Αντιπάτρου.

Δισσαὶ ἐκ βροχίδων, ἁ μὲν μία, πίονα κίχλαν.
ἁ μία δ᾽, ἱππεία κόσσυφον εἷλε πάγα.
ἀλλὰ τὸ μὲν κίχλας θαλερὸν δέμας, οὐ φάος ἠοῦς
οὐκ ἔτ᾽ ἀπὸ πλεκτᾶς ἧκε δεραιοπέδας.
ἁ δ᾽ αὖθις μεθέηκε τὸν ἱερόν. ἦ ῥ᾽ ἀοιδῶν
φειδὼ κὴν κωφαῖς ξεῖνε λινοστασίαις.

Ἀδήλου.

Ἀτθὶ κόρα, μελίθρεπτε, λάλος, λάλον ἁρπάξασα
τέττιγα, πτανοῖς δαῖτα φέρεις τέκεσιν.
τὸν λάλον, ἁ λαλόεσσα. τὸν εὔπτερον, ἁ πτερόεσσα.
τὸν ξένον, ἁ ξείνα. θερινὸν, ἁ θερινά.
οὐχὶ τάχος ῥίψεις; οὐ γὰρ θέμις, οὐδὲ δίκαιον
ὄλλυσθ᾽ ὑμνοπόλους ὑμνοπόλοις στόμασιν.

ALEXANDER PP VI ... FERDINANDUS ... VALENTINUS

## ΕΙΣ ΠΑΙΔΙΑΝ. Ἀγαθίου σχολαστικοῦ εἰς τὰ λυτὰ Ζήνωνος τοῦ βασιλέως. 61

Οὐτιδανοὶ μερόπων, εἰ καὶ μέγα ῥέξομεν ἔργον,
  ὅτινος ἐν μνήμην δηρὸν ἐπερχόμεθα.
οἱ δ᾽ ἀγαθοί, κἢν μηδὲν ἀναπνεύσωσι δὲ μοῦνον,
  ὡς Λίβυς εἶπεν ἀνήρ, τοῦτ᾽ ἀδάμαντι μένει.
δήποτε γὰρ Ζήνωνα πολιοῦχον βασιλῆα,
  παίγνιον ἀφράστων ἐκτελέοντα κύβων,
τοίη ποικιλότευκτος ἔλεν θέσις, εὖτ᾽ ἀπὸ λευκοῦ
  τοῦ καὶ ὀπισθιδίην εἰς ὁδὸν ἐρχομένου.
ἑπτὰ μέν, ἕκτος ἔχεν. μίαν, εἴνατος. αὐτὰρ ὁ σοῦμμος
  διοσσὰς ἀμφιέπων, ἶσος ἔην δεκάτῳ.
ὃς δὲ πέλει μετὰ σοῦμμον, ἔχεν δύο. μονάδα δ᾽ ἄλλην
  ψῆφον τὴν πυμάτην ἀμφιέπεσκε δίβος.
ἀλλὰ μέλας δισσὰς μὲν ἐν ὀγδοάτῳ λίπε χώρῳ,
  καὶ τόσσας ἑτέρας ἐν θέσιν ἑνδεκάτης.
ἀμφὶ δυωδέκατον δὲ διέπρεπον εἴκελοι ἄλλαι,
  καὶ τρισκαιδεκάτῳ ψῆφος ἔκειτο μία.
δίζυγες ἀντίγονον διεκόσμεον. ἀλλὰ καὶ αὐτῷ
  ἶσος ἔμιμνε τύπος πεντεκαιδεκάτῳ.
ὀκτωκαιδεκάτῳ παρομοίιος. εἰσέτι δ᾽ ἄλλας
  εἶχεν διχθαδίας τέτρατος ἐκ πυμάτου.
αὐτὰρ ἄναξ λευκοῖο λαχὼν σημήϊα πεσσοῦ,
  καὶ τὴν ἐσσομένην οὐ νοέων παγίδα,
τριχθαδίας ἀδόκητα βαλὼν ψηφῖδας ἀριθμοῦ,
  πύργου δουρατέου κλίμακι κευθομένη,
δοιά, καὶ ἕξ, καὶ πέντε κατήγαγεν. αὐτίκα δ᾽ ὀκτὼ
  ἄζυγας εἶχεν ὅλας πρόσθε μεριζομένας.

ταύτην φεύγετε πάντες, ἐπεὶ καὶ κοίρανος αὐτὸς
κείνης τὰς ἀλόγους οὐχ ὑπάλυξε τύχας.

## ΕΙΣ ΠΑΝΟΥΡΓΟΥΣ. 62

Κριναγόρου.

Ψευδόμενοι ῥινῶν ὀξὺν στίβον, ὦ κακὸν εὑρεῖν
ῥηΐτεραι λιγύων μῆτιν, ἢ ἀγαθόν.

Τίνας ἂν εἴποι λόγους Ἀχιλλεὺς
ἰδὼν Ὀδυσσέα ἐν ᾅδου.

Ἀτρεκέως πάντων πολυμήχανός ἐστιν Ὀδυσσεύς.
ζωὸς ἐὼν γνώσειν ἃ μὴ θέμις ἐστὶν ἰδέσθαι,
νέρτερον κευθμῶνα καὶ ἄλγεα πικρὰ θανόντων.
πῶς δ' ἔτλης προλιπεῖν ἱερὸν φάος; ἢ τίς ἀνάγκη
ἤγαγεν οὐκ ἐθέλοντα, δόλων ἀκόρητος ἐτύχθη
ἐν χθονὶ καὶ πελάγεσσι, καὶ ἐν νεκύεσσιν Ὀδυσσεύς.

## ΕΙΣ ΠΑΡΑΜΥΘΙΑΝ. 63

Παλλαδᾶ.

Ἔσθιε, πῖνε, μύσας ἐπὶ πένθεσιν. οὐ γὰρ ἔοικε
γαστέρι πενθῆσαι νεκρὸν Ὅμηρος ἔφη.
καὶ γὰρ ὁμοῦ θάψασαν ὀλωλότα δώδεκα τέκνα
σίτου μνησαμένην τὴν Νιόβην παράγει.

Τοῦ αὐτοῦ.

Προσδοκίη θανάτου, πολυώδυνός ἐστιν ἀνίη,
τοῦτο δὲ κερδαίνει θνητὸς ἀπολλύμενος.
μὴ τοίνυν κλαύσῃς τὸν ἀποιχόμενον βιότοιο.
οὐδὲν γὰρ θανάτου δεύτερόν ἐστι πάθος.

Τοῦ αὐτοῦ.

Ῥίπτε γόους, μὴ κάμνε. πόσον χρόνον ἐνθάδε μίμνεις,
ὡς πρὸς ἐκεῖνον ὅλον τὸν μετὰ ταῦτα βίον.

πρὶν τοίνυν σκώληκα βαλεῖν, τύμβοις τε ῥιφῆναι,
μὴ δαμάσῃς ψυχὴν, ζῶν ἔτι κρινομένην.

## ΕΙΣ ΠΑΤΡΙΔΑ. 64.

Παλλαδᾶ.

Ὡς οὐδὲν γλύκιον γῆς πατρίδος εἶπεν ὅμηρος.
οὐ γὰρ τοῖς κίρκης ἔγχυτον οὐκ ἔφαγεν.
οὐ μόνον εἰ καὶ καπνὸν ἀποθρώσκοντ' ἐνόησεν,
εἶπεν ἂν οἰμώζειν καὶ δέκα πηνελόπας.

Τίνας ἂν εἴποι λόγους ὀδυσσεὺς
ἐπιβὰς ἰθάκης.

Χαῖρ' ἰθάκη. μετ' ἄεθλα, μετ' ἄλγεα πικρὰ θαλάσσης,
ἀσπασίως τεὸν οὖδας ἱκάνομαι, ὄφρα νοήσω
Λαέρτην, ἄλοχόν τε, καὶ ἀγλαὸν υἱέα μοῦνον.
σὸς γὰρ ἔρως κατέθελξεν ἐμὸν νόον. οἶδα καὐτὸς,
ὡς οὐδὲν γλύκιον γῆς πατρίδος, ἠδὲ τοκήων.

## ΕΙΣ ΡΗΓΗΝ. 65.

Στατυλλίου φλάκκου.

Σιγήσας ἄρυσαι. τίνος οὕνεκα μηκέτ' ἀρύω;
τεῦ χάριν ἡσυχίοις ἤδη λέλογχα ποτόν.

Ἀδέσποτον.

Δύσκολος εἶ κρήνη. γεῦσαι, καὶ μᾶλλον ἐρεῖς με
δύσκολον. ὦ πικροῦ νάματος, ὦ λαλιῆς.

Ἄδηλον. εἰς τὴν
σαλμακίδα.

Εἰ μὲν ἀνὴρ ἥκεις, ἄρυσαι ξένε τῆς δ' ἀπὸ πηγῆς.
εἰ δὲ φύσει μαλακὸς, μή με πίῃς πρόφασιν.

ἄρσεν ἐγὼ ποτόν εἰμι, καὶ ἀνδράσι μοῦνον ἀρέσκω.
τοῖς δὲ φύσει μαλακοῖς, ἡ φύσις ἐστὶν ὕδωρ.

Ἀπολλωνίδου.

Ἡ καθαρὴ, νύμφαι γὰρ ἐπώνυμον ἔξοχον ἄλλων,
κρήνη, πασάων δῶκαν ἐμοὶ λιβάδων,
ληϊστὴς ὅτε μοι παρακλίντορας ἔκτανεν ἄνδρας,
καὶ φονίην ἱεροῖς ὕδασι λοῦσε χέρα,
κεῖνον ἀναστρέψασα γλυκὺν ῥόον, οὐκ ἔθ' ὁδίταις
βλύζω. τίς γὰρ ἐρεῖ τὴν καθαρὴν ἔτι με;

Ἀντιφάνους εἰς τὴν αὐτήν.

Ἡ πάρος εὐύδροισι λιβαζομένη προχοῇσι,
πτωχὴ νῦν νυμφῶν μέχρι καὶ εἰς σταγόνα.
ληστρώδεις γὰρ ἐμοῖσιν ἐνίψατο νάμασι χεῖρας,
ἀνδροφόνος, κηλῖδ' ὕδασιν ἐγκεράσων.
ἐξ οὗ μοι κοῦραι φύγον ἥλιον, εἰς ἕνα Βάκχον
εἰποῦσαι νύμφαι μισγόμεθ', οὐκ ἔτ' ἄρῃ.

Ἀντιφίλου.

Κρηναῖαι λιβάδες, τί πεφεύγατε; ποῦ τόσον ὕδωρ;
τίς φλὸξ ἄγαν ἀοῦς ἔσβεσεν ἠελίου;
δάκρυσιν ἀγρικόλα τετύμμεθα. πᾶν δ' ὅσον ἦμεν
ἦν ποτὸν, ἡ κείνου δίψας ἔχει ἀποδίη.

Σατύρου.

Ἡ καλὸν αἱ δάφναι, καλὸν δ' ὑπὸ πυθμέσιν ὕδωρ
πιδύει, πυκινὸν δ' ἄλσος ὑποσκιάει,
τηλεθάον, ζεφύροισιν ἐπίδρομον, ἄλκαρ ὁδίταις,
δίψης καὶ καμάτου, καὶ φλογὸς ἠελίου.

Ἀδήλου.

Εἴ τις ἀπάγξασθαι μὲν ὀκνεῖ, θανάτου δ' ἐπιθυμεῖ,
ἐξ ἱερᾶς πόλεως ψυχρὸν ὕδωρ πιέτω.

## ΕΙΣ ΠΛΟΥΤΟΥΝΤΑΣ. 66

Ἀδήλου.

Ἦν νέος, ἀλλὰ πένης. νῦν γηρῶν, πλούσιός εἰμι.
ὢ μόνος ἐκ πάντων οἰκτρὸς ἐν ἀμφοτέροις,
ὃς τότε μὲν χρῆσθαι δυνάμην, ὁπότ' οὐδὲν εἶχον.
νῦν δ' ὁπότε χρῆσθαι μὴ δύναμαι, τότ' ἔχω.

Παλλαδᾶ.

Χρυσὲ πάτερ κολάκων, ὀδύνης, καὶ φροντίδος υἱὲ,
καὶ τὸ ἔχειν σε φόβος, καὶ μὴ ἔχειν σ' ὀδύνη.

Λουκιανοῦ.

Πλοῦτος ὁ τῆς ψυχῆς, πλοῦτος μόνος ἐστὶν ἀληθής.
τἄλλα δ' ἔχει αὐτὴν πλείονα τῶν κτεάνων.
τόνδε πολυκτέανον, καὶ πλούσιόν ἐστι δίκαιον
κλήζειν, ὃς χρῆσθαι τοῖς ἀγαθοῖς δύναται.
εἰ δέ τις ἐν ψήφοις κατατήκεται, ἄλλον ἐπ' ἄλλῳ
σωρεύειν αἰεὶ πλοῦτον ἐπειγόμενος,
οὗτος ὁποῖα μέλισσα πολυτρήτοις ἐνὶ σίμβλοις
μοχθήσει, ἑτέρων δρεψομένων τὸ μέλι.

Παλλαδᾶ.

Πλουτεῖς· καὶ τί τὸ λοιπόν. ἀπερχόμενος, μετὰ σαυτοῦ
τὸν πλοῦτον σύρεις εἰς σορὸν ἑλκόμενος;
τὸν πλοῦτον συνάγεις, δαπανῶν χρόνον. οὐ δύνασαι δὲ
ζωῆς σωρεῦσαι μέτρα περισσότερα.

Τοῦ αὐτοῦ.

Φεύγετε τοὺς πλουτοῦντας, ἀναιδέας, οἰκοτυράννους,
μισοῦντας πενίην μητέρα σωφροσύνης.

Εἰς κλέπτην δειλὸν εὑρόντα
ξίφος χρυσοῦν.

Καὶ χρυσὸν φιλέω, καὶ δήϊον ἄρεα φεύγω.

Ἀδήλου.

Βάπτων πάντα βαφοῦ, καὶ χρωματίοις μεταβάλλων,
καὶ πενίην βάψας, πλούσιος ἐξεφάνης.

ΕΙΣ ΠΟΙΗΤΑΣ. Λεωνίδου
ταραντίνου εἰς Ὅμηρον. 67

Ἄστρα μὲν ἠμαύρωσε, καὶ ἱερὰ κύκλα σελήνης,
ἄξονα δινήσας ἔμπυρος ἠέλιος.
ὑμνοπόλους δ' ἀγεληδὸν ἀπημάλδυνεν Ὅμηρος,
λαμπρότατον μουσῶν φέγγος ἀνασχόμενος.

Ἀλφειοῦ μιτυληναίου
εἰς αὐτόν.

Ἀνδρομάχης ἔτι θρήνων ἀκούομεν, εἰσέτι Τροίην
δερκόμεθ' ἐκ βάθρου, πᾶσαν ἐρειπομένην,
καὶ μόθον αἰάντειον ὑπὸ στεφάνῃ τε πόληος,
ἠδὲ τὸν ἐξ ἵππων Ἕκτορα συρόμενον,
μαιονίδαο διὰ μοῦσαν. ὃν οὐ μία πατρὶς ἀοιδὸν
κοσμεῖται, γαίης δ' ἀμφοτέρης κλίματα.

Ἀντιφίλου εἰς Ἰλιάδα,
καὶ Ὀδύσσειαν.

Αἱ βίβλοι, τίνος ἐστέ; τί κεύθετε; θυγατέρες μὲν,
μαιονίδου, μύθων δ' ἵστορες ἰλιακῶν
ἁ μία μὲν, μηνιθμὸν Ἀχιλλέος, ἔργα τε χειρὸς
Ἑκτορέας, δεκέτους τ' ἆθλα λέγει πολέμου.
ἁ δ' ἑτέρα, μόχθον τὸν Ὀδυσσέος ἀμφί τε λέκτροις
χηρείοις, ἀγαθᾶς δάκρυα Πηνελόπας.
ἵλατε σὺν μούσαισι μεθ' ὑμετέρας γὰρ ἀοιδὰς
εἶπεν ἔχειν αἰὼν οὐδένα πιερίδας.

Ἐρώτησις Ὁμήρου.

Ἄνδρες ἀπ' ἀρκαδίης ἁλιήτορες, ἦ ῥ' ἔχομέν τι;

Ἀπόκρισις.

Ὅσσ' ἕλομεν, λιπόμεσθ'. ὅσσ' οὐχ ἕλομεν, φορόμεσθα.

Φιλίππου εἰς Ὅμηρον.

Οὐρανὸς ἄστρα τάχιον ἀποσβέσει, ἢ τάχα νυκτὸς
ἠέλιος φαιδρὴν ὄψιν ἀπεργάσεται,
καὶ γλυκὺ νᾶμα θάλασσα βροτοῖς ἀροτήσιμον ἕξει,
καὶ νέκυς εἰς ζωῶν χῶρον ἀναδράμεται,
ἢ ποτὲ Μαιονίδαο βαθὺ κλέος, οὔνομ' Ὁμήρου,
λήθη γηραλέων ἁρπάσεται σελίδων.

Τίνας ἂν εἴποι λόγους Ἀπόλλων περὶ Ὁμήρου.

Ἤειδον μὲν ἐγὼν, ἐχάρασσε δὲ θεῖος Ὅμηρος.

Ἀντιπάτρου Θεσσαλονικέως.

Τάσδε θεογλώσσους Ἑλικὼν ἔθρεψε γυναῖκας
ὕμνοις, καὶ Μακεδὼν Πιερίας σκόπελος,
Πρηξίλλαν, Μυρὼ, Ἀνύτης στόμα, θῆλυν Ὅμηρον,
Λεσβιάδων Σαπφὼ κόσμον εὐπλοκάμων,
Ἤρινναν, Τελέσιλλαν ἀγακλέα, καὶ σὲ Κόριννα,
θοῦριν Ἀθαναίης ἀσπίδα μελψαμέναν,
Νοσσίδα θηλύγλωσσον, ἰδὲ γλυκυαχέα Μύρτιν,
πάσας ἀενάων ἐργάτιδας σελίδων.
ἐννέα μὲν Μούσας μέγας Οὐρανὸς, ἐννέα δ' αὐτὰς
Γαῖα τέκε θνατοῖς ἄφθιτον εὐφροσύναν.

Ἀντιπάτρου Σιδωνίου.

Μνημοσύναν ἕλε θάμβος, ὅτ' ἔκλυε τᾶς μελιφώνου
Σαπφοῦς. μὴ δεκάταν Μοῖσαν ἔχουσι βροτοί;

Ἄδηλον

Πίνδαρε, Μουσάων ἱερὸν στόμα, καὶ λάλε Σειρὴν
Βακχυλίδη, Σαπφοῦς τ' αἰολίδες χάριτες,
γράμματ' Ἀνακρείοντος, Ὁμηρικὸν ὅστ' ἀπὸ ῥεῦμα
ἔσπασας οἰκείοις Στησίχορ' ἐν καμάτοις,

ἥ τε Σιμωνίδεω γλυκερὴ σελίς, ἡδύ τε πειθοῦς
Ἴβυκε, καὶ παίδων ἄνθος ἀμησάμενε,
καὶ ξίφος ἀλκαίοιο, τὸ, πολλάκις αἷμα τυράννων
ἔσπεισεν, πάτρης θέσμια ῥυόμενον,
θηλυμελεῖς τ' ἀλκμᾶνος ἀηδόνες, ἵλατε. πάσης
ἀρχὴν τῆς λυρικῆς καὶ πέρας ἐσπάσατε.

Εἰς τοὺς ἐννέα λυ-
ρικούς.

Ἔκλαγεν ἐκ θηβῶν μέγα Πίνδαρος. ἔπνεε τερπνὰ
ἡ δυμελιφθόγγου μοῦσα Σιμωνίδεω.
λάμπει Στησίχορός τε, καὶ Ἴβυκος ἢ γλυκὺς ἀλκμάν.
λαρὰ δ' ἀπὸ στομάτων φθέγξατο Βακχυλίδης.
πειθὼ ἀνακρείοντι συνέσπετο. ποικίλα δ' αὐδᾷ
ἀλκαῖος κύκνος λέσβιος αἰολίδι.
ἀνδρῶν δ' οὐκ ἐνάτη Σαπφὼ πέλεν, ἀλλ' ἐρατειναῖς
ἐν μούσαις, δεκάτη μοῦσα καταγράφεται.

Εἰς σαπφώ. Ἄδηλον.

Ἔλθετε πρὸς τέμενος γλαυκώπιδος ἀγλαὸν ἥρης
λεσβίδες, ἁβροπόδων βήματ' ἐρεισάμεναι.
ἔνθα καλὸν στήσασθε θεῇ χορόν· ὔμμι δ' ἀπάρξει
Σαπφὼ, χρυσείην χερσὶν ἔχουσα λύρην.
ὄλβιαι ὀρχηθμοῦ πολυγηθέος, ἦ γλυκὺν ὕμνον
εἰσαΐειν αὐτῆς δόξετε Καλλιόπης.

Πλάτωνος.

Ἐννέα τὰς μούσας φασίν τινες ὡς ὀλιγώρως.
ἠνὶ δὲ καὶ Σαπφὼ λεσβόθεν ἡ δεκάτη.

Ἄδηλον.

Λέσβιον ἠρίννης τόδε κηρίον ἁδύ τι μικρόν,
ἀλλ' ὅλον ἐκ μουσέων κιρνάμενον μέλιτι.

οὐδὲ τριηκόσιοι ταύτης στίχοι ἶσοι ὁμήρῳ,
τῆς καὶ παρθενικῆς ἐννεακαιδεκέτευς.
ἣ καὶ ἐπ' ἠλακάτῃ μητρὸς φόβῳ, ἣ καὶ ἐπ' ἱστῷ
ἑστήκει, μουσέων λάτρις ἐφαπτομένη.
Σαπφὼ δ' ἠρίννης ὅσσον μελέεσσιν ἀμείνων,
ἤριννα Σαπφοῦς τόσσον ἐν ἑξαμέτροις.

Ὡς ἀπὸ τῆς βίβλου Λυκόφρονος.

Οὐκ ἂν ἐν ἡμετέροισι πολυγνάμπτοις λαβυρίνθοις
ῥηϊδίως προμόλοις ἐς φάος, ἤν κε τύχῃς,
τοίους γὰρ πριαμὶς Κασσάνδρη φοίβασε μύθους
ἄγγελος, ὃς βασιλεῖ ἔφρασε λοξοτρόχις.
εἰ δέ σε φίλατο Καλλιόπη, λάβεμ' ἐν χέρας. ἢν δὲ
νῆϊς ἔφυς μουσέων, χερσὶ βάρος φορέεις.

Ἄδηλον.

Ἀρχιλόχου τάδε μέτρα, καὶ ἠχήεντες ἴαμβοι,
θυμοῦ, καὶ φοβερῆς ἰὸς ἐπεσβολίης.

Ἄδηλον.

Βίβλοι ἀριστοφάνους, θεῖος πόνος. αἷσιν ἀχαρνεὺς
κισσὸς ἐπὶ χλοερὴν πουλὺς ἔσεισε κόμην.
ἠνὶδ' ὅσον Διόνυσον ἔχει σελίς, οἷα δὲ μῦθοι
ἠχεῦσιν, φοβερῶν πληθόμενοι χαρίτων.
ὦ καὶ θυμὸν ἄριστε, καὶ ἑλλάδος ἤθεσιν ἶσε
κωμικέ, καὶ στύξας ἄξια, καὶ γελάσας.

Ἄδηλον.

Αὐταί σοι στομάτεσσιν ἀνηρείψαντο μέλισσαι
ποικίλα μουσάων ἄνθεα δρεψάμεναι.
αὐταὶ καὶ χάριτές σοι ἐδωρήσαντο Μένανδρε,
στωμύλον εὐστοχίην δράμασιν ἐνθέμεναι.
ζώεις δ' εἰς αἰῶνα. τὸ δὲ κλέος ἐστὶν ἀθήναις
τὸ σέθεν, οὐρανίων ἁπτόμενον περάτων.

Ἀντιπάτρου θεσσαλονικέως.

Ἀρκεῖ τέττιγας μεθύσαι δρόσος, ἀλλὰ πιόντες,
ἀείδειν κύκνων εἰσὶ γεγωνότεροι.
ὡς καὶ ἀοιδὸς ἀνὴρ ξενίων χάριν ἀνταποδοῦναι
ὕμνους εὐέρκτους οἶδε παθὼν ὀλίγα.
τοὔνεκά σοι πρώτως μὲν, ἀμειβομένην δ' ἐθέλουσι
μοῖραι, πολλάκι μου κείσεται εὐσελίσιν.

Καλλιμάχου.

Ἦλθε Θεαίτητος καθαρὴν ὁδόν· εἰ δ' ἐπὶ κισσὸν
τὸν τεὸν, οὐχ αὕτη Βάκχε κέλευθος ἄγει.
ἄλλων μὲν κήρυκες ἐπὶ βραχὺν οὔνομα καιρὸν
φθέγξονται, κείνου δ' Ἑλλὰς ἀεὶ σοφίαν.

Τοῦ αὐτοῦ.

Μικρῆτις Διονύσου καλὰ πρήσσοντι ποιητῇ
ῥῆσις. ὁ μὲν, νικῶ φησι τὸ μακρότατον.
ὡς δὲ σὺ μὴ πνεύσῃς ἐνδέξιος, ἤν τις ἔρηται
πῶς ἔβαλες, φησὶ σκληρὰ τὰ γιγνόμενα.
τῷ μερμηρίξαντι τὰ μὴ ἔνδικα, τοῦτο γένοιτο
τοὔπος, ἐμοὶ δ' ὦναξ ἡ βραχυσυλλαβίη.

Ὅσαι μοῦσαι καὶ οἷαι.

Καλλιόπη, σοφίην ἡρωΐδος εὗρεν ἀοιδῆς.
Κλειὼ, καλλιχόρου κιθάρης μελιηδέα μολπήν.
Εὐτέρπη, τραγικοῖο χοροῦ πολυηχέα φωνήν.
Μελπομένη, θνητοῖσι μελίφρονα βάρβιτον εὗρε.
Τερψιχόρη χαρίεσσα, πόρεν τεχνήμονας αὐλούς.
ὕμνους ἀθανάτων ἐρατὼ πολυτερπέας εὗρε.
τέρψιας ὀρχηθμοῖο Πολύμνια πάνσοφος εὗρεν.
ἁρμονίην πάσαισι Πολύμνια δῶκεν ἀοιδαῖς.
Οὐρανίη, πόλον εὗρε, καὶ οὐρανίων χορὸν ἄστρων.
κωμικὸν εὗρε Θάλεια βίον τε, καὶ ἤθεα κεδνά.

Εἰς τὰς αὐτάς

Οὐκ ἴδε Τερψιχόρην ὁ ζωγράφος, ἀλλ' ὑπὸ τέχνης
ψεύδεται ὀφθαλμὸς, εἴκελος ἀτρεκίῃ.
Εἴ ποτε Τερψινόοιο φίλος φόρμιγγος ἀκούσεις,
τὴν ἐρατὼ θαύμαζε τόσης εὑρήτορα τέχνης.
Εὐτέρπη δονάκεσσι πολυτρήτοισι λιγαίνει,
πνεῦμα σοφῆς ὀχετηγὸν ὑποσπείρουσα μελίσσης.
Κωμικὸν ἀμφιέπω Θάλεια μέλος. ἔργα δὲ φωτῶν
οὐχ ὁσίων θυμέλῃσι φιλοκροτάλοισιν ἀθύρω.
Εἰκόνα τῆς σοφίης ποτιδέρκεο. Καλλιόπης γὰρ
εἰκόνα σῇ κραδίῃ λάμβανε τὴν σοφίην.
Δαφνοκόμοις Φοίβοιο παρὰ τριπόδεσσι κελεύω
Κλειὼ μαντοσύνης μοῦσα, καὶ ἱστορίης.
Οὐρανίη ψήφοιο θεορρήτῳ τινὶ μέτρῳ
ἀστρώην ἐδίδαξα παλινδίνητον ἀνάγκην.
Σκέπτεο χαλκεόφωνον ὑπ' ἀπέρχουσαν ἀοιδὴν,
Μελπομένην, ἐρατῆς ἵστορα εὐεπίης.
Σιγῶ φθεγγομένης παλάμης θελξίφρονα παλμὸν,
νεύματι φωνήεσσαν ἀπαγγέλλουσα σιωπήν.

Κριναγόρου.

Καλλιμάχου τὸ τορευτὸν ἔπος τόδε. δὴ γὰρ ἐπ' αὐτῷ
ὡνὴρ τοὺς μουσέων πάντας ἔσεισε κάλως.
ἀείδει δ' Ἑκάλης τε, φιλοξείνοιο καλίην,
καὶ Θησεῖ Μαραθῶν οὓς ἐπέθηκε πόνους.
τοῦ σοι καὶ νεαρῶν χειρῶν σθένος εἴη ἀρέσθαι
Μάρκελλε, κλεινοῦ τ' αἶνον ἶσον βιότου.

Ἄδηλον.

Καλλίμαχος τὸ κάθαρμα, τὸ παίγνιον, ὁ ξύλινος νοῦς.
αἴτιος ὁ γράψας αἴτια Καλλιμάχου.

ALEXANDER P... ARAGONVM ... DE LA REAL ... FERDINANDVS SANTIVS

Ἀδεσπότου.

Ἡρόδοτος μούσας ὑπεδέξατο. τῷ δ' ἄρ' ἑκάστη
ἀντὶ φιλοξενίης βίβλον ἔδωκε μίαν.

Ἀδήλου.

Ἡσιόδου ποτὲ βίβλον ἐμαῖς ὑπὸ χερσὶν ἑλίσσων,
πυῤῥὴν ἐξαπίνης εἶδον ἐπερχομένην.
βίβλον δὲ ῥίψας ἐπὶ γῆν χερί, τοῦτ' ἐβόησα,
ἔργα τί μοι παρέχεις ὦ γέρον ἡσίοδε;

Ἀδήλου.

Νόννος ἐγώ, Πανὸς μὲν ἐμὴ πόλις. ἐν φαρίῃ δὲ
ἔγχει φωνήεντι γονὰς ἤμησα γιγάντων.

Λεωνίδου.

Ἦν ὁπότε γραμμαῖσιν ἐμὴν φρένα μοῦνον ἔτερπεν,
ἀλλ' ὄναρ εὐγενέταις γνώριμος ἰταλίδαις.
ἀλλὰ τὰ νῦν πάντεσσιν ἐράσμιος. ὀψὲ γὰρ ἔγνων
ὁππόσα Οὐρανίη Καλλιόπη προφέρει.

ΕΙΣ ΠΟΙΜΕΝΑΣ.

Γλαύκου. 68

Νύμφαι, πευθομένῳ φράσατ' ἀτρεκές, εἰ παροδεύων
Δάφνις τὰς λευκὰς ὧδ' ἀνέπαυσ' ἐρίφους.
ναὶ ναὶ Πὰν συρικτά, καὶ εἰς αἴγειρον ἐκείναν
σοί τι κατὰ φλοιοῦ γράμμ' ἐκόλαψε λέγειν,
Πάν, Πάν, πρὸς μαλέαν, πρὸς ὄρος ψωφίδιον ἔρχευ.
ἵξομαι. νύμφαι, χαίρετ', ἐγὼ δ' ὑπάγω.

Ἐρυκίου.

Βουκόλε, πρὸς τοῦ Πανός ὁ φήγινος εἰπὲ Κολωνός
οὗτος, ὅτῳ σπένδεις τὸ γλάγος, ἐστὶ τίνος;
τῷ λειοντοπάλᾳ τιρυνθίῳ. οὐδὲ τὰ τόξα
ἰκτῖτε, καὶ σκυτάλην ἀγριέλαιον ὁρῇς;

χαίροις

χαίροις ἀλκείδα δαμαληφάγε. καὶ τάδε φέρει
αὔλια, κἠξ ὀλίγων μυριόβοια τίθει.

Μακεδόνος.

Κάπρον μὲν χέρσῳ Κόσκος ἔκτανε. τὴν δὲ ταχεῖαν
εἰν ἁλί, καὶ χαροποῖς κύμασιν εἷλ' ἔλαφον.
εἰδ' ἐπὶ καὶ πλεῖων ἡ θηρῶν φύσις, οὐδ' ἂν ἐν αἰθέρα
τὴν κείνου κενεὴν Ἄρτεμις εἶδε χέρα.

Ἀντιφίλου.

Βόρκος ὁ βουποίμην ὅτ' ἐπὶ γλυκὺ κηρίον εἷρπεν,
αἰγίλιπα σχοίνῳ πέτρον ἐπερχόμενος,
εἵπετό οἱ σκυλάκων τις, ὁ καὶ βοσίν. ὃς φάγε λεπτὴν
σχοῖνον, ἀνελκομένῳ χαινομένην μέλιτι.
κάππεσε δ' εἰς ἀΐδαο. τὸ δ' ἀτρυγὲς ἀνδράσιν ἄλλοις
κεῖνο μέλι, ψυχῆς ὤνιον εἰρύσατο.

Εὐνείκα μ' ἐγέλασσε, θέλοντά μιν ἁδὺ φιλᾶσαι.
καί μ' ἐπικερτομέοισα τόδ' ἔννεπεν, ἔρρ' ἀπ' ἐμοῖο.
βουκόλος ὢν ἐθέλεις με κύσαι τάλαν; οὐ μεμάθηκα
ἀγροίκως φιλέειν, ἀλλ' ἀστικὰ χείλεα θλίβειν.

Ἀδέσποτον.

Ὦ Πὰν, φορβομένας ἱερὰν φάτιν ἄπνευ ποίμνας,
κυρτὸν ὑπὲρ χρυσέων χεῖλος ἱεὶς δονάκων,
ὄφρ' αἱ μὲν λευκοῖο βεβριθότα δῶρα γάλακτος
οὔθασιν εἰς κλυμένου πυκνὰ φέρωσι δόμον,
Οἱ δὲ καλῶς βωμοῖσι παριστάμενος πόσις αἰγῶν,
φοίνιον ἐκ λασίου στήθεος αἷμ' ἐρύγῃ.

## ΕΙΣ ΠΟΛΕΜΟΝ, καὶ εἰρήνην. 69

Ἀπολλωνίδου.

Σκύλλος ὅτε Ξέρξου δολιχὸς στόλος Ἑλλάδα πᾶσαν
ἤλαυνε, βυθίην εὕρατο ναυμαχίην,

νηῆος λαθρίοισιν ὑπὸ πλώσας τενάγεσσι,
καὶ τὸν ἀπ' ἀγκύρης ὅρμον ἔκειρε νεῶν,
αὔτανδρος δ' ἐπὶ γῆς ὠλίσθανε Πέρσις ἄναυδος
ὀλλυμένη, πρώτη πεῖρα Θεμιστοκλέος.

Φιλίππου.

Οὐκ ἔτι πυργωθεὶς ὁ φαλαγγομάχας ἐπὶ δῆριν,
ἄσχετος ὁρμαίνει μυριόδους ἐλέφας,
ἀλλὰ φόβῳ στείλας βαθὺν αὐχένα πρὸς ζυγοδέσμους,
ἄστυγα διφρουλκεῖ Καίσαρος οὐρανίου.
ἔγνω δ' εἰρήνης καὶ θὴρ χάριν. ὄργανα ῥίψας
ἄρεος, εὐνομίης ἀντανάγει πατέρα.

Ἄρτεμις ἰσχώουσα, προάγγελός ἐστι κυδοιμοῦ.

## ΕΙΣ ΠΟΛΕΙΣ.

Εὐήνου εἰς Τροίαν. 70

Ξεῖνοι, τὴν περίβωτον ἐμὲ πτόλιν ἴλιον ἱρήν,
τὴν πάρος εὐπύργοις τείχεσι κληιζομένην,
αἰῶνος τέφρη κατεδήδοκεν. ἀλλ' ἐν ὁμήρῳ
κεῖμαι, χαλκείων ἕρκος ἔχουσα πυλῶν.
οὐχ ἕλε με σκᾶψε τρωοφθόρα δούρατ' ἀχαιῶν,
πάντων δ' ἑλλήνων κείσομαι ἐν στόμασιν.

Ἀγαθίου σχολαστικοῦ εἰς
τὸ αὐτό.

Ὦ πόλι, πῆ σέο κεῖνα τὰ τείχεα; πῆ πολύολβοι
νηοί; πῆ δὲ βοῶν κράατα τεμνομένων;
πῆ Παφίης ἀλάβαστρα, καὶ ἡ πάγχρυσος ἐφεστρίς;
πῆ δὲ Τριτογενοῦς δείκελον ἐνδαπίης;
πάντα μόθος, χρονίη τε χύσις, καὶ μοῖρα κραταιὴ
ἥρπασεν, ἀλλοίην ἀμφιβαλοῦσα τύχην.

καί σε τόσον νίκησε βαρὺς φθόνος. ἀλλ' ἄρα μοῦνον
οὔνομα σὸν κρύπται καὶ κλέος οὐ δύναται.

Βάσσου Λολλίου εἰς τὸ αὐτό.

Ἄρρηκτοι μοιρῶν πυμάτην ἐσφρήγισαν ὅρκοι.
τῷ φρυγὶ πὰρ βωμῷ τὴν Πριάμου θυσίην.
ἀλλά σοι Αἰνεία, σόλος ἱερὸς, ἰταλὸν ἤδη
ὅρμον ἔχειν, πάτρης φροίμιον οὐρανίης.
ἐν καλὸν ὤλετο πύργος ὁ τρώϊος. ἡ γὰρ ἐν ὅπλοις,
ἠγέρθη κόσμου πάντος ἄνασσα πόλις.

Ἀδριανοῦ. Καίσαρος. οἱ δὲ, Γερμανικοῦ.

Ἕκτορ, ἀρήϊον αἷμα, κατὰ χθονὸς εἴπου ἀκούεις,
χαῖρε, καὶ ἄμπνευσον βαιὸν ὑπὲρ πατρίδος.
Ἴλιον οἰκεῖται, κλεινὴ πόλις, ἄνδρας ἔχουσα
σοῦ μὲν ἀφαυροτέρους, ἀλλ' ἔτ' ἀρηϊφίλους.
μυρμιδόνες δ' ἀπόλοντο. παρίστασο, καὶ λέγ' ἀχιλλεῖ,
θεσσαλίην κεῖσθαι πᾶσαν ὑπ' αἰνεάδαις.

Τοῖς ὑπέγραψε λάθρα σπαρτιάτης Δημάρατος,

Θάρσυνοι. οὐ γὰρ ἐμῆς κόρυθος λεύσσουσι πρόσωπον.

Ζητηθεὶς δ' ὑπὸ τοῦ βασιλέως, αὖθις προσέθηκεν,

Εἰμὶ μὲν εὐθώρηκος ἐνυαλίου πολεμιστὴς,
εἰμὶ δὲ καὶ θεράπων ἑλικωνίου ἀπόλλωνος.

Ἀγαθίου εἰς τὸ αὐτό.

Εἰ μὲν ἀπὸ σπάρτης τίς ἔφυς ξένε, μή με γελάσσῃς
οὐ γὰρ ἐμοὶ μούνῃ ταῦτ' ἐτέλεσσε τύχη.
εἰ δέ τις ἐξ ἀσίης, μὴ πένθεο. δαρδανικοῖς γὰρ
σκήπτροις αἰνεαδῶν πᾶσα νῦν ἔυκε πόλις.
εἰ δὲ θεῶν τεμένη, καὶ τείχεα, καὶ ναετῆρας
ζηλήμων δηῶν ἐξενεγεῖ ὥστ' ἄρης,

εἰμὶ πάλιν βασίλεια. σὺ δ᾽ ὦ τέκος ἄτρομε ῥώμη,
βάλλε καθ᾽ ἑλλήνων σῆς ζυγόδεσμα δίκης.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Αδε ποθ᾽ ἁ κλεινὰ Πριάμου πόλις, ἂν ἀλαπάξαι
ἑλλάνων δεκέτης οὐκ ἐτόλμασεν ἄρης
ἀμφαδὸν, ἀλλ᾽ ἵπποιο κακὸν ξύλον: αἴθε δ᾽ ἐπειὸς
κάτθανε πρὶν τεῦξαι δουρατέαν παγίδα.
οὐ γὰρ ἂν ἀτρειδᾶν ὀροφηφάγον ἁψαμένων πῦρ,
οὕτω ἐφ᾽ ἁμετέροις λάεσιν ἠριπόμαν.

Εἰς τὸ αὐτὸ Αντιφίλου.

Δέρκεο τὸν τροίας δεκέτη λόχον. εἴσιδε πῶλον
δούραον δαναῶν ἔγκυον ἡσυχίης.
τεκταίνει μὲν ἐπειὸς, ἀθηναίη δὲ κελεύει
ἔργον, ὑπὲρ νώτου δ᾽ ἑλλὰς ὅλη δύεται.
ἦ ῥα μάτην ἀπόλοντο τόσος στρατὸς, εἰ πρὸς ἄρηα
ἦν δόλος ἀτρείδαις ἐσθλότερος πολέμου.

Εἰς μυκήνην Πομπηΐου, οἱ δὲ, Μάρκου νεωτέρου.

Εἰ καὶ ἐρημαίη κέχυμαι κόνις ἔνθα μυκήνη,
εἰ καὶ ἀμαυροτέρη παντὸς ἰδεῖν σκοπέλου,
ἴλου τις καθορῶν κλεινὴν πόλιν, ἧς ἐπάτησα
τείχεα, καὶ Πριάμου πάντ᾽ ἐκένωσα δόμον,
γνώσεται ἔνθεν ὅσον πάρος ἔσθενον. εἰ δέ με γῆρας
ὕβρισεν, ἀρκοῦμαι μάρτυρι Μαιονίδῃ.

Αντιπάτρου θεσσαλονικέως εἰς τὸ αὐτό.

Ηρώων ὀλίγαι μὲν ἐν ὄμμασιν. αἱ δέ τε λοιπαὶ
πατρίδες, οὐ πολλῶν αἰπύτεραι πεδίων.
οἵην καὶ σὲ τάλαινα παρερχόμενός τε μυκήνην
ἔγνων αἰπολίου παντὸς ἐρημοτέρην.
αἰπολικὸν μήνυμα. γέρων δέ τις, ἡ πολύχρυσος
εἶπεν, κυκλώπων τῇδ᾽ ἐπέκειτο πόλις.

Ἀντωνίου ἀργείου, εἰς τὸ αὐτό.

Ἡ πολύχρυσος ἐγὼ τὸ πάλαι πόλις, ἡ τὸν ἀτρειδῶν
οἶκον ἀπ' οὐρανίου δεξαμένη γενεῆς,
ἡ τροίην πέρσασα θεόκτιτον, ἡ βασίλειον
ἀσφαλὲς ἑλλήνων ἄστυ ποθ' ἡμιθέων
μηλόβοτος κεῖμαι καὶ βουνόμος, ἔνθα μυκήνη
τὴν ἐπ' ἐμοὶ μεγάλων οὔνομ' ἔχουσα μόνον.

Ἀλφειοῦ μιτυληναίου.

Ἄργος ὁμηρικὲ μῦθε, καὶ ἑλλάδος ἱρὸν ὅλας,
καὶ χρυσέη τὸ πάλαι περσέοι ἀκρόπολι,
ἐσβέσαθ' ἡρώων κείνων κλέος, οἵ ποτε τροίης
ἤρειψαν κατὰ γῆς θεόδομον στέφανον.
ἀλλ' ἡ μὲν, κρείσσων ἐστὶ πόλις. αἱ δὲ, πεσοῦσαι,
δείκνυσθ' οὐ μήκων αὔλια βουκολίων.

Ἀντιπάτρου.

Ποῦ τὸ περίβλεπτον κάλλος σέο δωρὶ κόρινθε;
ποῦ στεφάναι πύργων, ποῦ τὰ πάλαι κτέανα;
ποῦ νηοὶ μακάρων, ποῦ δώματα, ποῦ δὲ δάμαρτες
σισύφιαι, λαῶν θ' αἵ ποτε μυριάδες;
οὐδὲ γὰρ οὐδ' ἴχνος πολυκάμμορε σεῖο λέλειπται.
πάντα δὲ συμμάρψας ἐξέφαγε πόλεμος.
μοῦναι ἀπόρθητοι νηρηΐδες ὠκεανοῖο,
κοῦραι σῶν ἀχέων μίμνομεν ἀλκυόνες.

Ὀνέστου κορινθίου.

Ἔστην ἐν φόρμιγγι, κατηρείφθην δὲ σὺν αὐλῷ
θήβη φεῦ, μούσης ἔμπαλιν ἁρμονίης.
κωφὰ δέ μοι κεῖται λυροθελγέα λείψανα πύργων
πέτραις μουσοδόμοις, τείχεσιν αὐτομόλοις.
σῆς χορὸς ἀμφίονος ἄπονος χάρις. ἑπτάπυλον γὰρ
πάτρην ἑπταμίτῳ τείχισας ἐν κιθάρῃ.

Τοῦ αὐτοῦ.

Ἁρμονίης ἱερὸν μὲν φήσεις γάμον, ἀλλ᾽ ἀθέμιτον
Οἰδίποδος. λέξεις ἀντιγόνην ὁσίην,
ἀλλὰ κασίγνητοι μιαρώτατοι. ἄμβροτος ἰνώ,
ἀλλ᾽ ἀθάμας τλήμων. τειχομελὴς κιθάρη,
ἀλλ᾽ αὐλὸς δύσμουσος. ἰδ᾽ ὡς ἐκεράσατο θήβη
δαίμων ἐσθλά. κακοῖς δ᾽ εἰς τὸ ἔμιξεν ἴσα.

Φιλίππου.

Ἐν θήβαις Κάδμου κλεινὸς γάμος, ἀλλὰ μυσαχθὴς
Οἰδίποδος. τελετὰς Εὔιος ἠσπάσατο,
ἃς γελάσας Πενθεύς, ὠδύρατο. τείχεα χορδαῖς
ἔστη, καὶ λωτοῖς ἔπεσεν λυόμενα,
Ἀντιόπης ὁσίη, χαλεπὴ δ᾽ ὠδὶς Ἰοκάστης.
ἦν ἰνὼ φιλόπαις, ἀλλ᾽ ἀσεβὴς ἀθάμας.
οἰκτρὸν ἀεὶ πτολίεθρον. ἰδ᾽ ὡς ἐσθλῶν πέρι θήβας
μύθων καὶ συγνῶν ἤρκεσεν ἱστορίη.

Βιάνορος.

Σάρδιες αἱ τὸ πάλαι Γύγου πόλις, αἵ τ᾽ ἀλυάττου
Σάρδιες, αἱ βασιλεῖ πέρσαις ἐν ἀσιάδι,
αἳ Κροίσῳ τὸ παλαιὸν ἐπλινθώσασθε μέλαθρον
ὄλβον πακτωλοῦ ῥεύματι δεξάμεναι,
νῦν δὲ ὅλαι δύστηνοι ὅλον ἐς κακὸν ἁρπασθεῖσαι,
ἐς βυθὸν ἐξ ἀχανοῦς χάσματος ἠρίπετε,
Βοῦρα καὶ εἰς ἑλίκην κεκλυσμέναι. αἱ δ᾽ ἐνὶ χέρσῳ
Σάρδιες, ἐν βυθίαις εἰς ἓν ἔκεισθε τέλος.

Δούριδος ἐλεάτου εἰς τὸν κατακλυσμὸν ἐφέσου.

Ἠέριαι νεφέλαι, πόθεν ὕδατα πικρὰ πιοῦσαι,
νυκτὶ σὺν ἀτερπεῖ πάντα κατεκλύσατε;
οὐ λιβύης, ἐφέσου δὲ τὰ μυρία κεῖνα παλαιῆς
αὔλια, καὶ μακάρων ἐξ ἐτέων κτέανα.

πρὶν δὲ σαωτῆρος τότε δαίμονος ἔτρεπον ἅμμα,
αἲ, αἲ, τὴν ἰαδίων πολλὸν ἀοιδοτάτην;
κεῖνα δὲ κύμασι πάντα κυλινδομένοισιν ὁμοῖα,
εἰς ἅλα σὺν ποταμοῖς ἔδραμε πεπταμένοις.

Ἰωάννου ποιητοῦ τοῦ Βαρβουκάλλου ᾠδὴ
τῇ κατακαύσει Βηρυτοῦ.

Αδ' ἐγὼ ἁ τλάμων ἄπολις πόλις, ἄμμιγα νεκροῖς
ἐνναέταις κεῖμαι ἁ παναποτμοτάτα.
Ἥφαιστός μ' ἐδάμασσε, μετὰ κλόνον ἐννοσιγαίου.
φεῦ, ἀπὸ τοσσατίου κάλλεός εἰμι κόνις.
ἀλλὰ παραστείχοντες, ἐμὰν στοναχήσατε μοῖραν.
σπείσατε Βηρυτῷ δάκρυα καὶ φθιμένᾳ.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ποῦ τελέθει Κύπρις πολιήοχος, ὄφρα νοήσῃ
ἔνδιον εἰδώλων τὴν πρὶν ἕδος χαρίτων;

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Τύμβος ἀταρχύτων μερόπων πόλις, ἧς ὑπὸ τέφρην,
αἱ Βερόης πολλαὶ κείμεθα χιλιάδες.
γράψατ' ἑνὸς καθύπερθε λίθου φίλα λείψανα φωτῶν.
Βηρυτὸς γοερὴ κεῖται ὑπὲρ δαπέδων.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ναυτίλε, μὴ στήσῃς δρόμον ὁλκάδος εἵνεκ' ἐμοῖο,
λαίφεα μὴ λύσῃς, χέρσον ὁρᾷς λιμένα.
τύμβος ὅλη γενόμην. ἕτερον δ' οὖν ἀπενθέα χῶρον
δουπήσει κώπη, νηὸς ἐπερχομένης.
τοῦτο Ποσειδάωνι φίλον, ξείνοις τε θεοῖσι.
χαίρεθ' ἁλιπλανέες, χαίρεθ' ὁδοιπλανέες.

Ἀντωνίου Ἀργείου.

Η πρὶν ἐγὼ Πέρσηος ἀκρόπολις αἰθερίοιο,
ἡ πυρὸν ἰλιάδαις ἀστέρα θρεψαμένη,

αἰπολίοισιν ἔγχαυλον ἑρμαίοισιν ἀνεῖμαι,
τίσατα Πριάμῳ δαίμοσιν ὀψὲ δίκας.

Ἄδηλον.

Ἰλιάδος πολιοῦχε. σὲ μὲν χρυσαυγέϊ νηῷ
ὡς θέμις ἀτλάμων Ἴλιος ἠγασάμην.
ἀλλὰ σύ με προλέλοιπας ἐλώριον. ἀντὶ δὲ μήλου,
πᾶσαν ἀπεστρέψω τείχεος ἀγλαΐην.
ἄρκιον ἦν θνήσκειν τὸν βουκόλον. εἰ γὰρ ἄθεσμος
ἔπλετο, τᾶς πάτρας οὐκ ἀλίτημα τόδε.

## ΕΙΣ ΠΟΝΗΡΟΥΣ. 74

Ἄδηλον.

Φασὶ παροιμιακῶς κἂν ὗς δάκνοι ἄνδρα πονηρόν.
ἀλλὰ τὸ δ' οὐχ οὕτω φημὶ προσῆκε λέγειν,
ἀλλὰ δάκνοι μῦς ἀγαθοὺς, καὶ ἀπράγμονας ἄνδρας.
τὸν δὲ κακὸν δεδιὼς, δήξεται οὐδὲ δράκων.

Παλλαδᾶ.

Εἰ τοὺς ἀνδροφόνους εὐδαίμονας ὄντας ὁρῶμεν,
οὐ πάνυ θαυμάζω. τοῦ Διὸς οὐκ ἔστι γέρας.
τὸν γὰρ γεννήσαντα μεμισηκὼς καὶ ἐκεῖνος,
κτεῖνεν ἂν, εἰ ὁ Κρόνος θνητὸς ἐτύγχανεν ὤν.
ἀντὶ δὲ τοῦ κτεῖναι, σὺν τοῖς τιτᾶσι κολάζει,
δέσμιον ὡς ληστὴν εἰς τὸ βάραθρον ἄγει.

Ἀρχίου.

Ὁ σταφυλοκλοπίδας ἑκατώνυμος, εἰς ἀΐδαο
ἔδραμε, μαστιχθεὶς κλήματι φωριδίῳ.

Μισῶ τὸν ἄνδρα τὸν διπλοῦν πεφυκότα,
χρηστὸν λόγοισι, πολέμιον δὲ τοῖς τρόποις.

ALEXANDER PRATI VALENTINUS FERDINANDUS ... GRA...

ΕΙΣ ΠΟΡΝΑΣ. Παλλαδᾶ. 75

Τὴν Κίρκην οὔ φημι καθὼς εἴρηκεν Ὅμηρος
  ἀντ' ἀνδρῶν ποιεῖν ἢ σύας, ἢ λύκους,
τοὺς αὐτῇ προσιόντας. ἑταίρα δ' οὖσα πανοῦργος,
  τοὺς δελεασθέντας πτωχοτάτους ἐποίει.
τῶν σι ἀνθρωπείων ἀποσυλήσασα λογισμῶν,
  εἶτ' ἀπὸ τῶν ἰδίων μηδὲν ἔχοντας ἔτι,
ἔτρεφεν ἔνδον ἔχουσα, δίκην ζώων ἀλογίστων.
  ἔμφρων δ' ὢν ὀδυσεὺς, τὴν νεότητα φυγὼν,
οὐχ ἑρμοῦ, φύσεως δ' ἰδίας ἔμφρονα λογισμὸν
  εἶχε, γοητείας φάρμακον ἀντίπαλον.

Σιμωνίδου.

Εὐφρὼ, καὶ Θαῒς, καὶ Βοΐδιον, αἱ Διομήδους
  γραῖαι, ναυκλήρων ὁλκάδες εἰκόσοροι,
ἄπιν καὶ Κλεοφῶντα, καὶ ἀνταγόρην, ἓν ἑκάστη
  γυμνοὺς ναυηγῶν, ἥσσονας ἐξέβαλον.
ἀλλὰ σὺν αὐταῖς νηυσὶ, τὰ λῃστρικὰ τῆς ἀφροδίτης
  φεύγετε. σειρήνων αἵδε γὰρ ἐχθρότεραι.

Νικάρχου.

Τῇ μὲν γαστρὶ λαβοῦσα φιλαίνιον, ἡλιοδώρῳ
  θήλειαν τίκτειν παῖδ' ἀπὸ ταὐτομάτου.
τοῦ δ' αὖθι θηλείῃ λυπουμένου, ἓξ διαλείπει
  ἤματα. καὶ τίκτειν ἄρσενα παῖδ' ἔφατο.
οὕτω βούβασις καταλύεται. εἰ γὰρ ἑκάστη
  τέξεται ὡς αὕτη, τίς θεοῦ ἐστὶ λόγος;

Ἐπιγόνου.

Ἡ τὸ πάλαι Λαῒς πάντων βέλος. οὐκ ἔτι Λαῒς,
  ἀλλ' ἐτέων φανερὴ πᾶσιν ἐγὼ νέμεσις,
οὐ μὰ Κύπριν. οὐδ' ἡ Κύπρις ἐστὶν ἐμοὶ ὅσον ὅρκος
  γνώριμον. οὐδ' αὐτῇ Λαΐδι Λαῒς ἔτι.

P i

Ἀδήλου.

Ἡ τοπρὶν αὐχήσασα πολυχρύσοις ἐπ' ἐρασταῖς,
ἡ νέμεσιν δεινὴν οὐχὶ κύσασα θεόν,
μίσθια νῦν ἀπαθίοις πτωχοῖς πλωίσματα κρέκει.
ὀψέ τ' ἀθλὴν αἰεὶ κύπριν ἐληίσατο.

Στράτων⊙.

Ἐστὶ δράκων τις ἔφηβος, ἄγαν καλός. ἀλλὰ δράκων ὤν,
πῶς εἰς τὴν τρώγλην ἄλλον ὄφιν δέχεται;

## ΕΙΣ ΠΟΤΑΜΟΥΣ. 76

Ἀντιφίλου.

Λαβροπόδη χείμαρρε, τί δὴ τόσον ὧδε κορύσσῃ,
πεζὸν ἀποκλείων ἴχνος ὁδοιπορίης;
ἢ μεθύεις ὄμβροισι, καὶ οὐ νύμφαισι διαυγὲς
νᾶμα φέρεις, θολεραῖς δ' ἠρανίσω νεφέλαις;
ὄψομαι ἠελίῳ σε κεκαυμένον, ὅς τις ἐλέγχειν
καὶ γόνιμον ποταμὸν καὶ νόθον οἶδεν ὕδωρ.

Βιάνορ⊙.

Λάρνακα πατρῴων ἔτι λείψανα κομίζουσαν,
νεκρῶν χειμάρρῳ παῖς ἴδε συρομένην,
καί μιν ἄχος τόλμης ἐπλήσατο. χεῦμα δ' ἀναιδὲς
εἰσέθορεν· πικρὴν δ' ἦλθ' ἐπὶ συμμαχίην.
ὀστέα μὲν γὰρ ἔσωσεν ἀφύλακτος. ἀντὶ δὲ τούτων,
αὐτὸς ὑπὸ βλοσυροῦ χεύματος ἐφθάνετο.

Ἀδήλου.

Ἰμβρόεις Ἀλφειὲ, Διὸς στεφανηφόρον ὕδωρ,
ὃς διὰ Πισαίων πεδίων κεκονιμένος ἕρπεις,
ἡσύχιος τὸ πρῶτον. ἐπὴν δ' ἐς πόντον ἵκηαι,
ὀξὺς ἀμετρήτοιο πεσὼν ὑπὸ κῦμα θαλάσσης,

νυμφίος αὐτοκέλευθος ἐὼν ὀχετηγὸς ἐρώτων,
ἣν Σικελὴν Ἀρέθουσαν ἐπείγεαι ὑγρὸς ἀκοίτης.
ἡ δέ σε κεκμηῶτα, καὶ ἀσθμαίνοντα λαβοῦσα,
φῦκος ἀποσμήξασα, καὶ ἄνθεα πικρὰ θαλάσσης,
χείλεα μὲν στομάτεσσι συνήρμοσεν. οἷα δὲ νύμφη
νυμφίον ἀμφιχυθεῖσα περίπλοκον ἡδέϊ δεσμῷ,
κείμενον ἐν κόλποισιν Ὀλύμπιον ἔνναεν ὕδωρ.
καὶ φονίῃ ῥαθάμιγγι λιβὰς κατεκίρνατο πηγή.
οὐδὲ Συρηκοσίης ἔτι σοι μέλεν ἵμερος εὐνῆς,
πορφυρέῃ δ' ἀνέκοπτεν ὕδωρ πεπιεσμένον αἰδοῖ,
φειδόμενος καὶ πόντου ὁμοῦ, καὶ λέκτρα μιγῆναι.
πολλάκι δ' εὐναίων ὀάρων βεβιημένος ὁρμῇ,
αὐτὴν ἐν φιλότητα χυτῆς ἀλόχοιο περήσας,
ἐστήκεις ἄχραντον ὁρῶν ἀρεθούσιον ὕδωρ,
ἡ δέ σε παπταίνουσα πελωριάδος κατὰ πέτρης,
δάκρυσι κυμαίνοντα, κατοικτείρουσα καὶ αὐτή
εὐφροσύνης ἀρέθουσα, φίλους ἀνεκόπτετο μαζούς,
καὶ δρόσος οἷα ῥόδοισιν ἐτήκετο. μυρομένῳ δέ,
Πισαίῳ ποταμῷ Σικελὴ προσεμύρετο πηγή.
οὐδὲ δίκην ἔλαθεν πανδερκέα φοίνιος ἀνὴρ
Ἑλλάδος ἀμώων ἀγάμων στάχυν. ὦ ἔπι, πολλαὶ
ἡρώων ἄλοχοι μινυώρια τέκνα τεκοῦσαι,
μαψιδίως ὠδῖνας ἀνεκλαύσαντο γυναῖκες.

Διοσκουρίδου.

Αὐλὴν Ἀρισταγόρεω καὶ κτήματα, μυρίος Ἀλφειὸς
εἷλε, μετ' εἰκαίης ἐξεφόρησας ὁδοῦ.
αὐτὸς δ' οἰκείης ὁ γέρων ἐπενήξατο βώλου
ναυηγὸς, πάσης ἐλπίδος ὀλλυμένης,
γείτονος ἡμίβρωτον ἐπαύλιον. ὦ πολὺς ἔπας
μόχθος ἐμὸς, πολιῆς τ' ἔργα ποθεινὰ χερός,

ALEXANDER ... ARAGONIUM ... FERDINANDI ... SANCTI

ὕδωρ πᾶν ἐγχύεσθε. τὸ δὲ γλυκὺ τοῦτο γεωργοῖς
κῦμ' ἐπ' Ἀρισταγόρην ἔδραμε πικρότατον.

Νέστορος.

Ἄβροχον ἐν πελάγεσσι δι' ὕδατος ἔπλεον ὕδωρ.

ΕΙΣ ΠΤΩΧΟΥΣ. Φιλίππου. 77

Λιμὸν ὀϊζυρὴν ἀπαμυνομένη πολύγηρως
Νικὼ, σὺν κούραις ἠκρολόγει στάχυας.
ὤλετο δ' ἐκ θάλπους. τῇ δ' ἐκ καλάμης συνέριθοι
νῆσαν πυρκαϊὴν ἄξυλον ἐκ σταχύων.
μὴ νεμέσα Δήμητερ, ἀπὸ χθονὸς εἰ βροτὸν ὄντα,
κοῦραι τοῖς γαίης σπέρμασιν ἠμφίεσαν.

Παλλαδᾶ.

Μηδέποτε ζήσας ὁ πένης βροτὸς, οὐδ' ἀποθνήσκει.
καὶ ζῆν γὰρ δοκέων, ὡς νέκυς ἦν ὁ τάλας.
οἱ δὲ τύχας μεγάλας, καὶ χρήματα πολλὰ λαχόντες,
οὗτοι τὸν θάνατον πλούσιον ἔχουσι βίου.

Ἀδήλου.

Εἰ κρίσις ἐστὶ κάτω καὶ τάνταλος, οὐδὲν ἀπιστῶ,
τῇ πενίῃ μελετῶν τὴν ὑπὸ γῆν κόλασιν.

Ἄδηλον.

Οὗτος ὁ μηδὲν, ὁ λιτὸς, ὁ καὶ λάτρις, οὗτος ὁρᾶτε;
ἐστί τινος ψυχῆς κύριος ἀλλοτρίης;

Ἀδέσποτον.

Χρήματα καὶ πόρναις παραγίγνεται, οὐκ ἀλεγίζω.
μισείτω με τάλας χρυσὸς ὁ πορνοφίλας.

ΕΙΣ ΣΙΩΠΗΝ. Παλλαδᾶ. 78

Ἡ μεγάλη παίδευσις ἐν ἀνθρώποις ἐστὶ σιωπή.
μάρτυρα Πυθαγόραν τὸν σοφὸν αὐτὸν ἔχω.

ὅς μαλέξιν εἰδὼς, ἑτέρους ἐδίδασκε σιωπᾶν,
φάρμακον ἡσυχίης ἐγκρατὲς εὑράμενος.

Τοῦ αὐτοῦ.

πᾶς τις ἀπαίδευτος, φρονιμώτατός ἐστι σιωπῶν,
τὸν λόγον ἐγκρύπτων ὡς πάθος αἴσχιστον.

ΕΙΣ ΣΟΦΙΑΝ. 79

Κριναγόρου.

ἄχρι τεῦ ὦ δείλαιε κεναῖς ἐπὶ ἐλπίσι θυμὲ
ποτηθεὶς ψυχρῶν ἀσστάτων νεφέων;
ἄλλοις ἀλλ' ἐπ' ὄνειρα διαγράψεις ἀφνειοῖο.
κτητὸν γὰρ θνητοῖς οὐδὲν αὐτόματον.
μουσέων ἀλλ' ἐπὶ δῶρα μετέρχεο. ταῦτα δ' ἀμυδρὰ
εἴδωλα ψυχῆς, ἠλεμάτοισι μέθες.

Ἀπολλωνίδου.

αἴλιος αὐσονίων ὕπατον κλέος, εἶπεν ἀθρήσας
εὐρώταν, σπάρτης χαῖρε φέριστον ὕδωρ.
μουσάων δ' ἐπὶ χεῖρα βαλὼν πολυΐστορι βίβλῳ,
εἶδεν ὑπὲρ κορυφῆς σύμβολον εὐμαθίης,
σίμβλους, μιμηλὸν βιότου πόρον ἐν σκιδροῖσιν
ἄγκεσι, παμφώνων μέλπον ἀπὸ στομάτων.
μνήθη δ' ἐπὶ ταῖσδε. τί δ' οὐ ζηλωτὸς ὁ μόχθος,
εἰ καὶ πλέον ἀποθεῖ γαύρυος ἡμετέρης;

Νέστορος.

...ἔπιε με θρυλλήσαντες, ἐμὴν ἀπεπαύσατ' ἀοιδήν;
...πεύς, ἱππεύειν ἐδάη, καὶ ἀοιδὸς, ἀείδειν.
...δέ τις ἱππεύειν δεδαὼς, ἐθέλησιν ἀείδειν,
...φοτέρων ἥμαρτε καὶ ἱπποσύνης καὶ ἀοιδῆς.

Παύλου σιλεντιαρίου.

...τὸ ζῆν χαρίεσσαν ἔχει φύσιν, ἀλλὰ τὸ ῥῖψαι
φροντίδας ἐκ στέρνων τὰς πολιοκροτάφους.

ARAGONUM · ALEXANDER PP VI VALENTINUS · FERDINANDUS · REX

πλοῦτον ἔχειν ἐθέλω τὸν ἐπάρκιον. ἡ δὲ περισσὴ
θυμὸν ἀεὶ κατέδει χρυσομανὴς μελέτη.
ἔνθεν ἐν ἀνθρώποισιν ἀρείονα πολλάκι δήεις
καὶ πενίην πλούτου, καὶ θάνατον βιότου.
ταῦτα σὺ γιγνώσκων, κραδίης ἴθυνε κελεύθους.
εἰς μίαν εἰσορόων ἐλπίδα, τὴν σοφίην.

Εἰς τὴν φιλόσοφον
ὑπατίαν.

Ὅταν βλέπω σε, προσκυνῶ, καὶ τοὺς λόγους,
τῆς παρθένου τὸν οἶκον ἀστρῷον βλέπων.
εἰς οὐρανὸν γάρ ἐστι σοῦ τὰ πράγματα,
ὑπατία σεμνή, τῶν λόγων εὐμορφία,
ἄχραντον ἄστρον τῆς σοφῆς παιδεύσεως.

## ΕΙΣ ΣΥΓΚΡΙΣΙΝ. 80

Ἀδήλου.

Εἰ κύκνῳ δύναται κόρυδος παραπλήσιον ᾄδειν,
τολμῷεν δ' ἐρίσαι σκῶπες ἀηδονίσιν,
εἰ κόκκυξ τέττιγος ἐρεῖ λιγυρώτερος εἶναι,
ἶσα ποιεῖν κἀγὼ Παλλαδίῳ δύναμαι.

## ΕΙΣ ΣΩΦΡΟΣΥΝΗΝ. 81

Ἀντιπάτρου θεσσαλονικέως.

Ἀντιγένης ὁ γελῷος ἔπος ποτὶ τᾷ θυγατρὶ
εἶπεν, ὅτ' ἦν ἤδη νεύμενος εἰς ἀΐδην,
παρθένε, καλλιπάρῃε, κόρη δ' ἐμή, ἶσχε συνεργὸν
ἠλακάτην, ἀρκεῦν κτῆμα πενιχρῷ βίῳ.
ἢν δ' ἵκῃ εἰς ὑμέναιον, ἀχαιΐδος ἤθεα μητρὸς
χρηστὰ φύλασσε, πόσει προῖκα βεβαιοτάτην.

Ἀδήλου.

Σωφροσύνη καὶ ἔρως, κατ' ἐναντίον ἀλλήλοισιν
ἐλθόντες, ψυχὰς ὤλεσαν ἀμφότεροι,
Φαίδρην μὲν κτείνων πυρόεις πόθος ἱππολύτοιο,
ἱππόλυτον δ' ἁγνὴ πέφνε σωφροσύνη.

Παλλαδᾶ.

Νηδὺν ἀναίσχυντον στιβαροῖς ᾔσχυνα λογισμοῖς,
σωφροσύνη κολάσας ἔντερον ἀργαλέον.
εἰ γὰρ ἔχω τὸν νοῦν ὑποκείμενον ὕψοθι γαστρὸς,
πῶς μὴ νικήσω τὴν ὑποτασσομένην;

Τοῦ αὐτοῦ.

Οὐδὲν σωφροσύνης τεκμήριόν ἐστι πρόδηλον.
τοῖς ἐμπαιζομένοις ἀνδράσι ταῦτα λέγω.
οὔτε τὸ δύσμορφον πάντως ἀνύποπτον ὑπάρχει
οὔτ' ἀκολασταίνειν πᾶσα πέφυκε καλή.
καὶ γάρ τις διὰ τὴν ὥραν τοῖς πολλὰ διδοῦσιν
οὐχ ἕπεται. πολλὰς δ' ἐστὶ γυναῖκας ἰδεῖν,
οὐχὶ καλὰς τὴν ὄψιν, ὁπλιζομένας ἀκορέστως,
καὶ τοῖς χρησαμένοις πολλὰ χαριζομένας.
οὐκ εἴ τις συνάγει τὰς ὀφρύας, οὐδὲ γελῶσα
φαίνεται, ὀφθαλμοῖς τ' ἀνδράσιν ἐκτρέπεται.
σωφροσύνης τρόπος οὗτος ἐχέγγυος. ἀλλά τις εὕροι
μαχλάδα μὲν κρύβδην τὴν πάνυ σεμνοτάτην.
τὰς δ' ἱλαρὰς, καὶ πᾶσι φιλανθρώπως προσιούσας,
σώφρονας, εἰ σώφρων ἐστὶ γυνή τις ὅλως.

Τοῦ αὐτοῦ.

Γαστέρα μισήσει θεὸς, καὶ βρώματα γαστρός.
εἵνεκα γὰρ τούτων σωφροσύνη λύεται.

Ἀγαθίου.

Καλὸν μὲν ζυγόδεσμον ἔχειν νόον. εἰ δ' ἄρ' ἀνάγκη,
ἀρσενικὴ φιλότης μήποτε σε κλονέοι.

θηλυτέρας φιλέειν ὀλίγον κακόν, οὕνεκα κείναις
κυπριδίους ὄαρους πότνα δέδωκε φύσις.
δέρκεο τῶν ἀλόγων ζώων γένος. οὐ γὰρ ἐκείνων
φύσις ἀτιμάζει θέσμια συζυγίης.
ἄρσενι γὰρ θήλεια συνάπτεται. οἱ δ' ἀλεγεινοὶ
ἄνδρες, οἳ ἀλλήλους ξεῖνον ἄγουσι γάμον.

## ΕΙΣ ΤΙΜΗΝ. 82

Παλλαδᾶ.

Ἐκλήθην παρὰ σοῦ τὸ δεύτερον. εἰ δ' ἀπελείφθην,
τὴν τιμὴν ἀπέχω, καὶ πλέον εἰμὶ φίλος.
οὐδὲ γὰρ ἡ ψυχὴ τὸ φαγεῖν κρίνουσα γέγηθεν,
ἀλλὰ μόνον τιμῆς αἰσθομένης, τρέφεται.

Τοῦ αὐτοῦ.

Πολλάκις ἤρεσησα τὴν φιλότητα, καὶ ὕβριν,
καὶ πολὺ κουφοτέρην σὴν φιλότητα μαθών.
λοιδορίην δὲ ῥέπουσαν, ἐχωρίσθην φιλότητος,
μηκέτι βαστάζων ὕβριν ἀτιμοτάτην.

## ΕΙΣ ΤΥΧΗΝ. Ἀδήλου. 83

Ἐλπὶς καὶ σὺ τύχη, μέγα χαίρετε. τὸν λιμέν' εὗρον.
οὐδὲν ἐμοί, χ' ὑμῖν. παίζετε τοὺς μετ' ἐμέ.

Λουκιανοῦ.

Ἀγρὸς Ἀχαιμενίδου γενόμην ποτέ, νῦν δὲ Μενίππου.
καὶ πάλιν ἐξ ἑτέρου, βήσομαι εἰς ἕτερον.
καὶ γὰρ ἐκεῖνος ἔχειν με ποτ' ᾤετο, καὶ πάλιν οὗτος
οἴεται. εἰμὶ δ' ὅλως οὐδενός, ἀλλὰ τύχης.

Ἀδήλου.

Αἴθε πατήρ μ' ἐδίδαξε δασύτριχα μῆλα νομεύειν,
ὥς κεν ὑπὸ πτελέῃσι καθήμενος, ἢ ὑπὸ πέτραις,

συρίσδων καλάμοισιν, ἐμὰς τέρπεσκον ἀνίας.
Πιερίδες φεύγωμεν ἐϋκτιμένην πόλιν ἄλλην.
πατρίδα μαστεύσωμεν, ἀπαγγελέω δ' ἄρα πᾶσιν,
ὡς ὀλοοὶ κηφῆνες ἐδηλήσαντο μελίσσας.

Παλλαδᾶ.

Τύχη καπηλεύουσα πάντα τὸν βίον,
ἀσύγκερατον τὴν φύσιν κεκτημένη,
καὶ συγκυκῶσα, καὶ μεταντλοῦσα πάλιν,
αὕτη κάπηλός ἐστι νῦν τις ἡ θεά,
τέχνην λαχοῦσα τῶν τρόπων ἐπαξίαν.

Τοῦ αὐτοῦ.

Ἀνεστράφησαν ὡς ὁρῶ τὰ πράγματα.
καὶ τὴν τύχην νῦν δυστυχοῦσαν εἴδομεν.

Τοῦ αὐτοῦ.

Καὶ σὺ τύχη δέσποινα τύχην ἀτυχῆ πόθεν ἔχεις;
ἡ παρέχουσα τύχας, πῶς ἀτυχὴς γέγονας;
μάνθανε καὶ σὺ φέρειν τὰ σὰ ῥεύματα. καὶ σὺ διδάσκου
τὰς ἀτυχεῖς πτώσεις ἃς παρέχεις ἑτέροις.

Τοῦ αὐτοῦ.

Καὶ σὺ τύχη λοιπὸν μεταβαλλομένη, καταπαίζου,
μὴ δὲ τύχης τῆς σῆς ὕστατα φεισαμένη.
ἡ πρὶν νηὸν ἔχουσα, καπηλεύεις μετὰ γῆρας,
θερμοδότις μερόπων νῦν ἀναφαινομένη.
νῦν ὁσίως στένε καὶ σὺ τεὸν πάθος ἄστατε δαῖμον,
τὴν σὴν ὡς μερόπων νῦν μετάγουσα τύχην.

Ἀπολλωνίδου.

Ἀγγελίης ἤκουσεν ἀνωΐστου Μελίτινα,
υἱέα σῶν φόρτῳ κύματι κρυπτόμενον.
ἠϊόσιν δ' ὠθικέλσαν ἀλίκλυστον δέμας ἄλλου,
δύσμορος, οἰκείης σύμβολον εἶδε τύχης.

ἤξεα δ᾽ ὡς ἔσφλε. Δίων δ᾽ ὑπὸ τηνὸς ἀθραύστου
ἤλυθεν εἰς γαίην σῶος ἀπ᾽ ἐμπορίης.
μητέρος ὡς ἀνίσου μοίρης λάχον. ἡ μὲν, ἄελπτον
ζωὸν ἔχει, κείνη δ᾽ ὄψεται οὐδὲ νέκυν.

Ἀγαθίου.

Γριπεύς τις μογέεσκεν ἐπ᾽ ἰχθύσι. τὸν δ᾽ ἐσιδοῦσα
εὐκτέανος κούρη, θυμὸν ἔκαμνε πόθῳ.
καί μιν θῆκε σύνευνον. ὁ δ᾽ ἐκ βιότοιο πενιχροῦ
δέξατο παντοίης ὄγκον ἀγηνορίης.
ἡ δὲ τύχη γελόωσα, παρίστατο. καὶ ποτὶ Κύπριν
οὐ τεὸς οὗτος ἀγὼν, ἀλλ᾽ ἐμός ἐστιν ἔφη.

Εἰς ἄρχοντα ἀνάξιον τῆς τοιαύτης
προαγωγῆς.

Οὐκ ἐθέλουσα τύχη σε προήγαγεν, ἀλλ᾽ ἵνα δείξῃ
ὡς ὅτι καὶ μέχρι σοῦ πάντα ποιεῖν δύναται.

Λουκιανοῦ.

Μὴ πταίων, φίλος εἶ θνητοῖς, φίλος εἶ μακάρεσσι.
καί σευ ῥηϊδίως ἔκλυον εὐξαμένου.
ἂν πταίσῃς, οὐδεὶς ἔτι σοι φίλος. ἀλλ᾽ ἅμα πάντα
ἐχθρὰ, τύχης τε ῥοπαῖς συμμεταβαλλόμενα.

Παλλαδᾶ.

Εὖγε λέγων, τὸν καιρὸν ἔφης θεὸν εὖγε Μένανδρε,
ὡς ἀνὴρ μουσῶν, καὶ χαρίτων τρόφιμος.
πολλάκι γὰρ τοῦ σφόδρα μεριμνηθέντος ἄμεινον
προσπεσὸν εὐκαίρως, εὗρέ τι ταὐτόματον.

Τοῦ αὐτοῦ.

Οὐ λόγον, οὐ νόμον οἶδε τύχη. μερόπων δὲ τυραννεῖ,
τοῖς ἰδίοις ἀλόγως ῥεύμασι συρομένη.
μᾶλλον τοῖς ἀδίκοισι ῥέπει. μισεῖ δὲ δικαίους,
ὡς ἐπιδεικνυμένη τὴν ἄλογον δύναμιν.

Ἀγαθίου σχολαστικοῦ εἰς ἄρχοντα ἀποπεσόντα.

Ἦ ῥά γε ποῦ τὸ φρύαγμα τὸ τηλίκον; οἱ δὲ ποδισσοὶ,
πῆ ἔβαν ἐξαίφνης ἀγχίποροι κόλακες;
νῦν γὰρ ἑκὰς πόλιος φυγὰς ᾤχεο. τοῖς πρότερον δὲ
οἰκτροῖς τὴν κατὰ σοῦ ψῆφον ἔδωκε τύχη.
πολλή σοι κλυτοεργὲ τύχη χάρις, οὕνεχ' ὁμοίως
πάντας ἀεὶ παίζεις, κεἰς σέ τι τερπόμεθα.

Τοῦ αὐτοῦ.

Εὖτέ τις ἐκ πενίης πλούτου τύχοι, ἠδὲ καὶ ἀρχῆς,
οὐκ ἔτι γιγνώσκει τίς πέλε τὸ πρότερον.
τὴν ποτὲ γὰρ φιλίην ἀπαναίνεται. ἀφρονέων δὲ,
τέρψιν ὀλισθηρῆς οὐ δεδάηκε τύχης.
ἧς ποτὲ γὰρ πτωχὸς ταλαπείριος. οὐκ ἐθέλεις δὲ
αἰτίζων ἀκόλους, νῦν ἑτέροις παρέχειν.
πάντα φίλος μερόπεσσι παρέρχεται. εἰ δ' ἀπιθήσεις
ἔμπαλιν αἰτίζων, μάρτυρα σαυτὸν ἔχοις.

Παλλαδᾶ.

Παίγνιον ἐστὶ τύχης μερόπων βίος, οἰκτρὸς ἀλήτης,
πλούτου, καὶ πενίης μεσσόθι ῥεμβόμενος.
καὶ τοὺς μὲν, κατάγουσα, πάλιν σφαιρηδὸν ἀείρει.
τοὺς δ' ἀπὸ τῶν νεφελῶν, εἰς ἀΐδην κατάγει.

Τοῦ αὐτοῦ.

Ἂν μὴ γελῶμεν τὸν βίον τὸν δραπέτην,
τύχην τε πόρνης ῥεύμασιν κινουμένην,
ὀδύνην ἑαυτοῖς προξενοῦμεν πάντοτε,
ἀναξίους ὁρῶντες εὐτυχεστέρους.

Ἀδήλου.

Ὄλβιον ἀνθρώποισιν ἔχει φάος ἄμβροτος αἰὼν
σῇσιν ὑπ' ὠδίνεσσιν εὐγενέτειρα τύχη.



ARAGONVM · ALEXANDER

οὐνόματι γὰρ σῷ πάντα φέρει κλέος, ὁππότε χειρὶ
δεξιτερῇ παρέχῃς αὐχένα θεσπέσιον.
τούτῳ καὶ βασιλῆος ἀμύμονος ἁρμόζονται,
καὶ λογίων ἀγέλης ἄμβροτοι ἡγεμόνος.

Ἀδήλου.

Ὅταν λογισμοῖς καταμάθω τὰ πράγματα,
καὶ τὰς ἀκαίρους τοῦ βίου μεταστροφάς,
καὶ ῥεῦμ' ἄπιστον τῆς ἀνωμάλου τύχης,
πῶς τοὺς πένητας πλουσίους ἐργάζεται,
καὶ τοὺς ἔχοντας χρημάτων ἀποστερεῖ,
τότε κατ' ἐμαυτὸν τῇ πλάνῃ σκοτούμενος,
μισῶ τὰ πάντα, τῆς ἀδηλίας χάριν.
οἵῳ τρόπῳ γὰρ περιγίνωμαι τῆς τύχης,
τῆς δὲ ἀδήλου τῷ βίῳ φανδρουμένης,
πόρνης γυναικὸς τοὺς τρόπους κεκτημένης.

Λουκιανοῦ.

Θεοῦ μὲν ἐκτὸς, οὐδεὶς εὐτυχεῖ βροτός.

Ἀδήλου.

Φεῦ τῶν βροτείων ὡς ἀνώμαλοι τύχαι.
οἱ μὲν, γὰρ εὖ πράττουσι. τοῖς δὲ, συμφοραὶ
σκληραὶ πάρεισιν, εὐσεβοῦσι πρὸς θεούς.

Λουκιανοῦ.

Πολλὰ τὸ δαιμόνιον δύναται, κἂν ᾖ παράδοξα.
τοὺς μικροὺς ἀνάγει, τοὺς μεγάλους κατάγει.
καὶ σοῦ τὴν ὀφρὺν, καὶ τὸν τῦφον καταπαύσει,
κἂν ποταμὸς χρυσοῦ νάματά σοι παρέχῃ.
οὐ βρύον, οὐ μαλάχην ἄνεμος ποτὲ, τὰς δὲ μεγίστας
ἢ δρῦς, ἢ πλατάνους οἶδε χαμαὶ κατάγειν.

## ΕΙΣ ΥΠΕΡΟΨΙΑΝ. 84

Ἀδήλου.

Ἤλλακτ' ἐξαπίνης Κορνήλιος, οὐδ' ἔτι λιτῷ
 τέρπεται ἡμετέρῳ μουσοχαρεῖ βιότῳ.
κούφης δ' αἰωρεῖται ἀπ' ἐλπίδος. οὐκ ἔτι δ' ἡμεῖς
 οἱ πάρος, ἀλλ' ἑτέρης ἐλπίδος ἐκκρέμαται.
εἴκωμεν ψυχή, πεπαλαίσμεθα. μὴ δὲ βιάζου.
 εἰς ἔλαφος τέχνης κείμεθ' ὑπ' ἀργυρέης.

Παλλαδᾶ.

Ἂν μνήμην ἄνθρωπε λάβῃς ὁ πατήρ σε τί ποιῶν
 ἔσπειρεν, παύσῃ τῆς μεγαλοφροσύνης.
ἀλλ' ὁ Πλάτων σοὶ τῦφον ὀνειρώσσων ἐνέφυσεν,
 ἀθάνατόν σε λέγων, καὶ φυτὸν οὐράνιον.
ἐκ πηλοῦ γέγονας. τί φρονεῖς μέγα; τοῦτο μὲν οὕτως
 εἶπ' ἂν τις κοσμῶν πλάσματι σεμνοτέρῳ.
εἰ δὲ λόγον ζητεῖς τὸν ἀληθινόν, ἐξ ἀκολάστου
 λαγνείας γέγονας, καὶ μιαρᾶς ῥανίδος.

Τοῦ αὐτοῦ.

Ἠέρα λεπταλέου μυκτηρόθεν ἀμπνείοντες,
 ζώομεν, ἠελίου λαμπάδα δερκόμενοι,
πάντες, ὅσοι ζῶμεν κατὰ τὸν βίον. ὄργανα δ' ἐσμέν,
 αὔραις ζωογόνοις πνεύματα δεχνύμενοι.
εἰ δέ τις οὖν ὀλίγην παλάμῃ σφίγξειεν ἀϋτμήν,
 ψυχὴν συλήσας, εἰς Ἀΐδην κατάγει.
οὕτως οὐδὲν ἐόντες, ἀγηνορίῃ τρεφόμεσθα,
 πνοιῆς ἐξ ὀλίγης ἠέρα βοσκόμενοι.

## ΕΙΣ ΦΗΜΗΝ. Τοῦ αὐτοῦ. 85

Εἰ θεὸς ἡ φήμη, κεχολωμένη ἐστὶ καὶ αὐτὴ
 Ἕλλησι, σφαλεροῖς ἐξαπατῶσα λόγοις.

φήμη δ' ἀντιπαθὴς, ἀναφαίνεται εὐθὺς ἀληθής.
πολλάκι καὶ φήμην ἔφθασεν ἡ ταχυτής.

## ΕΙΣ ΦΘΟΝΟΝ. 83

Τοῦ αὐτοῦ.

Ὁ φθόνος οἰκτιρμοῦ κατὰ Πίνδαρόν ἐστιν ἀμείνων.
οἱ βασκαινόμενοι, λαμπρὸν ἔχουσι βίον.
τοὺς δὲ λίαν ἀτυχεῖς, οἰκτείρομεν. ἀλλά τις εἴην
μήτ' ἄγαν εὐδαίμων, μήτ' ἐλεεινὸς ἐγώ.
ἡ μεσότης γὰρ ἄριστον. ἐπεὶ τὰ μὲν ἄκρα πέφυκε
κινδύνους ἐπάγειν, ἔσχατα δ' ὕβριν ἔχει.

Τοῦ αὐτοῦ.

Ὦ τῆς μεγίστης τοῦ φθόνου πονηρίας.
τὸν εὐτυχῆ μισεῖ τις, ὃν θεὸς φιλεῖ.
οὕτως ἀνόητοι τῷ φθόνῳ πλανώμεθα.
οὕτως ἑτοίμως μωρίᾳ δουλεύομεν.
Ἕλληνές ἐσμεν ἄνδρες ἐσποδωμένοι,
νεκρῶν ἔχοντες ἐλπίδας τεθαμμένας.
ἀνεστράφη γὰρ πάντα νῦν τὰ πράγματα.

Τοῦ αὐτοῦ.

Ὅταν στυγῇ τις ἄνδρα, τὸν, θεὸς φιλεῖ,
οὗτος μεγίστην μωρίαν κατεισάγει.
φανερῶς γὰρ αὐτῷ τῷ θεῷ κορύσσεται,
χόλον μέγιστον ἐκ φθόνου δεδεγμένος.
δεῖ γὰρ φιλεῖν ἐκεῖνον, ὃν θεὸς φιλεῖ.

Ἀρίστωνος, ἢ Ἑρμοδώρου.

Γειναμένα κάλλος Γανυμήδεος εἶπε ποθ' Ἥρη,
θυμοβόρου ζάλου κέντρον ἔχουσα νόῳ,
ἄρσεν πῦρ ἔτεκε Τροία Διΐ. τοιγὰρ ἐγὼ πῦρ
πέμψω ἐπὶ Τροίαν πῆμα φέροντα Πάριν.

...δ' ἰλιάδαις οὐκ αἰετός. ἀλλ' ὧδε θοίναις
γῦπες, ὅταν Δαναοὶ σκῦλα φέρωσι πόνων.

Ἀδηλον.

Ὁ φθόνος ἐστὶ κάκιστος. ἔχει δέ τι καλὸν ἐν αὐτῷ.
τήκει γὰρ φθονερῶν ὄμματα, καὶ κραδίην,

Ἀδηλον.

Ὁ φθόνος αὐτὸς ἑαυτὸν ἑοῖς βελέεσσι δαμάζει.

## ΕΙΣ ΦΙΛΑΡΓΥΡΟΥΣ. 84

Πλάτωνος. οἱ δέ,

Ἀντιπάτρου.

Χρυσὸν ἀνὴρ, ὁ μὲν, εὗρεν, ὁ δ' ὤλεσεν. ὧν ὁ μὲν εὑρὼν,
ῥῖψεν. ὁ δ' οὐχ εὑρὼν, λυγρὸν ἔδησε βρόχον.

Στατυλλίου φλάκκου.

Χρυσὸν ἀνὴρ εὑρὼν, ἔλιπε βρόχον. αὐτὰρ ὁ χρυσὸν
ὃν λίπεν οὐχ εὑρὼν, ἧψεν ὃν εὗρε βρόχον.

Ἀδηλον.

Τέρπε δανιζόμενος τὴν σὴν φρένα. τοῖς δὲ δανεισταῖς
κάλλιπε τὴν ψῆφον δάκτυλι καμπτομένῳ.

## ΕΙΣ ΦΙΛΙΑΝ. Ἀδηλον. 85

Κισσῷ μὲν Διόνυσος ἀγάλλεται, αἰγίδι δὲ Ζεὺς,
οἱ ναέται ξείνοις, ἡ δὲ πόλις ναέταις.

Ἀδηλον.

Θησαυρὸς μέγας ἐστ' ἀγαθὸς φίλος ἡλιόδωρε,
τῷ καὶ τηρῆσαι τοῦτον ἐπισταμένῳ.

Ἀδηλον.

Μή ποτε τὸν παρεόντα παρεὶς φίλον, ἄλλον ἐρεύνα,
δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.

Τίνας ἂν εἴποι λόγους φιλήμων
διʼ Εὐριπίδην.

Εἰ ταῖς ἀληθείαισιν οἱ τεθνηκότες
αἴσθησιν εἶχον ἄνδρες, ὥς φασίν τινες,
ἀπηγξάμην ἄν, ὥστʼ ἰδεῖν Εὐριπίδην.

Ἄδηλον.

Γνήσιός εἰμι φίλος. καὶ τὸν φίλον, ὡς φίλον οἶδα.
τοὺς δὲ κακοὺς, διόλου πάντας ἀποστρέφομαι.
οὐδένα θωπεύω προσυπόκρισιν. οὓς δʼ ἄρα τιμῶ,
τούτους ἐξ ἀρχῆς μέχρι τέλους ἀγαπῶ.

Ἄδηλον.

Πρᾶγμα μὲν ἔσθʼ ὁ φίλος πάνυ δύσκολον. εἰσὶ δὲ πολ-
λοὶ σχεδὸν οἱ πάντες, μέχρι προσηγορίας. (λοί,

## ΕΙΣ ΦΙΛΟΣΟΦΟΥΣ.

Εἰς ἐμπεδοκλῆν. 89

Ἤδη γάρ ποτʼ ἐγὼ γενόμην κοῦρός τε, κόρη τε,
θάμνος τʼ οἰωνός τε, καὶ ἐξ ἁλὸς ἔμπυρος ἰχθύς.

Εἰς τὸν αὐτόν.

Ὦ φίλοι, οἳ μέγα ἄστυ κατὰ ξανθοῦ ἀκράγαντος
ναίετʼ ἀνʼ ἄκρα πόλιος, ἀγαθῶν μελεδήμονες ἔργων,
χαίρετʼ. ἐγὼ δʼ ὑμὶν θεὸς ἄμβροτος, οὐκ ἔτι θνητὸς,
πωλεῦμαι μετὰ πᾶσι τετιμένος ὥς περ ἔοικε,
ταινίαις τε περίστεπτος, στέφεσίν τε, θαλείοις.

Εἰς τὸ ἐγχειρίδιον.

Ἐπικτήτου.

Μήτιν Ἐπικτήτοιο τεῷ σὺν κάτθεο θυμῷ.
ὄφρα κεν εἰσαφίκοιο καὶ οὐρανίους κενεῶνας,
ψυχὴν ὑψικέλευθον ἐλαφρίζειν ἀπὸ γαίης.

[library stamp]

Εἰς τὸ αὐτό.

Ζηλῶν Ἐπικτήτοιο σοφὴν τελέσσειε μενοινὴν,
μειδιάει, βιότοιο γαληνιόων ἐνὶ πόντῳ,
καὶ μετὰ ναυτιλίην βιοτήσιον εἰσαναβαίνει,
οὐρανίην ἀψῖδα, καὶ ἀστερίην πεδιωπήν.

Εἰς Μαρῖνον.

Καὶ τόδε σῆς ζαθέης κεφαλῆς πεδιώσιον ἔργον
Πρόκλε μάκαρ, πάντων βρέτας ἔμπνοον, ὅττι Μαρῖνον
ἀθανάτων, μερόπεσσι βοηθόον εὐσεβέεσσιν,
ἀντὶ τεῆς ἱερῆς κεφαλῆς ψυχοσσόον ἄλκαρ
κάλλιπες, ὃς βιοτὴν θεοτερπέα σεῖο λιγαίνων,
γράψε τάδ᾽ ἐσσομένοις μνημήια σῶν ἀρετάων.

Εἰς Πλάτωνα.

Ἄδηλον.

Ἀτθίδος εὐγλώσσου στόμα φέρτατον, οὗ σέο μεῖζον
φθέγμα πανελλήνων πᾶσα κέκευθε πόλις.
πρῶτος δ᾽ εἴς τε θεὸν, καὶ τὸν οὐρανὸν ὄμματα νώσας
θεῖε Πλάτων, ἤθη, καὶ βίον ἠγάσαο,
σωκρατικῷ στάμνον κεράσας κρητῆρι φρόνημα,
κάλλιστον σεμνῆς σῆμα διχοστασίης.

Ἀποφθέγματα τῶν
ἑπτὰ σοφῶν.

Ἑπτὰ σοφῶν ἐρέω κατ᾽ ἔπος πόλιν, οὔνομα, φωνήν.
μέτρον μὲν Κλεόβουλος ὁλίνδιος εἶπεν ἄριστον.
Χίλων δ᾽ ἐν κοίλῃ λακεδαίμονι, γνῶθι σεαυτόν.
ὃς δὲ κόρινθον ἔναιε, χόλου κρατέειν Περίανδρος.
Πιττακὸς, οὐδὲν ἄγαν. ὃς ἔην γένος ἐκ μιτυλήνης.
τέρμα δ᾽ ὁρᾶν βιότοιο, Σόλων ἱεραῖς ἐν ἀθήναις.
τοὺς πλέονας κακίους δὲ, Βίας ἀπέφηνε πριηνεύς.
ἐγγύην φεύγειν δὲ, Θαλῆς μιλήσιος ηὔδα.

ALEXANDER ... FERDINANDUS ... (library stamp)

Ἰουλιανοῦ βασιλέως εἰς τὸ ὄργανον.

Ἀλλοίην ὁρόω δονάκων φύσιν. ἦπου ἀπ' ἄλλης
χαλκείης τάχα μᾶλλον ἀνεβλάστησαν ἀρούρης,
ἄγριοι, οὐδ' ἀνέμοισιν ὑφ' ἡμετέροις δονέονται,
ἀλλ' ὑπὸ ταυρείης προθορὼν σπήλυγγος ἀήτης,
νέρθεν ἐϋτρήτων καλάμων ὑπὸ ῥίζαν ὁδεύει.
καί τις ἀνὴρ ἀγέρωχος ἔχων θοὰ δάκτυλα χειρός,
ἵσταται ἀμφαφόων κανόνας συμφράδμονας αὐλῶν.
οἱ δ' ἁπαλὸν σκιρτῶντες, ἀποθλίβουσιν ἀοιδήν.

Ἄδηλα.

Τῇ τῶν λόγων σου κογχύλῃ πορφύρειε,
βάπτεις τὰ χείλη, καὶ στολίζεις τὰς φρένας.

Ἡ φύσις ἐξεῦρεν φιλίης θεσμοὺς ἀγαπῶσα,
τῶν ἀποδημούντων ὄργανα συντυχίης,
τὸν κάλαμον, χάρτην, τὸ μέλαν, τὰ χαράγματα χειρός,
σύμβολα τῆς ψυχῆς τηλόθεν ἀχνυμένης.

Εἰς Ἡράκλειτον.

Μὴ ταχὺς Ἡρακλείτου ἐπ' ὀμφαλὸν εἴλυε βίβλον
τοὐφεσίου. μάλα τοι δύσβατος ἀτραπιτός.
ὄρφνη, καὶ σκότος ἐστὶν ἀλάμπετον. ἢν δέ σε μύστης
εἰσαγάγῃ, φανεροῦ λαμπρότερ' ἠελίου.

Εἰς Πυθαγόραν.

Ἡνίκα Πυθαγόρης τὸ περικλεὲς εὕρατο γράμμα
κεῖν', ἐφ' ὅτῳ κλεινὴν ἤγαγε βουθυσίην,
δή τότε μιν συφελιζομένου σκύλακος παριόντα
φασὶν ἐποικτεῖραι, καὶ τόδε φάσθαι ἔπος,
παῦσαι, μὴ δὲ ῥάπιζ', ἐπειὴ φίλου ἀνέρος ἐστὶ
ψυχή, τὴν ἔγνων, φθεγξαμένης ἀΐων.

## ΕΙΣ ΦΙΛΟΣΤΟΡΓΙΑΝ.

### Ἀλφειοῦ. 87

Χειμερίαις νιφάδεσσι παλυνομένα τιθὰς ὄρνις,
τέκνοις εὐναίας ἀμφέχεε πτέρυγας,
μέσφα μιν οὐράνιον κρύος ὤλεσεν. ἦ γὰρ ἔμεινεν
αἰθέρος οὐρανίων ἀντίπαλος νεφέων.
Πρόκνη, καὶ Μήδεια, κατ' ἄϊδος αἰδέσθητε
μητέρες, ὀρνίθων ἔργα διδασκόμεναι.

### Ἀδήλου.

Ἐκ πυρὸς Ἰλιακοῦ, δοράτων μέσον ἥρπασεν ἥρως
Αἰνείας, ὅσιον παιδὶ βάρος πατέρα.
ἔκλαγε δ' Ἀργείοις μὴ ψαύετε. μικρὸν ἐν Ἄρει
κέρδος ὁ γηραλέος. τῷδε δὲ φέροντι, μέγα.

### Ἀρχίου.

Οὐ τόσον Ἀθάμας ἐπεμήνατο παιδὶ Λεάρχῳ,
ὅσσον ὁ Μηδείης θυμὸς ἐτεκνοφόνει,
ζῆλος ἐπεὶ μανίης μεῖζον κακόν. εἰ δὲ φονεύοι
μήτηρ, ἐν τίνι νῦν πίστις ἔτ' ἐστὶ τέκνων;

### Τοῦ αὐτοῦ.

Αἶαν ὅλην, νήσους τε διιπταμένη σὺ χελιδὼν,
Μηδείης γραπτῆς πυκτίδι νοσσοτροφεῖς.
ἔλπῃ δ' ὀρταλίχων πίστιν σέο τήνδε φυλάξειν
Κολχίδα, μηδ' ἰδίων φεισαμένην τεκέων.

### Μενεκράτους σμυρναίου.

Παισὶν ἐπὶ προτέροις ἤδη τρίτον ἐν πυρὶ μήτηρ
θεῖσα, καὶ ἀπλήστῳ δαίμονι μεμφομένη,
τέτρατον ἄλγος ἔτικτε, καὶ οὐκ ἀνέμεινεν ἀδήλους
ἐλπίδας, ἐν δὲ πυρὶ ζωὸν ἔθηκε βρέφος,
οὐ θρέψω λέξασα. τί γὰρ πλέον ᾅδῃ μαστοὶ
κάμνετε; κερδήσω πένθος ἀμοχθότερον.

Ἀντιπάτρου θεσσαλονικέως.

Παιδὸς ἀφ' ὑψηλῶν κρημνῶν, ὑπὲρ ἄκρα μέτωπα
κύψαντος, μοῖραν νηπιάχοις ἄφοβον,
μήτηρ ἐξόπιθεν μαζῷ μετέτρεψε νόημα.
δὶς δὲ τέκνῳ ζωὴν ἐγκεχάρισο γάλα.

## ΕΙΣ ΦΡΟΝΙΣΙΝ. 91

Λουκιανοῦ.

Ἡ βραδύπους βουλὴ μέγ' ἀμείνων· ἡ δὲ ταχεῖα,
αἰὲν ἐφελκομένην τὴν μετάνοιαν ἔχει.

Ἀδήλου.

Εἰς σὲ καὶ ἀψευδὴς ἐψεύσατο βίβλος ὁμήρου,
ὃ πλοτέρων γνέπουσα μετήορα δίνεα φωτῶν.

## ΕΙΣ ΦΡΟΝΤΙΔΑΣ. 92

Μιμνέρμου.

Τὴν σαυτοῦ φρένα τέρπε. δυσηλεγέων δὲ πολιτῶν
ἄλλος τίς σε κακῶς, ἄλλος ἄμεινον ἐρεῖ.

Παλλαδᾶ.

Εἰ τὸ μέλειν δύναταί τι, μερίμνα καὶ μελέτω σοι.
εἰ δὲ μέλει περὶ σοῦ δαίμονι, σοὶ τί μέλει;
οὔτε μεριμνήσεις δίχα δαίμονος, οὔτ' ἀμελήσεις.
ἀλλ' ἵνα σοί τι μέλῃ, δαίμονι τοῦτο μέλει.

Τοῦ αὐτοῦ.

Τίπτε μάτην ἄνθρωπε πονεῖς, καὶ πάντα ταράσσεις,
κλήρῳ δουλεύων τῷ κατὰ τὴν γένεσιν;
τούτῳ σαυτὸν ἄφες. τῷ δαίμονι μὴ φιλονείκει.
σὴν δὲ τύχην στέργων, ἡσυχίην ἀγάπα.
μᾶλλον ἐπ' εὐφροσύνην δὲ βιάζεο, καὶ παρὰ μοίρην
εἰ δυνατὸν ψυχὴν τερπομένην μετάγειν.

## ΕΙΣ ΧΡΟΝΟΝ. 93

### Πλάτωνος.

Αἰὼν πάντα φέρει. δολιχὸς χρόνος οἶδεν ἀμείβειν,
οὔνομα, καὶ μορφὴν, καὶ φύσιν, ἠδὲ τύχην.

### Ἀδήλου.

Ἀργαλέως φέρεται πολιὸς χρόνος ἀλλὰ παρέρπων,
καὶ φωνὰς κλέπτει φθεγγομένων μερόπων.
καὶ μὴ φαινόμενος, τοὺς φαινομένους ἀφανίζει.
καὶ μὴ φαινομένους, εἰς φανερὸν προφέρει.
ὦ ζωῆς ἀόριστος ἐν ἀνθρώποισι τελευτὴ,
ἦμαρ ἐπ' ἦμαρ ἀεὶ πρὸς ζόφον ἐρχομένων.
μηκέτι κληρονόμους ὀνομάζετε φέγγος ὁρῶντας,
τοὺς δ' ἀποθνήσκοντας, κληρονόμους λέγετε.
οἱ νῦν κληρονόμοι νέκυες, μέγα κέρδος ἔχουσι,
τὴν ἀναχώρησιν τοῦ μογεροῦ βιότου.
τὴν πόλιν οἱ νέκυες πρότερον ζῶσαν κατέλειψαν.
ἡμεῖς δὲ ζῶντες, τὴν πόλιν ἐκφερόμεθα.

### Παλλαδᾶ.

Νυκτὸς ἀπερχομένης γινώμεθα, ἦμαρ ἐπ' ἦμαρ,
τοῦ προτέρου βιότου μηδὲν ἔχοντες ἔτι,
ἀλλοτριωθέντες τῆς ἐχθεσινῆς διαγωγῆς,
τοῦ λοιποῦ δὲ βίου σήμερον ἀρχόμενοι.
μὴ τοίνυν λέγε σαυτὸν ἐτῶν πρεσβῦτα περισσῶν.
τῶν γὰρ ἀπελθόντων, σήμερον οὐ μετέχεις.

### Τοῦ αὐτοῦ.

Ω τῆς βραχείας ἡδονῆς τῆς τοῦ βίου.
τὴν ὀξύτητα τοῦ χρόνου πενθήσατε.
ἡμεῖς καθεζόμεσθα, καὶ κοιμώμεθα,
μοχθοῦντες, ἢ τρυφῶντες. ὁ δὲ χρόνος, τρέχει.

τρέχει καθ' ἡμῶν τῶν ταλαιπώρων βροτῶν,
φέρων ἑκάστου τῷ βίῳ καταστροφήν.

Ἄδηλα.

Τὴν πρότερον θυμέλην μήτ' ἔμβλεπε, μήτε παρέλθῃς.
νῦν ἄπαγε δραχμῆς εἰς κολοκορδύκολα.
καὶ σῦκον δραχμῆς ἐγγίγνεται. ἢν δ' ἀναμείνῃς,
χίλια. τοῖς πτωχοῖς ὁ χρόνος ἐστὶ θεός.

Τῆς ὥρας ἀπόλαυε. παρακμάζει ταχὺ πάντα.
ἓν θέρος ἐξ ἐρίφου τρηχὺν ἔθηκε τράγον.

Τὸ ῥόδον ἀκμάζει, βαιὸν χρόνον· ἢν δὲ παρέλθῃ,
ζητῶν εὑρήσεις οὐ ῥόδον, ἀλλὰ βάτον.

## ΕΙΣ ΩΡΑΣ, ΚΑΙ ΜΗΝΑΣ. 91

Ἄδηλον.

Ἓξ ὧραι μόχθοις ἱκανώταται. αἱ δὲ μετ' αὐτάς,
γράμμασι δεικνύμεναι, ζῆθι λέγουσι βροτοῖς.

Φησί, δεῖ μέχρι τῆς ἕκτης ὥρας τῆς ἡμέρας ἐργάζεσθαι. μετὰ δὲ ταύτην, ἐπ' ἄριστον ἔρχεσθαι. τοῦτο δέ φησι δηλοῦν καὶ τὸ ὡρολόγιον. τὰ γὰρ μετὰ ἕκτην σημεῖα, τουτέστι τὸ τῆς ἑβδόμης, τὸ ζ, καὶ τῆς ὀγδόης, τὸ η, καὶ τῆς ἐννάτης, τὸ θ, καὶ τῆς δεκάτης τὸ ι, κατὰ συλλαβὰς συναπτόμενα, ζῆθι δίδωσιν ἀναγινώσκειν. τουτέστι, προτρέπεται φαγεῖν, ἵνα ζῆν ἔχῃς.

Μηνῶν αἰγυπτίων.

Σεπτέβριος.

Πρῶτος Θὼθ δρεπάνην ἐδάη βότρυν ἐγείρειν.
ἰχθυβόλοισι φαωθὶ φέρει πανδήμιον ἄγρην.

πληϊάδων φαίνουσαν ἀθὺρ τεκμαίρεται ὥρην.
Χοιὰκ, ἀειρομένων σταχύων δείκνυσι γενέθλην.
Τυβὶ δὲ, πορφύρεον βασιληφόρον εἷμα τιταίνει.
σημαίνει πλωτῆρσι Μεχεὶρ πλόον ἀμφιπολεύειν.
ἄρεος ὅπλα φέρειν Φαμενὼθ δείκνυσι μαχηταῖς.
εἰαρινῶν Φαρμουθὶ ῥόδων πρωτάγγελός ἐστι.
λήια δ᾽ ἀσταχύων τὰ Παχὼν δρεπάνοισι φυλάσσει.
εὐκάρπου δὲ Παϋνὶ προάγγελός ἐστιν ὀπώρης,
καὶ σταφυλὴν κατέχων εὐάμπελός ἐστιν Ἐπηφί.
καὶ Μεσορὴ, νείλοιο φέρει φυσίζοον ὕδωρ.

Μῆνες ῥωμαίων. Ἰανουάριος.

Ἐξ ἐμέθεν λυκάβαντος ἀπ᾽ ἠελίοιο θύρετρα
αὐσονίοις ὕψος δέρκεται ἠέλιος.
Αὐτὰρ ἐγὼ θαμινῆς γαίην νιφάδεσσι διαίνω,
τεύχων εἰαρινῆς ἔγκυον ἀγλαΐης.
Ἄρχετ᾽ ἄρης ἀπ᾽ ἐμοῖο, καὶ ἄνθεα, καὶ γλάγος ἤδη.
ἴση δ᾽ εἰκοστῷ ἤματι νὺξ τελέθει.
Εὐτύνοι τῆμος δὲ φυτοσκάφος ἔρνεα τάμνων,
ῥίζῃ ἐπ᾽ ἀκροτάτῃ ἥμερον ἀκρέμονα.
Οἴγεται ἄρτι θάλασσα, ἐφοπλίζοιτε δὲ νῆας
ὥριον ἀκλύστων ἐκτὸς ἄγειν λιμένων.
Μεσσάτιος ῥόδου εἰμὶ, καὶ ἀργεννοῖο κρίνοιο,
καὶ ξανθῆς κόρασου βρίθομαι ἀκρεμόσιν.
Καρκίνου ἠέλιος μετανείσεται. ἀσταχύας δὲ
καρφαλέους κείρει γειοπόνος δρεπάνῃ.
Κρίνω ἐγὼ πυῤῥὸν, καὶ ἀχυρμιάς. σὺ δὲ λέοντι,
ἀτρεκέα τελέθει χεύματα νηϊάδων.
Βρίθω ἐγὼ σταφυλῇ, βρίθω δ᾽ ὧδε πάσῃ ὀπώρῃ.
αὖθις δ᾽ ἰσοπαλὴς γίγνεται ἤματι νύξ.

Τίς δ' ἐκ' ἐμεῖο πέλει γλυκερώτερος, ὅς μέθυ ληνῷ
ἡδὺ ἐπικατάγω, Βάκχον ἀπ' οἰνοπέδου;
Εἴ τοι ἀθηναίης πέλει ὄρνεα, ὥριον ἤδη
καρπὸν ἀποθλίβειν, μισθὸν ἔχειν καμάτων.
Παύσασθαι νειοῦ κέλομαι. γλαγόωντι γὰρ ἤδη,
σπέρματι ῥιγεδανὴ πηγυλὶς ἀντιάσει.

Εἰς τοὺς αὐτούς.

Ιανουάριος.

Μὴν ὑπάτων πρῶτος. ὁ δὲ δεύτερος, αὔλακα τέμνει.
ὁ τρίτος, αὐσονίων μηνῶν ἱερὸν μῶλον ἐγείρει.
τέτρατος, ἀγγέλλει ῥοδοδάκτυλον εἴαρος ὥρην.
εἰμὶ ῥόδων μελέτης, καὶ ἐγὼ κρίνα λευκὰ κομίζω.
ἕκτος ἀμαλλοδέτης. τὰ δ' ἐμὰ πτερὰ, νεῖλον ἐγείρει.
ὅστις χρισαφύλλῳ πεφιλημένος ἔπλετο Βάκχῳ,
τεύχω δ' οἴνου ἐγὼ μελιηδέα, χάρμα βροτοῖσι.
δαῖτα φέρω χαρίεσσαν ὅτ' οὔνομα φωτὸς ἑκάστου.
φορμίζειν δεδάηκα, καὶ ὑπνώοντας ἐγείρειν.

Εἰς τὸ Ἔαρ.

Χείματος ἠνεμόεντος ἀπ' αἰθέρος οἰχομένοιο,
πορφυρέη μείδησε φερανθέος εἴαρος ὥρη.
γαῖα δὲ κυανέη χλοερὴν ἐστέψατο ποίην,
καὶ φυτὰ θηλήσαντα, νέοις ἐκόμησε πετήλοις.
οἱ δ' ἁπαλὴν πίνοντες ἀεξιφύτου δρόσον ἠοῦς.
λειμῶνες, γελόωσιν, ἀνοιγομένοιο ῥόδοιο.
χαίρει καὶ συρίγγι νομεὺς ἐν ὄρεσσι λιγαίνων,
καὶ πολιοῖς ἐρίφοις ἐπιτέρπεται αἰπόλος αἰγῶν.
ἤδη δὲ πλώουσιν ἐπ' εὐρέα κύματα ναῦται,
πνοιῇ ἀπημάντῳ ζεφύρου λίνα κολπώσαντες.
ἤδη δ' εὐάζουσι φερεσταφύλῳ Διονύσῳ

ἄνθεϊ

ἄνθεϊ βοτρυόεντος ἐρεψάμενοι τρίχα κισσοῦ.
... δὲ τεχνῆντα βοηγενέεσσι μελίσσαις
...λὰ μέλει, καὶ σίμβλῳ ἐφήμεναι ἐργάζονται
...ὐκὰ πολυτρήτοιο νεόρρυτα κάλλεα κηροῦ.
πάντῃ δ' ὀρνίθων γενεὴ λιγύφωνος ἀείδει.
ἀλκ...ες περὶ κῦμα, χελιδόνες ἀμφὶ μέλαθρα,
κύκνος ἐπ' ὄχθαισιν ποταμοῦ, καὶ ὑπ' ἄλσος ἀηδών.
εἰ δὲ φυτῶν χαίρουσι κόμαι, καὶ γαῖα τέθηλε,
συρίζει δὲ νομεὺς, καὶ τέρπεται εὔκολα μῆλα.
καὶ ναῦται πλώουσι, Διώνυσος δὲ χορεύει,
καὶ μέλπει πετεηνά, καὶ ὠδίνουσι μέλισσαι,
πῶς οὐ χρὴ καὶ ἀοιδὸν ἐν εἴαρι καλὸν ἀεῖσαι,

Θέωνος μονόστιχον εἰς τὴν ἑβδομάδα.

Ζεύς. ἄρης. παφίη. μήνη. κρόνος. ἥλιος. ἑρμῆς.

ΤΕΛΟΣ ΤΟΥ ΠΡΩΤΟΥ ΤΜΗΜΑΤΟΣ.

ἢν γὰρ ἀναπνεύσῃ, δέρεται τὰς παντὸς ἀγῶνος
πληγὰς ὡς ἀποδύς, κἂν ἀποδῦ, δέρεται.

Νικάρχου.

Πέντε μετ' ἄλλων Χάρμος ἐν Ἀρκαδίᾳ δολιχεύων,
θαῦμα μὲν, ἀλλ' ὄντως ἕβδομος ἐξέπεσεν.
ἓξ ὄντων, τάχ' ἐρεῖς πῶς ἕβδομος. εἷς φίλος αὐτοῦ,
θάρσει Χάρμε λέγων, ἦλθεν ἐν ἱματίῳ.
ἕβδομος οὖν οὕτω παραγίγνεται. εἰ δ' ἔτι πέντε
εἶχε φίλους, ἦλθ' ἂν Ζωΐλε, δωδέκατος.

Λουκιλλίου.

Τὸν σταδιὴν πρώην Ἐρασίστρατον ἡ μεγάλη γῆ,
πάντων σειομένων, οὐκ ἐσάλευσε μόνον.

Τοῦ αὐτοῦ.

Οὔτε ταχίον ἐμοῦ τις ἐν ἀντιπάλοισιν ἔπιπτεν,
οὔτε βράδιον ὅλως ἔδραμε τὸ στάδιον.
δίσκῳ μὲν γὰρ ὅλως οὐδ' ἤγγισα, τοὺς δὲ πόδας μοι
ἐξᾶραι πηδῶν, ἴσχυον οὐδέποτε.
κυλλὸς δ' ἠκόντιζεν ἀμείνονα. πέντε δ' ἀπ' ἄθλων,
πρῶτος ἐκηρύχθην πέντε τριαζόμενος.

Τοῦ αὐτοῦ.

Νύκτα μέσην ἐποίησε τρέχων ποτὲ Μάρκος ὁπλίτης,
ὥστ' ἀποκλεισθῆναι πάντοθε τὸ στάδιον.
οἱ γὰρ δημόσιοι, κεῖσθαί τινα πάντες ἔδοξαν
ὁπλίτην τιμῆς εἵνεκα τῶν λιθίνων.
καὶ τί γὰρ εἰς ὥρας ἠνοίγετο; καὶ τότε Μάρκος,
ἦλθε προσελλείπων τοῦ σταδίου δίπλεθρον.

Ἄδηλον.

Τὸ στάδιον Περικλῆς εἴτ' ἔδραμεν, εἴτ' ἐκάθητο,
οὐδεὶς οἶδεν ὅλως, δαιμόνιος βραδυτής.
ὁ ψόφος ἦν ὕσπληγγος ἐν οὔασι, καὶ στεφανοῦται
ἄλλος. καὶ Περικλῆς δάκτυλον οὐ προέβη.

Λουκιλλίου.

Ἐν πίσσῃ μεδέοντι τὸ κρανίον Αὖλος ὁ πύκτης,
ἓν καθ' ἓν ἀθροίσας, ὀστέον ἀντίθεται.
σωθεὶς δ' ἐκ νεμέας Ζεῦ δέσποτα, σοὶ τάχα θήσει
καὶ τοὺς ἀστραγάλους τοὺς ἔτι λειπομένους.

Τοῦ αὐτοῦ.

Εἰς ἱερόν ποτ' ἀγῶνα Μίλων μόνος ἦλθ' ὁ παλαιστής.
τὸν δ' εὐθὺς στεφανοῦν ἀθλοθέτης ἐκάλει.
προσβαίνων δ' ὤλισθεν ἐπ' ἰσχίον. οἱ δ' ἐβόησαν
τὸν μὴ στεφανοῦν, εἰ μόνος ὢν ἔπεσεν.
αὐτὰς δ' ἐν μέσσοισιν ἀνέκραγεν, οὐχὶ τρί' ἐστίν;
ἓν κεῖμαι, λοιπὸν τἄλλα μέ τις βαλέτω.

Λουκιανοῦ.

Εἰ ταχὺς εἰς τὸ φαγεῖν, καὶ πρὸς δρόμον ἀμβλὺς ὑπάρχεις,
τοῖς ποσί σου τρώγε, καὶ τρέχε τῷ στόματι.

Τοῦ αὐτοῦ.

Οἱ συναγωνισταὶ τὸν πυγμάχον ἐνθάδ' ἔθηκαν
Ἄπιν. οὐδένα γὰρ πώποτ' ἐτραυμάτισεν.

Τοῦ αὐτοῦ.

Πᾶσαν ὅσην Ἕλλησιν ἀγωνοθετοῦσιν ἅμιλλαν
πυγμῆς, Ἀνδρόλεως πᾶσαν ἀγωνισάμην.
ἔχον δ' ἐν πίσσῃ μὲν, ἓν ὠτίον. ἐν δὲ πλαταιαῖς,
ἓν βλέφαρον. πυθοῖ δ', ἄπνοος ἐκφέρομαι.
Δαμοτέλης δ' ὁ πατὴρ ἐκηρύσσετο σὺν πολιήταις,
ἆραί μ' ἐκ σταδίων ἢ νεκρὸν, ἢ κολοβόν.

LEGATVM DVX ... Y MANEZ ... BIBLIOTECA DE LA UNIVERSIDAD LITERARIA DE VALENCIA

## ΕΙΣ ΑΔΥΝΑΤΟΝ.

Τοῦ αὐτοῦ. 2

Εἰς τί μάτην νίπτεις δέμας ἰνδικόν; ἴσχεο τέχνης.
οὐ δύναται δνοφερὴν νύκτα καθηλιάσαι.

## ΕΙΣ ΑΝΟΗΤΟΥΣ. 3

Ἀντιόχου εἰς ἀπαίδευτον ὑποδειξάμενον.

Βῆσσος εἰ φρένας εἶχεν, ἀπήγξατο. νῦν δ' ὑπ' ἀνοίας
καὶ ζῇ, καὶ πλουτεῖ, καὶ μετὰ τὴν πάροδον.

Ἄδηλα.

Ἐν πᾶσιν μεθύουσιν Ἀκίνδυνος ἤθελε νήφειν,
τοὔνεκα καὶ μεθύειν αὐτὸς ἔδοξε μόνος.

Ἄλλο.

Ἔσβεσε τὸν λύχνον μωρὸς, ψυλλῶν ὑπὸ πολλῶν
δακνόμενος, λέξας οὐκ ἔτι με βλέπετε.

Παλλαδᾶ.

Πάντες μὲν δειλοὶ καὶ ἀλαζόνες εἰσί. καὶ εἴτι
ἐν τοῖς ἀνθρώποις ἄλλο πέφυκε πάθος.
ἀλλ' ὁ λογισμὸν ἔχων τῷ πλησίον οὐκ ἀναφαίνει,
ἔνδον ἀποκρύπτων τῇ συνέσει τὸ πάθος.
τῆς δὲ θύρα ψυχῆς ἀναπέπταται. οὐδὲν ἀληθὲς
οὔτε καταπτήσσων, οὔτε θρασυνόμενος.

Ἀββιανοῦ.

Κύλλος καὶ Λοῦπος, δύο Θεσσαλοὶ ἐγχεσίμωροι.
Κύλλος δ' ἐκ τούτων ἐγχεσιμωρότερος.

Ἀδήλου.

Ἢν εἰσίδῃς κεφαλὴν μαδαρὰν, καὶ στέρνα, καὶ ὤμους,
μηδὲν ἐρωτήσῃς. μωρὸν ὁρᾷς φαλακρόν.

## ΕΙΣ ΑΡΠΑΓΑΣ. 4

Αὐτομέδοντος.

Δέξαι Φοῖβε τὸ δεῖπνον, ὅ, σοι φέρω. ἤν τις ἐάσῃ,
δέξομαι. εἶτα φοβῇ καὶ σύ γε Λητοΐδη
ἄμα..

...δλιγα τῶν ἄλλων, πλὴν ἀέριον. οὗτος ἔχει γὰρ
ἁρπαγὸς ἰκτίνου χεῖρα κραταιοτέρην.
...κνίσσου βωμοῖο νεωκόρος. ἐν τελέσῃ δὲ
τὴν πομπὴν, ἄρας ᾤχεθ' ἅπαντα πάλιν.
...ἐν Διὸς ἀμβροσίῃ, πολλὴ χάρις. εἰς γὰρ ἂν ὑμέων
...μην, εἰ λιμοῦ καὶ θεὸς ᾐσθάνετο,

## ΕΙΣ ΑΣΕΛΓΕΙΣ. Λουκιλλίου. 5

Τὸν φιλόπαιδα Κράτιππον, ἀκούσατε. θαῦμα γὰρ ὑ-
μᾶς καινὸν ἀπαγγέλλω. πλὴν μεγάλαι νεμέσεις. (μὴν
τὸν φιλόπαιδα Κράτιππον ὀδυρόμενον ἄλλο γένος. τίς
τῶν ἑτεροζήλων. ἤλπισα τοῦτ' ἂν ἐγώ,
ἤλπισα τοῦτο Κράτιππε; μανήσομαι, εἰ λύκος ἐστὶ
πᾶσι λέγων, ἐφάνης ἐξαπίνης ἔριφος.

Ἀδήλου.

Ἀνέρας ἠρνήσαντο, καὶ οὐκ ἐγένοντο γυναῖκες,
οὔτ' ἄνδρες γεγάασιν, ἐπεὶ πάθον ἔργα γυναικῶν,
οὐδὲ γυναῖκες ἔασιν, ἐπεὶ φύσιν ἔλλαχον ἀνδρῶν.
ἀνέρες εἰσὶ γυναιξί, καὶ ἀνδράσιν εἰσὶ γυναῖκες.

Ἀντιπάτρου.

Ἑστηκὸς τὸ Κίμωνος ἰδὼν πέος, εἶφ' ὁ Πρίηπος
οἴμοι, ὑπὸ θνητοῦ λείπομαι ἀθάνατος.

Στράτωνος.

Ἡ κλίνη πάσχοντας ἔχει δύο, καὶ δύο δρῶντας.
οὓς σὺ δοκεῖς πάντως τέσσαρας, εἰσὶ δὲ τρεῖς.
ἢν δὲ πύθῃ πῶς τοῦτο, τὸν ἐν μέσσῳ δὶς ἀρίθμει,
κοινὰ πρὸς ἀμφοτέρους ἔργα σαλευόμενον.

Ἀδήλου.

Εἰρήνη πάντεσσιν ἐπίσκοπος εἶπεν ἐπελθών.
πῶς δύναται πᾶσιν, ἣν μόνος ἔνδον ἔχει;



ARAGONUM · ALEXANDER PP VI VALENTINUS FERDINANDUS

Ἄδηλα.

Φεύγων τὴν ὑπόνοιαν Ἀπολλοφάνης ἐγάμησεν,
καὶ διὰ τῆς ἀγορᾶς νυμφίος ἦλθε μέσης,
αὔριον οὖν λέγων ἕξω τέκνον. εἶτα προῆλθεν
αὔριον ἀντὶ τέκνου, τὴν ὑπόνοιαν ἔχων.

Ἀλφειοῦ στόμα φεῦγε. φιλεῖ κόλπους Ἀρεθούσης,
πρηνὴς ἐμπίπτων ἁλμυρὸν εἰς πέλαγος.

Οὐχ ὅτι τὸν κάλαμον λείχεις διὰ τοῦτό σε μισῶ,
ἀλλ᾽ ὅτι τοῦτο ποιεῖς, καὶ δίχα τοῦ καλάμου.

Χείλων, καὶ λείχων, ἴσα γράμματα. εἰ τί δὲ τοῦτο;
λείχει γὰρ χείλων κἂν ἴσα, κἂν ἄνισα.

Υἱὸς Πατρικίου μάλα κόσμιος, ὃς διὰ Κύπριν
οὐχ ὁσίην, ἑτάρους πάντας ἀποστρέφεται.

Ἂν μετ᾽ ἀλεξάνδρειαν εἰς ἀντιόχειαν ἀπέλθῃς,
καὶ μετὰ τὴν συρίην ἰταλίης ἐπιβῇς,
τῶν δυνατῶν οὐδείς σε γαμήσει. τοῦτο γὰρ αἰεὶ
οἰομένη, πηδᾷς εἰς πόλιν ἐκ πόλεως.

## ΕΙΣ ΑΣΤΡΟΛΟΓΟΥΣ.

Λουκιλλίου. 6

Τῷ πατρί μου τὸν ἀδελφὸν οἱ ἀστρολόγοι μακρόγηρων
πάντες ἐμαντεύσανθ᾽ ὡς ἀφ᾽ ἑνὸς στόματος.
ἀλλ᾽ ἑρμοκλείδης, αὐτὸν μόνος εἶπε πρόμοιρον,
εἶπε δ᾽ ὅτ᾽ αὐτὸν ἔσω νεκρὸν ἐκοπτόμεθα.

Τοῦ αὐτοῦ.

Πάντες ὅσοι τὸν Ἄρη, καὶ τὸν Κρόνον ὡροθετοῦσιν,
ἄξιοί εἰσι τυχεῖν πάντες ἑνὸς τυπάνου.
ὄψομαι οὐ μακρὰν αὐτοὺς τυχὸν εἰδότας ὄντως,
καὶ τί ποιεῖ ταῦρος, καὶ τί λέων δύναται.

Τοῦ αὐτοῦ.

Εἶπεν ἐληλυθέναι τὸ πεπρωμένον αὐτὸς ἑαυτοῦ
τὴν γένεσιν διαθεὶς, Αὖλος ὁ ἀστρολόγος,
καὶ ζήσειν ὥρας ἔτι τέσσαρας. ὡς δὲ παρῆλθεν
ἡ πέμπτη, καὶ ζῆν εἰδότα μηδὲν ἔδει,
αἰσχυνθεὶς, Πετόσιριν ἀπήγξατο. καὶ μετέωρος
θνήσκει μὲν, θνήσκει δ' οὐδὲν ἐπιστάμενος.

Τοῦ αὐτοῦ.

Πρὸς τὸν μάντιν Ὄλυμπον Ὀνήσιμος ἦλθεν ὁ πύκτης,
εἰ μέλλει γηρᾶν βουλόμενος προμαθεῖν.
κἀκεῖνος ναίφησιν, ἐὰν ἤδη καταλύσῃς.
ἂν δ' ἔτι πυκτεύῃς, ὡροθετεῖ σε Κρόνος.

Νικάρχου.

Εἰς ῥόδον εἰ πλεύσοι τίς, Ὀλυμπικὸν ἦλθεν ἐρωτῶν
τὸν μάντιν, καὶ πῶς πλεύσεται ἀσφαλέως.
χὠ μάντις πρῶτον μὲν ἔφη καινὴν ἔχε τὴν ναῦν,
καὶ μὴ χειμῶνος, τοῦ θέρους ἀνάγου.
τοῦτο γὰρ ἂν ποιῇς, ἥξεις κἀκεῖσε, καὶ ὧδε,
ἂν μὴ πειρατὴς ἐν πελάγει σε λάβῃ.

Λουκιλλίου.

Πρὸς τὸν μάντιν Ὄλυμπον, Ὀνήσιμος ἦλθ' ὁ παλαιστὴς,
καὶ πένταθλος Ὕλας, καὶ σταδιεὺς Μενεκλῆς,
τίς μέλλει νικᾶν αὐτῶν τὸν ἀγῶνα θέλοντες
γνῶναι. κἀκεῖνος τοῖς ἱεροῖς ἐνιδὼν,

ARAGONVM · ALEXANDER PP VI VALEN ... SANCTI FERDINANDI

πάντες ἔφη νικᾶτε, μόνον μή τις σε παρέλθῃ,
καὶ σὲ καταστρέψῃ, καὶ σὲ παρατροχάσῃ.

Παλλαδᾶ.

Εἰπὲ πόθεν σὺ μετρεῖς κόσμον, καὶ πείρατα γαίης,
ἐξ ὀλίγης γαίης σῶμα φέρων ὀλίγον;
σαυτὸν ἀρίθμησον πρότερον, καὶ γνῶθι σεαυτόν,
καὶ τότ' ἀριθμήσεις γαῖαν ἀπειρεσίην.
εἰ δ' ὀλίγον πηλὸν τοῦ σώματος οὐ καταριθμεῖς,
πῶς δύνασαι γνῶναι τῶν ἀμέτρων τὰ μέτρα;

Ἀδήλου.

Ἀντικράτης ᾔδει τὰ σφαιρικὰ μᾶλλον Ἀράτου
πολλῷ, τὴν δ' ἰδίην οὐκ ἐνόει γένεσιν.
διστάζειν γὰρ ἔφη πότερ' ἐν κριῷ γεγένηται,
ἢ διδύμοις, ἢ τοῖς ἰχθύσιν ἀμφοτέροις.
εὕρηται δὲ σαφῶς ἐν τοῖς τρισί. καὶ γὰρ ὀχευτής,
καὶ μωρός, μαλακός τ' ἐστί, καὶ ὀψοφάγος.

Ἀδήλου.

Καλλιγένης ἀγροῖκος, ὅτε σπόρον ἔμβαλε γαίῃ,
οἶκον Ἀριστοφάνους ἦλθεν ἐς ἀστρολόγου.
ἤτει δ' ἐξερεείνων, εἰ θέρος αἴσιον αὐτῷ
ἔσται, καὶ σταχύων ἄφθονος εὐπορίη.
ὃς δὲ λαβὼν ψηφῖδας, ὑπὲρ πίνακός τε πυκάζων,
δάκτυλά τε γνάμπτων φθέγξατο Καλλιγένει,
εἴπερ ἐπομβρηθῇ τὸ ἀρούριον ὅσσον ἀπόχρη,
μὴ δέ τιν' ὑλαίην τέξεται ἀνθοσύνην,
μὴ δὲ πάγος ῥήξῃ τὴν αὔλακα, μὴ δὲ χάλαζα
ἄκρον ἀποθλίψῃ, δράγματος ὀρνυμένου,
μὴ δὲ νεβροὶ κείρωσι τὰ λήια, μὴ δέ τιν' ἄλλην
ἠέρος, ἢ γαίης ὄψεται ἀμπλακίην,

ἐσθλόν σοι τὸ θέρος μαντεύομαι. εὖ δ᾽ ἀποκόψεις
σοῦ στάχυας, μόνας δείδιθι τὰς ἀκρίδας.

## ΕΙΣ ΒΡΑΧΕΙΣ. 7

Τίμωνος.

Τίς δ᾽ οὗτος κτίλος ὧδε πωλεῖται στίχας ἀνδρῶν;
μωλύτης, ἐπέων φίλος ἄστιος, ὄλμος ἄτολμος.

Ἰουλιανοῦ ἀντικένσωρος.

Ἀσφαλέως οἴκησον ἐν ἄστει, μή σε κολάψῃ
αἵματι πυγμαίων ἡδομένη γέρανος.

Λουκιλλίου.

Ἀγρὸν Μηνοφάνης ὠνήσατο. καὶ διὰ λιμὸν
ἐκ δρυὸς ἀλλοτρίας αὐτὸν ἀπηγχόνισεν.
γῆν δ᾽ αὐτῷ τεθνεῶτι βαλεῖν οὐκ ἔχον ἄνωθεν,
ἀλλ᾽ ἐτάφη μισθοῦ πρός τινα τῶν ὁμόρων.
εἰ δ᾽ ἔγνω τὸν ἀγρὸν τὸν Μηνοφάνους Ἐπίκουρος,
πάντα γέμειν ἀγρῶν εἶπεν ἂν, οὐκ ἀτόμων.

Ἀδήλου.

Ὁ βραχὺς Ἑρμογένης, ὅταν ἐκβάλῃ εἰς τὸ χαμαίζε,
ἕλκει πρὸς τὰ κάτω τῶν δρυοδρεπάνων.

## ΕΙΣ ΒΑΛΑΝΕΙΟΝ ΨΥΧΡΟΝ. 8

Νικάρχου.

Λούσασθαι πεπόρευται Ὀνήσιμος εἰς βαλανεῖον.
δωδεκάτῃ δύστρου μηνὸς, ἐπ᾽ Ἀντιφίλου,
παῖδα λιπὼν οἴκοις ὡδὶ τίτθιον. ὃν δύο τέκνων
ἄλλων εὑρήσει λουσάμενος πατέρα.
ἥξειν δ᾽ εἰς ὥρας ἡμῖν γράφει. οἱ βαλανεῖς γὰρ,
εἰς τότε τάσσονται τὴν πυρίαν καθελεῖν.

ΕΙΣ ΓΡΑΙΑΣ. Μυρίνου. 9

ν. τετρακόσι' ἐτῶν. ἔχεις δὲ σὺ τοῦ ἐνιαυτοῦ
δὶς τόσσους, τρυφερὴ πεντακόρωνε ἑκάβη.
σισύφου ὦ μάμμη, καὶ Δευκαλίωνος ἀδελφή.
βάπτε δὲ τὰς λευκάς, καὶ λέγε πᾶσι τατᾶ.

Λουκιλλίου.

Τὰς τρίχας ὦ νίκυλλα, τινὲς βάπτειν σε λέγουσιν,
ἃς σὺ μελαινοτάτας ἐξ ἀγορᾶς ἐπρίω.

Τοῦ αὐτοῦ.

Τὰς πολιὰς βάψασα Θεμιστονόη τρικόρωνος,
γίγνεται ἐξαπίνης οὐ νέα, ἀλλὰ ῥέα.

Λεωνίδου.

Γρηῦν ἔγημε Φιλῖνος ὅτ' ἦν νέος, ἡνίκα πρέσβυς,
δωδεκέτιν. παρ' ᾗ δ' ὥριος οὐδέποτε.
καὶ γὰρ ἄπαις διέμεινε τότε ἀπείρων ὢν ἄναρπα.
νῦν δ' ἑτέροις γήμας, ἀμφοτέρων στέρεται.

Νικάρχου.

Η πολιὴ κροτάφοισι κοτυτταρὶς ἡ πολύμυθος
γραῖα, δι' ἣν Νέστωρ οὐκ ἔτι πρεσβύτατος,
ἡ φάος ἀθρήσασ' ἐλάφου πλέον, ἡ χερὶ λαιῇ
γῆρας ἀριθμεῖσθαι δεύτερον ἀρξαμένη,
ζώει, καὶ λεύσσουσα, καὶ ἀρτίπος, οἷά τε νύμφη,
ὥστε με διστάζειν μή τι πέπονθ' ἀΐδης.

Τοῦ αὐτοῦ.

Τὴν δύσκωφον γραῖαν ὀνήσιμε, πρὸς Διὸς ἔξω
ἔκβαλε. πολλὰ λίην πράγματά μοι παρέχει.
ἢν αὐτῇ τυρὸς ἁπαλὸς εἴπωμεν ἐνέγκαι,
οὐ τυρὸς, πυρὸς δ' ἔρχετ' ἔχουσα νέους.
πρῴην τὴν κεφαλὴν ἐπόνουν, καὶ πήγανον αὐτὴν
ᾔτουν. ἡ δ' ἔφερεν τήγανον ὀστράκινον.

ἂν ὄπτὸν αἰτήσω, δοκὸν εἰσφέρει. ἂν λαχανόν μοι
εἴπω δὸς πίνων, εὐθὺ φέρει λαπανον.
ὄξος ἂν αἰτήσω, τόξον φέρει. ἂν δέ γε τόξον,
ὄξος. ὅλως δ᾽ ὃ λέγω, οὔποτ᾽ ἐπαισθάνεται.
αἰσχρὸν τῆς γραός με χάριν κήρυκα γενέσθαι,
καὶ μελετᾶν ἔξω νυκτὸς ἐγειρόμενον.

Λουκιλλίου.

Λούεσθαί σε λέγουσι πολὺν χρόνον Ἡλιοδώρα,
γραῖαν ἐτῶν ἑκατὸν μὴ καταλυομένην.
πλὴν ἔγνωκα τίνος ποιεῖς χάριν. ὡς ὁ παλαιὸς
ἐλπίζεις Πελίας ἑψομένη νεάσαι.

Μακεδονίου.

Τῷ ψιμύθῳ μὲν ἀεὶ λιποσαρκέα τήνδε παρειὴν
Λαοδίκη, λαοῖς ἔνδικα τινυμένη.
μήποτε δ᾽ εὐρύνῃς σέο χείλεα. τίς γὰρ ὀδόντων
ὄρχατον ἐμπήξει φαρμακόεντι δόλῳ;
τὴν χάριν ἐξερρεύσας, ὅσην ἔχες ἢ ἀπὸ γαίης.
ἀγλαΐη μελέων ἕλκεται ἀγναοῦ.
ὡς δὲ ῥόδον θαλέθεσκες ἐν εἴαρι. νῦν δ᾽ ἐμαράνθης
γήραος αὐχμηρῷ καρφομένη θέρει.

Λουκιλλίου.

Τὴν κεφαλὴν βάπτεις, τὸ δὲ γῆρας οὔποτε βάψεις,
οὐδὲ παρειάων ῥυτίδας ἐκτανύσεις.
μὴ τοίνυν τὸ πρόσωπον ἅπαν ψιμύθῳ καταπλάττε,
ὡς τὸ προσωπεῖον, κοὐχὶ πρόσωπον ἔχειν.
οὐδὲν γὰρ πλέον ἐστί. τί μαίνεαι; οὔποτε φῦκος,
καὶ ψίμυθος τεύξει τὴν Ἑκάβην Ἑλένην.

Γαιτουλίου.

Τετράκις ἀμφορέως ποτὶ χείλεσι χείλεα θεῖσα
...ηλωΐς, πάσας ἐξεφόρησε τρύγας.

θυγατέρα Διόνυσε, σὲ δ' ὕδασιν οὐκ ἐμίηνεν,
ἀλλ' οἷος πρώτης ἦλθον ἀπ' οἰνοπέδης,
τοῖόν σε προὔπινεν ἀφειδὲς ἐν ἄγγος ἔχουσα,
εἰς ὅτε καὶ νεκύων ἦλθ' ἐπὶ συμμορίην.

Ἄδηλα.

Τὴν γραῦν ἐκκομίσας φρονίμως, πάνυ Μόσχος ἔγημε
παρθένον. ἡ φορνὴ δ' ἔνδον ἔμεινεν ὅλη.
ἄξιον αἰνῆσαι Μόσχου φρένας, ὃς μόνος οἶδε
καὶ τίνα δεῖ κινεῖν καὶ τίνα κληρονομεῖν.

Ἄλλο.

Ἤμασε Νικονόη. κἀγὼ λέγω. ἤμασε δ' αὐτή,
ἡνίκα Δευκαλίων ἄπλετον εἶδεν ὕδωρ.
ταῦτα μὲν οὖν ἡμεῖς οὐκ οἴδαμεν, ἀλλ' ὅτι ταύτην
οὐκ ἄνδρα ζητεῖν νῦν ἔδει, ἀλλὰ τάφον.

Ἄλλο.

Ἄλλῳ δὴ νῦν βαλάνιζε Μενέθιον. οὐ γὰρ ἔγωγε
ἐκ καρποῦ μήλων προσδέχομαι ῥυτίδα,
ἀλλ' αἰεὶ πεπόθηκα συνακμάζουσαν ὀπώρην.
ὥστε τί πειράζεις λευκὸν ἰδεῖν κόρακα;

Ἄλλο.

Γινώσκειν σε θέλω Πλακιανὲ σαφῶς, ὅτι πᾶσα
ἔγχαλκος γραῖα, πλουσία ἐστὶ σορός.

Νικίου.

Τὴν κεφαλὴν βάπτων τις, ἀπώλεσε τὰς τρίχας αὐτάς.
καὶ δασὺς ὢν λίαν, ὠὸν ἅπας γέγονεν.
τοῦτο βαφεὺς ἐβόησε, τὸ μηκέτι κουρέα τέμνειν,
μήτε κόμην λευκήν, μήτε μελαινομένην.

ΕΙΣ ΓΡΑΜΜΑΤΙΚΟΥΣ. Λουκιλλίου. 10

Ἂν τοῦ γραμματικοῦ μνησθῶ μόνον Ἡλιοδώρου,
εὐθὺ σολοικίζειν τὸ στόμα μου δέδεται.

Τοῦ αὐτοῦ εἰς γραμματικὸν κορασφόρον.

Οὐδεὶς γραμματικῶν δύναταί ποτε ἄρτιος εἶναι,
ὀργὴν, καὶ μῆνιν, καὶ χόλον εὐθὺς ἔχων.

Φιλίππου.

Γραμματικοὶ, μώμου στυγίου τέκνα, σῆτες ἀπάντων,
τελχῖνες βίβλων, Ζηνοδότου σκύλακες,
καλλιμάχου στρατιῶται, ὃν ὡς ὅπλον ἐκτανύσαντες,
οὐδ᾽ αὐτοῦ κείνου γλῶσσαν ἀποστρέφετε,
συνδέσμων λυγρῶν θηρήτορες, οἷς τὸ μὶν, ἢ σφὶν
εὔαδε, καὶ ζητεῖν εἰ κύνας εἶχε Κύκλωψ,
τρίβοισθ᾽ εἰς αἰῶνα, κατατρίζοντες ἀλιτροὶ,
ἄλλων. ἐς δ᾽ ἡμᾶς ἰὸν ἀποσβέσατε.

Ἀντιφάνους.

Γραμματικῶν περίεργα γένη, ῥιζώρυχα μούσης
ἀλλοτρίης, ἀτυχεῖς σῆτες ἀκανθοβάται,
τῶν μεγάλων κηλῖδες. ἐπ᾽ ἠρίννῃ δὲ κομῶντες
πικροὶ, καὶ ξηροὶ, Καλλιμάχου πρόκυνες,
ποιητῶν λῶβαι, παισὶ σκότος ἀρχομένοισι,
ἔρροιτ᾽ εὐφώνων λαθροδάκναι κόρεις.

Παλλαδᾶ.

Οὐ δύναμαι γαμετῆς, καὶ γραμματικῆς ἀνέχεσθαι,
γραμματικῆς ἀπόρου, καὶ γαμετῆς μαχίμου.
ἀμφοτέρων τὰ πάθη, θάνατος, καὶ μοῖρα τέτυκται.
τὴν οὖν γραμματικὴν, καὶ μόλις ἐξέφυγον.
οὐ δύναμαι δ᾽ ἀλόχου τῆς ἀνδρομάχης ἀναχωρεῖν.
εἴργει χάρτης γὰρ, καὶ νόμος αὐσόνιος.

Ἀπολιναρίου.

Γραμματικός ποτ᾽ ὄνῳ ἐποχούμενος, ἐξεκυλίσθη,
καὶ τῆς γραμματικῆς ὡς λόγος ἐξέπεσεν.

ALEXANDER PP VI VALENTINUS FERDINANDUS

εἶθ' ἑξῆς ἐβίου κοινὸν βίον ὡς ἰδιώτης,
ὧν ἐδίδασκεν ἀεὶ μηδὲν ἐπιστάμενος.
ἀλλὰ Γλύκων ἔπαθε τοὐναντίον. ὢν γὰρ ἄπειρος
καὶ κοινῆς γλώττης, οὐχ ὅτι γραμματικῆς,
νῦν λιβυκοὺς κάνθωνας ὀχούμενος, εἶτ' ἀποπίπτων
πολλάκις, ἐξαίφνης γραμματικὸς γέγονεν.

Λουκιλλίου.

Ἔξω παιδεύεις Πάριδος κακὰ, καὶ Μενελάου,
ἔνδον ἔχων πολλοὺς σῆς Ἑλένης Πάριδας.

Λουκιανοῦ.

Ἵλαθι γραμματικὴ φυσίζωε, ἵλαθι μοῦσα,
φάρμακον εὑρομένη, μῆνιν ἄειδε θεά.
νηὸν ἐχρῆν καὶ σοὶ περικαλλέα δωμήσασθαι,
καὶ βωμὸν θυέων μήποτε δευόμενον.
καὶ γὰρ σοῦ μεσταὶ μὲν ὁδοί, μεστὴ δὲ θάλασσα,
καὶ λιμένες. πάντων λέκτρια γραμματική.

Ἀδήλου.

Τούτοις τοῖς περὶ δεῖπνον ἀοιδομάχοις λογολέσχαις,
ταῖς ἀπ' ἀριστάρχου γραμματολικριφίσιν,
οἷς οὐ σκῶμμα λέγειν, οὐ πεῖν φίλον, ἀλλ' ἀνάκεινται,
νηπυτιδευόμενοι νέστορι, καὶ πριάμῳ,
μή με βάλῃς κατὰ λέξιν ἕλωρ, καὶ κύρμα γενέσθαι.
σήμερον οὐ δειπνῶ, μῆνιν ἄειδε θεά.

Ἀδήλου.

Γραμματικὸς Ζήνων, ὃς ἔχει πώγωνα μέχρι [illegible],
τὸν δ' υἱὸν τούτῳ φησὶ συνεστακέναι.
τὰς νύκτας δ' αὖ τῇ μελέτῃ οὐ παύεται οὕτως,
πτώσεις, συνδέσμους, σχήματα, συζυγίας.

Ἀδεσπότου.

Χαίροιθ' οἱ περὶ κόσμον ἀεὶ πεπλανηκότες ὄμμα,
οἵ τ' ἀπ' ἀριστάρχου σῆτες ἀκανθολόγοι.

ποῖ γὰρ ἐμοὶ ζητεῖν τίνας ἔδραμεν ἥλιος οἴμους,
καὶ τίνος ἦν Πρωτεὺς, καὶ τίς ὁ Πυγμαλίων;
γνώσῃ οἱ μ' ὅσα λυκὸν ἔχει στίχον. ἡ δὲ μάλαινα
ἱστορίη, τήκοι τοὺς παρὰ Καλλιμάχους.

Σιδήμου Κινέγειρε καὶ ἐν ζωοῖς, καὶ ἀπελθὼν,
ὡς ἀεὶ κόπτῃ ῥήμασι, καὶ κοπίσιν.
πρόσθε μὲν ἐν πολέμοισι τεὴ πέσε μαρναμένη χείρ.
νῦν δέ σ' ὁ γραμματικὸς καὶ ποδὸς ἐξέρησεν.

Ἦν ἄρα καὶ κάνθωσι τύχη χαλεπή τε, καὶ ἐσθλὴ,
καὶ Κρόνος ὡρονομεῖ τετραπόδων γενέσιν
ἐξότε γὰρ καὶ τοῦτον ὄνον χαλεπὸς χρόνος ἔσχεν,
ἐξ ἀλαβαρχείης, γραμματικοῦ γέγονεν.
τλῆθι φέρειν λοιπὸν κανθήλια. γραμματικῶς γὰρ
οὐδὲ τέλος κεῖθη, ῥεῖ δὲ μόνον λέγεται.

## ΕΙΣ ΓΥΝΑΙΚΑΣ. ΙΙ

Παλλαδᾶ.

Πᾶσα γυνὴ χόλος ἐστίν. ἔχει δ' ἀγαθὰς δύο ὥρας,
τὴν μίαν ἐν θαλάμῳ, τὴν μίαν ἐν θανάτῳ.

## ΕΙΣ ΔΕΙΛΟΥΣ. 12

Λουκιλλίου.

Ἄνθρακα, καὶ δάφνην παραβύεται ὁ στρατιώτης
Αὖλος, ἀποσφίγξας μάλινα λωμάτια.
φρίσσει καὶ τὸ μάτην ἴδιον ξίφος. ἢν δέ ποτ' εἴπῃς
ἔρχοντ', ἐξ ἀπίνης ὕπτιος ἐκτέταται.
οὐδενὶ δ' οὐ Πολέμωνι προσέρχεται, οὐ Στρατοκλείδῃ,
ἀλλὰ φίλοις χρῆται πάντοτε Λυσιμάχῳ.

Τοῦ αὐτοῦ.

Γραπτὴν ἐν τοίχῳ Καλπούρνιος ὁ στρατιώτης,
ὡς ἔθος ἐστὶν ἰδὼν τὴν ἐπὶ ναυσὶ μάχην
ἄσφυκτος, καὶ χλωρὸς ὁ θούριος ἐξετανύσθη,
ζωγρεῖται κράξας τρωσὶν ἀρηϊφίλοις.
καὶ μὴ τέτρωται κατεμάνθανε, καὶ μόλις ἔγνω
ζῆν, τότε τοῖς τοίχοις ὡμολόγησε λύτρα.

## ΕΙΣ ΔΥΣΕΙΔΕΙΣ. ιζ

Τοῦ αὐτοῦ.

Ῥύγχος ἔχων τοιοῦτον Ὀλυμπικὲ, μήτ' ἐπὶ κρήνην
ἔλθῃς, μήτ' ἐν ὄρει πρός τι διαυγὲς ὕδωρ.
καὶ σὺ γὰρ ὡς Νάρκισσος ἰδὼν τὸ πρόσωπον ἐναργὲς
τεθνήξῃ, μισῶν σαυτὸν ἕως θανάτου.

Τοῦ αὐτοῦ.

Ῥύγχος ἔχουσα Βιτὼ τρεπιθήκινον, οἷον ἰδοῦσαν
τὴν ἑκάτην αὐτὴν οἴομ' ἀπαγχονίσαι,
εἰμὶ λέγει σώφρων Λουκίλλιε, καὶ μονοκοιτῶ.
αἰδεῖται γὰρ ἴσως παρθένος εἰμὶ λέγειν.
ὃς δὲ λέγει μισεῖν με, κακὸν τοιοῦτο γαμήσας,
τῆς αὐτῆς σχοίη τέκνα σαοφροσύνης.

Τοῦ αὐτοῦ.

Ἤθελε δριμὺς ἄγαν τὸ πρόσθ' Ἱερώνυμος εἶναι.
νῦν δὲ τὸ δρὶ μὲν ἔχει. λος δὲ τὸ μῦς γέγονεν.

Ἄδηλον.

Ἡ ῥὶς Κάστορος ἐστὶν ὅταν σκάπτῃ τι, δίκελλα.
σάλπιγξ δ' ἂν ῥέγχῃ. τῇ δὲ τρύγῃ, δρέπανον.
ἐν πλοίοις, ἄγκυρα. κατασπείρουσι δ' ἄροτρον.
ἄγκιστρον ναύταις, ὀψοφάγοις κρεάγρα.

ναυπηγοῖς, καὶ ξύλα. γεωργοῖς δὲ, πρασόκουρον,
τέκτοσιν, ἀξίνη. τοῖς δὲ πυλῶσι, κόραξ.
οὕτως εὐχρήστου σκεύους Κάστωρ τετύχηκε,
ῥῖνα φέρων πάσης ἄρμενον ἐργασίας.

Θεοδώρου.

Ἑρμοκράτης τῆς ῥινὸς, ἐπεὶ τὴν ῥῖνα λέγοντες
ἑρμοκράτους, μικροῖς μακρὰ χαριζόμεθα.

Λεωνίδου.

Ἰχθὺν ὁ γρυπὸς Σωσίπολις οὐκ ἀγοράζει,
προῖκα δ' ἔχει πολλὴν ἐξ ἁλὸς εὐβοσίην.
οὐ λίνον, οὐ κάλαμον προσάγων, τῇ ῥινὶ δὲ προσθεὶς
ἄγκιστρον, σύρει πάντα τὰ νηχόμενα.

Τοῦ αὐτοῦ.

Ζηνογένους οἶκος κατεκαίετο. πολλὰ δ' ἐμόχθει
ἐκ θυρίδος ζητῶν αὐτὸν ὑποσχαλάσαι.
ἠερία συμπήξας; οὐκ ἔφθανεν. ὀψὲ δ' εὐθήγιος,
τὴν ῥῖν' Ἀντιμάχου κλίμακα θεὶς, ἔφυγεν.

Ἀμμωνίδου.

Ἀντιπάτραν γυμνὴν εἴ τις παρθένοισιν ἔδειξεν,
ἔκτοθεν ἂν στηλῶν Ἡρακλέους ἔφυγον.

Λουκιλλίου.

Ψευδὲς ἔσοπτρον ἔχει Δημοσθενίς. εἰ γὰρ ἀληθὲς
ἔβλεπεν, οὐκ ἂν ὅλως ἤθελεν αὐτὸ βλέπειν.

Ἄδηλον.

Κόρνιδος οὐ χρήζει ὁ λογιστικὸς, οὐδὲ μέλεισσι.
καὶ γὰρ ἀβασκάντως ῥῖνα τρίπηχυν ἔχεις.

Ἀμμιανοῦ.

Οὐ δύναται τῇ χειρὶ Πρόκλος τὴν ῥῖν' ἀπομύσσειν,
τῆς ῥινὸς γὰρ ἔχει τὴν χέρα μικροτέρην.



ALEXANDER ... ARAGONVM ... FERDINANDI ...

οὐδὲ λέγει Ζεῦ σῶσον ἐὰν πτάρῃ. οὐ γὰρ ἀκούει
τῆς ῥινός. πολὺ γὰρ τῆς ἀκοῆς ἀπέχει.

Παλλαδᾶ.

Ὁ τὴν γυναῖκα τὴν ἄμορφον δυστυχῶν,
λύχνους ἀνάψας ἑσπέρας, σκότος βλέπει.

Τοῦ αὐτοῦ.

Ἠγόρασας πλοκάμους, φῦκος, μέλι, κηρὸν, ὀδόντας.
τῆς αὐτῆς δαπάνης ὄψιν ἂν ἠγόρασας.

Ἰουλιανοῦ, ἀντικήνσωρος.

Ὄψιν ἔχεις στρουθῷ πανομοίϊον. ἢ ῥά σε Κίρκη
εἰς τὴν σὴν μετέθηκε φύσιν, κυκεῶνα πιόντα.

Τοῦ αὐτοῦ.

Ἀμητὸς πολύς ἐστι τὴν κατὰ δασκιον ὄψιν.
τῷ σε χρὴ δρεπάνοισι, καὶ οὐ ψαλίδεσσι καρῆναι.

Μακεδονίου ὑπάτου.

Οὐ λαλέει τὸ κάτοπτρον, ἐγὼ δέ σε πάλιν ἐλέγξω,
τὴν νοθοκαλλοσύνην φύκει χριομένην.
τοῦτο καὶ ἡδυλύρης ποτὲ Πίνδαρος αὐτὸς ἐλέγχων,
εἶπεν ἄριστον ὕδωρ, φύκεος ἐχθρότατον.

Τραϊανοῦ βασιλέως.

Ἀντίον ἠελίου στήσας ῥῖνα, καὶ στόμα χάσκων,
δείξεις τὰς ὥρας πᾶσι παρερχομένοις.

Ἀδήλου.

Ῥῆτρα Μαύρου ἰδὼν ἐτεθήπεα ῥυγχελέφαντα,
χείλεσι τριπλαίοις φθόγγον ἱέντα φόνου.

Ἀδήλου.

Τὴν φωνὴν ἐνόπην σε λέγει ἐδίδαξεν Ὅμηρος.
τὴν γλῶσσαν δ' οὐκ οἶδε τίς σ' ἐδίδαξεν ἔχειν;

Ἄδηλον.

Πολλὰ μυριάκις ὤμοσ' ἐπιγράμματα μηκέτι ποιεῖν.
πολλῶν γὰρ μωρῶν ἔχθραν ἐπεσπασάμην.
ἀλλ' ὁπόταν κατίδω τοῦ παφλαγόνος τὸ πρόσωπον
Πανταγάθου, στέξαι τὴν νόσον οὐ δύναμαι.

Ἀδέσποτον.

Κήλην κηλήτου μὴ φαινομένου προτέθηκας
μή μοι τὴν κήλην, αὐτὸν ἰδεῖν ἐθέλω.

Ἄδηλον.

Ἑρμολύκου θυγάτηρ, μεγάλῳ παρέλεκτο πιθήκῳ.
ἡ δ' ἔτεκεν πολλοὺς ἑρμοπιθηκιάδας.
εἰ δ' ἐλεγὴν ὁ Ζεὺς, καὶ Κάστορα, καὶ Πολυδεύκην
ἐκ Λήδης ἔτεκεν, κύκνον ἀμειψάμενος,
ἑρμιόνῃ γε κόραξ παρελέξατο. ἡ δὲ τάλαινα,
φρικτῶν δαιμονίων ἑρμαγέλην ἔτεκεν.

Ἀδέσποτον.

Οὐδέποτ' εἰς πορθμεῖον ὁ κηλήτης ἐμβαίνει,
μέλλων εἰς τὸ πέραν ἀπιέναι Διοφῶν.
τῆς κήλης δ' ἐπάνωθε τὰ φορτία πάντα τεθεικὼς,
καὶ τὸν ὄνον, διαπλεῖ σινδὸν ἐπαράμενος.
ὥστε μάτην τρίτωνες ἐν ὕδασι δόξαν ἔχουσιν,
εἰ καὶ κηλήτης ταὐτὸ πιεῖν δύναται.

Ἄδηλον.

Ὁ γρυπὸς Νίκων ὀσφραίνεται οἴνου ἄριστα,
οὐ δύναται δ' εἰπεῖν οἷος ἂν ᾖ ταχέως.
ἐν τρισὶν ὥραις γὰρ θεριναῖς, μόλις αἰσθάνετ' αὐτός.

Τοῦ γρυποῦ ῥήτορος ὁρῶ τὴν ῥῖνα Μένιππε.
αὐτὸς δ' οὐ μακρὰν φαίνεται εἶναι ἔτι.

πλὴν ἥξει. μεῖνον μὲν ὅμως. εἰ γὰρ πολὺ, πρίν τε
τῆς ῥινὸς σταδίους οἴομαι οὐκ ἀπέχει.
ἀλλ' αὐτὴ μὲν ὁρᾷς προπορεύεται. ἢν δ' ἐπὶ βουνὸν
ὑψηλὸν στῶμεν, καὐτὸν ἐσοψόμεθα.

## ΕΙΣ ΔΥΣΩΔΕΙΣ. 14

Ἀντιπάτρου.

Οὐ προσέχω. καίτοι πιστοί τινος. ἀλλὰ μεταξὺ,
πρὸς Διὸς εἴ με φιλεῖς, παῦε φίλε, μή με φίλει.

Νικάρχου.

Εἴ με φιλεῖς, μισεῖς με. καὶ εἰ μισεῖς σὺ, φιλεῖς με.
εἰ δέ με μὴ μισεῖς, φίλτατε, μή με φίλει.

Λουκιανοῦ.

Δαίμονα πολλὰ λαλῶν ὀζόστομος ἐξορκιστὴς,
ἐξέβαλ', οὐχ ὅρκων, ἀλλὰ κόπρων δυνάμει.

Τοῦ αὐτοῦ.

Οὔτε χίμαιρα τοιοῦτον ἔπνει κακὸν ἢ καθ' ὅμηρον,
οὐκ ἀγέλη ταύρων ὡς ὁ λόγος πυρίπνους,
οὐ λῆμνος σύμπασ', οὐχ ἁρπυιῶν τὰ περισσὰ,
οὐδ' ὁ Φιλοκτήτου ποὺς ἀποσηπόμενος,
ὥστε σε παμψηφεὶ νικᾶν Τελέσιλλα χιμαίρας,
σηπεδόνας, ταύρους, ὄρνεα, λημνιάδας.

Ἀδήλου.

Οὐ μόνον αὐτὴ πνεῖ Δημοστρατὶς, ἀλλὰ δι' αὐτῆς
τὴν ὀσμησαμένους πνεῖν πεποίηκε τράγου.

Ἀδήλου.

Τὸ στόμα, χὼ πρωκτὸς ταὐτὸν Θεόδωρε σοῦ ὄζει,
ὥστε διαγνῶναι τοῖς φυσικοῖς καλὸν ἦν.
ἦ γράψαι σε ἔδει ποῖον στόμα, ποῖον ὁ πρωκτός.
νῦν δὲ λαλοῦντός σου, κἄμμιγα πορδομένου.

οὐ δύναμαι γνῶναι πότερον, ἔχαυνεν Θεόδωρος,
[illegible]. ἔχει γὰρ ἔχει πνεῦμα κάτω καὶ ἄνω.

Ἀδεσπότου.

Τίς σου Μεντορίδη περιφανῶς οὕτω μετέθηκεν
τὴν πυγήν, ὅπου τὸ στόμ' ἔκειτο πρὸ τοῦ;
[illegible] γάρ, κοὐκ ἀναπνεῖς. φθέγγῃ δ' ἐκ τῶν καταγείων.
θαῦμά μ' ἔχει, τὰ κάτω πῶς σου ἄνω γέγονεν.

## ΕΙΣ ΔΟΛΙΟΥΣ. ΙΣ

Λουκιλλίου.

Εἴ με φιλεῖς, ἔργῳ με φίλει, καὶ μή μ' ἀδίκει σύ,
ἀρχὴν τοῦ βλάπτειν τὴν φιλίην θέμενος.
πᾶσι γὰρ ἀνθρώποισιν ἐγὼ πολὺ κρέσσονα φημὶ
τὴν φανερὰν ἔχθραν τῆς δολερῆς φιλίης.
φασὶ δὲ καὶ νήεσσιν ἁλιπλανέεσσι χερείους
τὰς ὑφάλους πέτρας τῶν φανερῶν σπιλάδων.

Ἀπολιναρίου.

Ἂν μὲν ἀπόντα λέγῃς με κακῶς, οὐδὲν ἀδικεῖς με.
ἂν δὲ παρόντα καλῶς, ἴσθι κακῶς με λέγων.

Τοῦ αὐτοῦ.

Μέχρι τίνος Πολύκαρπε κενῆς πλάσσειτε τραπέζης
λήσεις, κερματίοις ψευδόμενος ἀλλοτρίοις;
οὐ γὰρ ἔτ' εἶν ἀγορῇσι βλέπω πολὺν, ἀλλ' ὑποκάμπτεις
ἤδη, καὶ ζητεῖς ποῦ σε φέρωσι πόδες.
πᾶσιν ἐπαγγέλλῃ, κόμισαι τὸ σὸν ἀργύριον, βροῦχε,
καὶ λάβε. κοὐδ' ὀμόσας, οὐκ ἔτι πίστιν ἔχεις.
Κυζικόθεν σε φέρων ἄνεμος Σαμόθρᾳξι πέλασσεν.
τοῦτό σε τοῦ λοιποῦ τέρμα μένει βιότου.

## ΕΙΣ ΔΟΥΛΟΥΣ. Ἀδήλου. 16

Τοῦ τὸ βουλεύειν εἶχον πάλαι. ἀλλὰ τὸ βῆτα
οὐκ ἐπιγιγνώσκω. δέλτα γὰρ ἤρχετο.

Ἀδήλου.

Βουλεύεις ἀγαθῖνε. τὸ βῆτα δὲ τοῦτ' ἐπρίω νῦν
εἰπὲ πόσης τιμῆς. δέλτα γὰρ ἦν πρότερον.

## ΕΙΣ ΔΩΡΑ. 17

Παλλαδᾶ, εἰς οἶνον φαυλότατον,
σταλέντα αὐτῷ.

Εἴ τιν' ἔχεις Διόνυσον ἐνὶ μεγάροισι τεοῖσι,
τὸν κισσὸν ἀφελὼν, θριδάκων φύλλοις στεφάνωσον.

Τοῦ αὐτοῦ, εἰς τινα πέμψαντα
αὐτῷ ἰσχάδας.

Βρώματά μοι χοίρων συνιζομένων προτέθηκας,
ξηρῶν, διψαλέων, κυπρόθεν ἐρχομένων.
ἀλλ' ἐμὲ συνωθέντα μαθὼν, καὶ σφάξον ἑτοίμως.
ἢ σβέσον ἐκ δίψης νάματι τῷ κυπρίῳ.

Τοῦ αὐτοῦ.

Ἀντίπασασον ἐμοί τις ὄνον μακρόθυμον ἔδωκεν,
τῶν βασταζομένων ἄρμενον ὁδοιπορίης,
φόρτον τῆς βραδυτῆτος, ὄνον, πόνον, ὄκνον, ἄνδρον,
τῶν ἀνακαμπτόντων ὕσταιον, πρότερον.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Τὴν πήραν, τὴν αὐτὸς ἀποσφίγξας ἀποπέμπεις,
εὗρεν ὁ παῖς, λύσας φῦσαν ὑπηνέμιον.

Τοῦ αὐτοῦ, εἰς τινα πέμψαντα
αὐτῷ, σιτεύσιμα.

Ἀσκὸν τῶν ἀνέμων ἔλαβεν ποτὲ δῶρον ὀδυσσεύς,
πόντον ἐπιπλώων. χρῆμα γὰρ ἦν τι μέγα.

ἀλλ' ἐμὸς αἴολος οὗτος, ἔχων ἀνέμων πλέον ἵππον,
ὄρνεον ἐκπέμπει τὴν ἀνέμων γεμίσαν.
πνεύματά μοι προφέροντα φίλος, καὶ πνεύματα πέμπεις.
οὐ δύναμαι δὲ φαγεῖν θλιβομένους ἀνέμους.

ΕΙΣ ΕΡΩΝΤΑ. Ἀργενταρίου. 18

Ἀντιγόνην ἔστεργε Φιλόστρατος. ἦν δὲ παλαιστῆς
ὁ τλήμων Ἴρου πεντεπενιχρότερος.
εὗρε δ' ὑπὸ κρυμοῦ γλυκὺ φάρμακον. αὐτίκα γὰρ καὶ
γούνατ' ἐκοιμήθη ξεῖνε μετ' Ἀντιγόνης.

ΕΙΣ ΖΩΓΡΑΦΟΥΣ. Λεωνίδου. 19

Εἰκόνα Μηνοδότου γράψας Διόδωρος, ἔθηκε.
πλὴν τοῦ Μηνοδότου πᾶσιν ὁμοιοτάτην.

Τοῦ αὐτοῦ.

Γράψας Δευκαλίωνα Μένεστρατε, καὶ φαέθοντα,
ζητεῖς τίς τούτων ἄξιός ἐστι τίνος.
τοῖς ἰδίοις αὐτοὺς τιμήσωμεν. ἄξιος ὄντως
ἐστὶ πυρὸς φαέθων, Δευκαλίων δ' ὕδατος.

Λουκιλλίου.

Εἴκοσι γεννήσας ὁ ζωγράφος Εὔτυχος υἱοὺς,
οὐδ' ἀπὸ τῶν τέκνων οὐδὲν ὅμοιον ἔχει.

Τοῦ αὐτοῦ.

Ζωγράφε, τὰς μορφὰς κλέπτεις μόνον. οὐ δύνασαι δὲ
φωνὴν συλῆσαι, χρώματι πειθομένην.

ΕΙΣ ΗΓΕΜΟΝΑΣ. 20

Παλλαδᾶ εἰς Δημόνικον ὕπαρχον.

Πολλοὶ πολλὰ λέγουσιν. ὅμως δ' οὐ πάντα δύνανται
ῥήμασιν ἐξειπεῖν ῥεύματα σῶν παθέων.

ἓν δ' ὕδατι σοι παράδοξον ἐθαυμάσαμεν, καὶ ἄπιστον,
δάκρυα πᾶς κλέπτων εἶχες ἑτοιμότατα.
χαλκίδος ἐκ γαίης ἀπεχάλκισε τὴν πόλιν ἡμῶν,
κλέπτων, καὶ κλαίων δάκρυσι κερδαλέοις.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ἐκ γῆς λωτοφάγων μέγας ὄρχαμος ἦλθε Λυκάων,
χαλκίδος ἐκ γαίης ἀντιοχευόμενος.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Θηλυφανὲς παράδοξον ἐθαυμάσαμεν πάθος ἄλλο,
ἔκλαιε κλέπτων, κλεπτομένους ἐλεῶν.
ὃς κλέπτων, ἠγνόει, καὶ ἀγνοῶν, ἀπεσύλα,
μηδὲν ἔχων καθαρόν, μὴ δὲ τὸ σῶμα ῥύπου.

Ἀδήλου.

Ἀνθρακίων δ' ἕνα μέτρα φέρων, ἔσο καὶ σὺ πολίτης.
ἢν δὲ καὶ ὗν ἀγάγῃς, αὐτὸς ὁ Τριπτόλεμος.
δεῖ δὲ καὶ ἡρακλείδῃ ὑφηγητῆρι δοθῆναι
ἢ καυλὸν κράμβης, ἢ φακόν, ἢ κοχλίας.
ταῦτ' ἔχε, καὶ λέγε σαυτὸν ἐρεχθέα, Κέκροπα, Κόδρον,
ὃν κ' ἐθέλῃς. οὐδεὶς οὐδὲν ἐπιστρέφεται.

ΕΙΣ ΘΥΓΑΤΕΡΑ. 21

Λουκιλλίου.

Οὐκ ἔστι θυγατρὸς μείζων βάρος. εἰ δὲ δοκεῖ σοι
Εὐκτήμων, εἶναι κοῦφον, ἄκουσον ἐμοῦ.
ἔστι σοὶ κήλη, κἀμοὶ θυγάτηρ. λάμβανε ταύτην,
καὶ δός μοι κήλας ἀντὶ μιᾶς ἑκατόν.

ΕΙΣ ΙΑΤΡΟΥΣ Τοῦ αὐτοῦ. 22.

Πρὶν σ' ἐναλείψασθαι Δημόστρατε, χαῖρ' ἱερὸν φῶς,
εἶπε τάλαν. οὕτως εὔκοπός ἐστι Δίων.

οὐ μόνον ἐξετύφλωσεν Ὀλυμπικὸν, ἀλλὰ δι' αὐτοῦ
εἰκόνος ἧς εἶχεν, τὰ βλέφαρ' ἐξέβαλεν.

Τοῦ αὐτοῦ.

Τοῦ λιθίνου Διὸς ἐχθὲς ὁ κλινικὸς ἥψατο Μάρκος.
καὶ λίθος ὤν, καὶ Ζεὺς, σήμερον ἐκφέρεται.

Τοῦ αὐτοῦ.

Ἑρμογένη τὸν ἰατρὸν ὁ ἀστρολόγος Διόφαντος
εἶπε μόνους ζωῆς ἐννέα μῆνας ἔχειν.
κἀκεῖνος γελάσας, τί μὲν ὁ Κρόνος ἐννέα μηνῶν
φησὶ λέγει, σὺ νόει. τὰμὰ δὲ σύντομά σοι.
εἶπε. καὶ ἐκτείνας, μόνον ἥψατο. καὶ Διόφαντος
ἄλλον ἀπελπίζων, αὐτὸς ἀπεσκάρισεν.

Τοῦ αὐτοῦ.

Ἢν τιν' ἔχεις ἐχθρὸν Διονύσιε, μὴ καταράσῃ
τὴν Ἶσιν τούτῳ, μὴ δὲ τὸν Ἁρποκράτην,
μηδ' εἴ τις τυφλοὺς ποιεῖ θεὸν, ἀλλὰ Σίμωνα.
καὶ γνώσῃ τί θεὸς, καὶ τί Σίμων δύναται.

Τοῦ αὐτοῦ.

Εἰς ἀΐδος κατέπεμψε πάλαι ποτὲ δέσποτα Καῖσαρ,
ὡς λόγος Εὐρυσθεὺς τὸν μέγαν Ἡρακλέα.
νῦν δ' ἐμὲ Μηνοφάνης ὁ κλινικός. ὥστε λεγέσθω
κλινικὸς Εὐρυσθεὺς, μηκέτι Μηνοφάνης.

Στράτωνος.

Ἰητρὸς Καπίτων Χρύσην ἐνέχρισεν ὁρῶντα
ὀκτὼ μὲν μακρὸν πύργον ἀπὸ σταδίων,
ἄνδρα δ' ἀπὸ σταδίου. δὶς δώδεκα δ' ὄρτυγα πηχῶν.
φθεῖρα δ' ἀπὸ σπιθαμῶν καὶ δύο δερκόμενον.
νῦν δ' ἀπὸ μὲν σταδίου, πόλιν οὐ βλέπει. ἐκ δὲ διπλέθρου
καιόμενον κατιδεῖν τὸν φάρον οὐ δύναται.

ἵππον ἀπὸ σπιθαμῆς δὲ μόλις βλέπει, ἀντὶ δὲ τοῦ πρὶν
ὄρτυγος, οὐδὲ μέγαν στρουθὸν ἰδεῖν δύναται.
ἂν δὲ προσεγχρίσας αὐτὸν φθάσῃ, οὐδ' ἐλέφαντα
οὐκ ἔτι μήποτ' ἴδῃ πλησίον ἑστῶτα.

Νικάρχου.

Οὔτ' ἔκλυσέν με Φείδων, οὔθ' ἥψατο. ἀλλὰ πυρέξας,
ἐμνήσθην αὐτοῦ τοὔνομα, κἀπέθανον.

Τοῦ αὐτοῦ.

Ἰητρὸς τὴν γραῦν εἴτ' ἔκλυσεν, εἴτ' ἀπέπνιξεν,
οὐδεὶς γιγνώσκει. δαιμόνιον τὸ τάχος.
ὁ ψόφος ἦν κλυστῆρος ἐν οὔασι, καὶ στεφανοῦτο
ἡ σορός. οἱ δ' ἄλλοι τὸν τάφον ηὐτρέπισαν.

Τοῦ αὐτοῦ.

Ὀρθῶσαι τὸν κυρτὸν ὑποσχόμενος Διόδωρον
Σωκλῆς, τετραπέδους τρεῖς ἐπέθηκε λίθους
τοῦ κυρτοῦ στιβαροὺς ἐπὶ τὴν ῥάχιν. ἀλλὰ πιεσθείς,
τέθνηκεν. γέγονεν δ' ὀρθότερος κανόνος.

Τοῦ αὐτοῦ.

Χειρουργῶν ἔσφαξεν Ἀκεστορίδην Ἀγέλαος.
ζῶν γάρ, χωλεύειν φησὶν ἔμελλε τάλας.

Τοῦ αὐτοῦ.

Πρίν τ' ἰητρὸς Ἄλεξις ἄμ' ἔκλυσε, πρίν τ' ἐκάθηρε.
πρίν τ' ἴδεν ἀρρώστους, πρίν τ' ἐνέχρισε πάλιν.
καὶ πᾶσιν μία νὺξ ἓν φάρμακον, εἷς σοροπηγός,
εἷς τάφος, εἷς ἀΐδης, εἷς κοπετὸς γέγονεν.

Ἡδύλου.

Ἆγις Ἀρισταγόρην οὔτ' ἔκλυσεν, οὔτ' ἔθιγ' αὐτοῦ.
ἀλλ' ὅσον εἰσῆλθεν, κᾤχετ' Ἀρισταγόρης.
ποῦ τοίην ἀκόνιτον ἔχει φύσιν; ὦ σοροπηγοί,
Ἆγιν καὶ μίτραις βάλλετε καὶ στεφάνοις.

Νικάρχου.

Ξεῖνε, τί μου πεύθῃ; τίνες ἐν χθονὶ τοῖς δ' ὑπὸ τύμβοις,
οὓς γλυκερὸν τοῦ φέγγους Ζώπυρος ἐστέρησε;
Δᾶμις, Ἀριστοτέλης, Δημήτριος, Ἀρκεσίλαος,
Σώστρατος, οἵ τ' ὀπίσω μέχρι Παραιτονίου.
κηρύκειον γὰρ ἔχων ξύλινον, καὶ πλαστὰ πέδιλα,
ὡς Ἑρμῆς κατάγει τοὺς θεραπευομένους.

Ἀδέσποτον.

Ἰητρὸς Κρατέας, καὶ Δάμων ἐνταφιαστὴς,
κοινὴν ἀλλήλοις θέντο συνωμοσίην.
καί ῥ' ὁ μὲν, οὓς κλέπτεσκεν ἀπ' ἐνταφίων τελαμῶνας,
εἰς ἐπιδεσμεύειν πέμπε φίλῳ Κρατέᾳ.
τὸν δ' ἀπαμειβόμενος Κρατέας εἰς ἐνταφιάζειν,
πέμπεν ὅλους αὐτῷ τοὺς θεραπευομένους.

Ἀδήλου.

Οὐ μύλη, τριόδοντι δ' ἐνήλατό με Χαρῖνος,
σπόγγον ἔχων καὶ ἐὸν τῶν γυναικῶν πινάκων.
τὴν μήλην δ' ἕλκων, ἐξέσπασε τὸ βλέφαρόν μου
ῥιζόθεν, ἡ μήλη δ' ἔνδον ἔμεινεν ὅλη.
ἂν δὲ δὶς ἐγχρίσῃ με, πονῶν πάλιν οὐκ ἐνοχλήσω
ὀφθαλμοὺς αὐτῷ. πῶς γὰρ, ὁ μηκέτ' ἔχων;

Λουκιλλίου.

Ἑρμογένην τὸν ἰατρὸν ἰδὼν Διόφαντος ἐν ὕπνοις,
οὐκ ἔτ' ἀνηγέρθη, καὶ περίαμμα φέρων.

Παλλαδᾶ.

Βέλτερον ἡγεμόνος ληστοκτόνου εἰς κρίσιν ἐλθεῖν,
ἢ τοῦ χειρουργοῦ Γενναδίου παλάμας.
ὃς μὲν γὰρ φονέας ὁσίως στυγέων, κατατέμνει.
ὃς δὲ λαβὼν μισθοὺς, εἰς ἀΐδην κατάγει.

Καλλικτήρου.

φαρμακίῃσι ῥοδίων λέπρεα, καὶ χοιράδας αἴρει.
τἄλλα δὲ πάντ᾽ αἴρει καὶ δίχα φαρμακιῶν.

Αγαθίου.

Κεῖτο μὲν ἀλκιμένης κεκακωμένος ἐν πυρετοῖσι,
καί ποτε λευκανίην βραγχὰ λαρυγγιόων.
νυσσόμενός τε τὸ πλευρὸν, ἅτε ξιφέεσσιν ἀμυχθὲν,
καὶ θαμὰ δυσκελάδοις ἄσθμασι πνευστιόων.
ἦλθε δὲ καλλίγνωτος ὁ κῷος, ὁ πλατυλέσχης,
τῆς παιωνιάδος πληθόμενος σοφίης,
πᾶσαν ἔχων πρόγνωσιν ἐν ἄλγεσιν, ὅτι ποτ᾽ αὐτὸν
ἄλλο προαγγέλλων, ἢ τὸ γενησόμενον.
ἀλκιμένους δ᾽ ἐσιδὼν ἀνάκλισιν, ἔκ τε προσώπου
φράζετο, καὶ παλάμης ψαῦεν ἐπισταμένως.
καὶ τὸ ποτὲ κρισίμων φαέων ἐλογίζετο γράμμα,
πάντ᾽ ἀναπεμπάζων οὐχ ἑκὰς ἱπποκράτους.
καὶ τότε τὴν πρόγνωσιν ἐς ἀλκιμένην ἀνεφώνει,
σεμνοπροσωπήσας, καὶ βαρυνάμενος.
εἴγε φάρυγξ βομβεῦσα, καὶ ἄγρια τύμματα πλευροῦ
καὶ πυρετῷ λήξει πνεῦμα δασυνόμενον,
I. οὐκ ἔτι τεθνήξῃ πλευρίτιδι. τοῦτο γὰρ ἡμῖν
σύμβολον ἐσσομένης ἐστὶν ἀπημοσύνης.
θάρσει. τὸν νομικὸν δὲ κάλει. καὶ χρήματα σαυτοῦ
εὖ διαθεὶς, βιότου λῆγε μεριμνοτόκου.
καί με τὸν ἰητρὸν προρρήσιος εἵνεκεν ἐσθλῆς,
ἐν τριτάτῃ μοίρῃ κάλλιπε κληρονόμον.

Τοῦ αὐτοῦ.

Ιητήρ τίς ἐμοὶ τὸν ἑὸν φίλον υἱὸν ἔπεμψεν,
ὥστε μαθεῖν παρ᾽ ἐμοὶ ταῦτα τὰ γραμματικά.

ὡς δὲ τὸ μῆνιν ἄειδε, καὶ ἄλγεα μυρί᾽ ἔθηκεν
ἔγνω, καὶ τὸ τρίτον τοῖς δ᾽ ἀκόλουθον ἔπος,
πολλὰς δ᾽ ἰφθίμους ψυχὰς ἄϊδι προΐαψεν,
οὐκ ἔτι μιν πέμπει πρός με μαθησόμενον.
ἀλλά μ᾽ ἰδὼν ὁ πατὴρ, σοὶ μὲν χάρις εἶπεν ἑταῖρε.
αὐτὰρ ὁ παῖς παρ᾽ ἐμοὶ ταῦτα μαθεῖν δύναται.
καὶ γὰρ ἐγὼ πολλὰς ψυχὰς ἄϊδι προϊάπτω,
καὶ πρὸς τοῦτ᾽ οὐδὲν γραμματικοῦ δέομαι.

## ΕΙΣ ΙΠΠΟΥΣ. 23

Λουκιλλίου.

Θεσσαλὸν ἵππον ἔχεις ἐρασίστρατε, ἀλλὰ σαλεῦσαι
οὐ δύνατ᾽ αὐτὸν ὅλης φάρμακα θεσσαλίης.
ὄντως δούριον ἵππον. ὃν εἰ φρύγες εἷλκον ἅπαντες
σὺν δαναοῖς, σκαιὰς οὐκ ἂν ἐσῆλθε πύλας.
ὃν στήσας ἀνάθημα θεοῦ τινος, εἰ προσέχεις μοι,
τὰς κριθὰς ποίει τοῖς τεκνίοις πτισάνην.

Τοῦ αὐτοῦ.

Ἵππον ὑποσχόμενός μοι ὀλύμπιος, ἤγαγεν οὐρήν.
ἧς ὀλιγοδρανέων ἵππος, ἀπεκρέματο.

## ΕΙΣ ΚΙΘΑΡΩΔΟΥΣ, καὶ Τραγῳδούς. Λεωνίδου. 24

Νυκτικόραξ ἄδει θανατηφόρον. ἀλλ᾽ ὅταν ᾄσῃ
Δημόφιλος, θνήσκει καὐτὸς ὁ νυκτικόραξ.

Τοῦ αὐτοῦ.

Σιμύλος ὁ ψάλτης, τοὺς γείτονας ἔκτανε πάντας,
νυκτὸς ὅλης ψάλλων, πλὴν ἑνὸς ὠριγένους.
κωφὸν γὰρ φύσις αὐτὸν ἐθήκατο. τοὔνεκεν αὐτῷ
ζωὴν αὐτ᾽ ἀκοῆς δῶκε περισσοτέρην.

Ἀμμιανοῦ.

Νικήτης ᾀδίων, τῶν ᾀδίων ὄζειν ἀπόλλων.
ἂν δὲ ἰατρεύῃ, τῶν θεραπευομένων.

Λουκιλλίου.

Πέντ' ὀβολῶν πέπρακεν ἀπολλοφάνης ὁ τραγῳδὸς,
πέντε θεῶν σκευὴν, ἡρακλέους ῥόπαλον,
τισιφόνης τὰ φόβητρα, ποσειδῶνος δὲ τρίαιναν,
ὅπλον ἀθηναίης, ἀρτέμιδος φαρέτρην.
οἱ δὲ θεοὶ, πὰρ ζηνὶ καθήμενοι ἐξεδύθησαν
εἰς βραχὺ σιταρίου κέρμα, καὶ οἰναρίου.

Διοσκορίδου.

Γάλλον ἀρισταγόρης ὠρχήσατο. τοὺς δὲ φιλόπλους
τημενίδας ὁ καμὼν πολλὰ διῆλθον ἐγώ.
χὼ μὲν τιμηθεὶς, ἀπεπέμπετο. τὴν δὲ τάλαιναν
ὑρνηθὼ, κροτάλων εἰς ψόφος ἐξέβαλεν.
εἰς πῦρ ἡρώων ἴτε πρήξιες. ἐν γὰρ ἀμούσοις
καὶ κόρυδος κύκνου φθέγξατ' ἀοιδότερον.

## ΕΙΣ ΚΛΕΠΤΑΣ. 25

Λουκιλλίου.

1 Τὴν ἀναδυομένην ἀπὸ μητέρος ἄρτι θαλάσσης
Κύπριν ὅλην χρυσῆν ἐχθὲς ἔκλεψε Δίων.
καὶ χερὶ πρὸς κατέσυρεν ὁλοσφύρητον ἄδωνιν,
καὶ τὸ παρεστηκὸς μικρὸν ἐρωτάριον.
αὐτοὶ τοίνυν ἐρεῦσιν, ὅσοι ποτὲ φωρὸς ἄριστοι,
οὐκ ἔτι σοὶ χρεῶν εἰς ἔριν ἐρχόμεθα.

Τοῦ αὐτοῦ.

Τὸν θεὸν αὐτὸν ἔκλεψεν, ὃν ὁρκίζεσθαι ἔμελλεν
Εὐτυχίδης, εἰπὼν, οὐ δύναμαί σ' ὀμόσαι.

Τοῦ αὐτοῦ.

Τοῦ αὐτοῦ.

Τὸν πτηνὸν ἑρμῆν, τὸν θεῶν ὑπηρέτην,
τὸν ἀρκάδων ἄνακτα, τὸν βοηλάτην,
ἑστῶτα τῶνδε γυμνασίων ἐπίσκοπον,
ὁ νυκτοκλέπτης Αὖλος εἶπε βαστάσας,
πολλοὶ μαθηταὶ κρείττονες διδασκάλων.

Τοῦ αὐτοῦ.

Τὸν τῶν κλεπτόντων μηνύτορα φοῖβον ἔκλεψεν
Εὐτυχίδης, εἰπών, μὴ πάνυ πολλὰ λάλει.
σύγκρινον δὲ τέχνῃ τέχνην, καὶ χείρεσι χρησμός,
καὶ μάντιν κλέπτῃ, καὶ θεὸν Εὐτυχίδῃ.
τῶν δ᾽ ἀχαλινώτων στομάτων χάριν αὐτίκα πραθεὶς,
τοῖς ὠνυσαμένοις πᾶν ὃ θέλεις με λέγε.

Τοῦ αὐτ.

Βουκόλε, τὴν ἀγέλην πόῤῥω νέμε, μή σε Περικλῆς
ὁ κλέπτης, αὐταῖς βουσὶ συνεξελάσῃ.

Τοῦ αὐτοῦ.

Εἰ πόδας εἶχε Δίων, οἵας χέρας, οὐκ ἔτ᾽ ἂν ἑρμῆς
πτηνὸς ἐν ἀνθρώποις, ἀλλὰ Δίων ἐκρίθη.

Τοῦ αὐτοῦ.

Τὴν γένεσιν λυποῦντα μαθὼν Κρόνον ἡλιόδωρος,
νύκτωρ ἐκ ναοῦ χρύσεον ἦρε Κρόνον,
τίς πρῶτος κακοποιὸς ἐλήλυθε, πειράζων εἰπὼν
δέσποτα καὶ γνώσῃ τίς, τίνος ἐστὶ Κρόνος.
ὃς δ᾽ ἄλλῳ κακὰ τεύχει, ἑῷ κακὸν ἥπατι τεύχει.
εὑρών μοι τιμὴν πᾶν ἀνάτελλ᾽ ὃ θέλεις.

Τοῦ αὐτοῦ.

Ἐκ τῶν ἑσπερίδων τῶν τοῦ Διὸς ἦρε Μενίσκος
ὡς τὸ πρὶν ἡρακλέης χρύσεα μῆλα τρία.

καὶ τί γὰρ ὡς ἐσθλῶ, γέγονεν μέγα πᾶσι θέαμα,
ὡς τὸ πρὶν ἡρακλέης ζῶν κατακαιόμενος.

Τοῦ αὐτοῦ.

Εἴσιδεν ἀντίοχος τὴν Λυσιμάχου ποτὲ τύλην,
κοὐκ ἔτι τὴν τύλην εἴσιδε Λυσίμαχος.

Ἄδηλον.

Χοῖρε μὲν, οὐκ ἴδιον δέμε θύετε. καί με καλεῖτε
χοιρίδιον, φανερῶς εἰδότες οὐκ ἴδιον.

Ἄδηλον.

Ἤδειμεν πολέμων αὐτώνιον ὄντα σε πάντες,
ἐξαπίνης τρίασσοι γράμματα πῶς ἔλιπεν;

## ΕΙΣ ΚΟΥΡΕΑΣ. Λουκιλλίου. 26

Τὸν δασὺν ἑρμογένη ζητεῖ πόθεν ἄρξετ' ὁ κουρεὺς
κείρειν τὴν κεφαλὴν, ὅνθ' ὅλον ὡς κεφαλήν.

Τοῦ αὐτοῦ.

Ἄρδην ἄρδην βροτολοιγὲ, μιαιφόνε, παύεο κουρεῦ,
τέμνων. οὐ γὰρ ἔχεις οὐκ ἔτι τοῦ με τάμῃς.
ἀλλ' ἤδη μεταβὰς ὤμων σοῦ μύας, ἢ τὰ κάτωθεν
τῶν γονάτων, οὕτω τέμνε με, καὶ παρέχω.
νῦν μὲν γὰρ μυῶν ὁ τόπος γέμει. ἢν δ' ἐπιμείνῃς,
ὄψει καὶ γυπῶν ἔθνεα, καὶ κοράκων.

Ἄδηλον.

Κουρεὺς, καὶ ῥαφιδεὺς, κατεναντίον ἦλθον ἀγῶνος.
καὶ ταχα νικῶσιν τὸν ξυρὸν αἱ ῥαφίδες.

## ΕΙΣ ΚΥΒΕΥΤΗΝ. Παλλαδᾶ. 27

Πάντων μουσοπόλων ἡ Καλλιόπη θεός ἐστιν.
σοὶ δὲ Καλλιόπη, ταβλιόπη λέγεται.

## ΕΙΣ ΚΥΝΗΓΟΝ. 28

Λουκιλλίου.

Πανὶ φιλοσπήλυγγι, καὶ ὀρεοφοιτάσι νύμφαις,
καὶ σατύροις, ἱεραῖς τ' ἔνδον ἁμαδρυάσι,
σὺν κυσὶ, καὶ λόγχαις ταῖς πρὶν συοφόντισι Μάρκος,
μηδὲν ἑλὼν αὐτὸς, τὰς κύνας ἐκρέμασεν.

## ΕΙΣ ΚΩΜΩΔΟΝ. Παλλαδᾶ. 29

Παύλῳ κωμῳδῷ κατ' ὄναρ στὰς, εἶπε Μένανδρος,
οὐδὲν ἐγὼ κατὰ σοῦ, καὶ σὺ κακῶς με λέγεις.

## ΕΙΣ ΚΩΦΟΥΣ. 30

Νικάρχου.

Δυσκώφῳ δύσκωφος ἐκρίνετο. καὶ πολὺ μᾶλλον
ἦν ὁ κριτὴς τούτων τῶν δύο κωφότερος.
ὧν ὁ μὲν, ἀντέλεγεν τὸ ἐνοίκιον αὐτὸν ὀφείλειν
μηνῶν πέντε. ὁ δ' ἔφη νυκτὸς ἀληλεκέναι.
ἐμβλέψας δ' αὐτοῖς ὁ κριτὴς λέγει, ὅτι τί μάχεσθε;
μήτηρ ἐσθ' ὑμῖν; ἀμφότεροι τρέφετε.

## ΕΙΣ ΛΑΙΜΑΡΓΟΥΣ. 31

Λουκιλλίου.

Οὐδὲν ἀφῆκεν ὅλως Διονύσιε λείψανον Αὔλῳ
Εὐτυχίδης δειπνῶν, ἦρε δὲ πάντ' ὀπίσω.
καὶ νῦν Εὐτυχίδης μὲν ἔχει μέγα δεῖπνον ἐν οἴκῳ.
μὴ κληθεὶς δ' Αὖλος ξηροφαγεῖ καθίσας.

Τοῦ αὐτοῦ.

Οὕτω σοι πέψαι Διονύσιε ταῦτα γένοιτο
πάντα. νόμου δὲ χάριν, δός τι καὶ ὧδε φαγεῖν.

κἀγὼ κέκλημαι. κἀμοί παρέθηκέ τι τούτων
γεύσασθαι Πόπλιος. κἀμὸν ἔπεστι μέρος.
εἰ μὴ λεπτὸν ἰδών με, δοκεῖς κατακεῖσθαι ἄρωστον.
εἶθ' οὕτω τηρεῖς, μή σε λαθώντι φάγω.

Τοῦ αὐτοῦ.

Καὶ τρώγεις ὅσα πρίν τε λύκοι Γάμε, καὶ τὰ πόριστα
οὐ τὰ σὰ, τῶν δὲ πέριξ, πάντα δίδως ὀπίσω.
πλὴν μετὰ τοῦ κοφίνου τοῦ πρὸς πόδας αὔριον ἔρχου
πρίσματα, καὶ σπόγγον, καὶ σαρὸν εὐθὺς ἔχων.

Τοῦ αὐτοῦ.

Ην Βραδὺς Εὐτυχίδης σταδιοδρόμος, ἀλλ' ἐπὶ δεῖπνον
ἔτρεχεν, ὥστε λέγειν, Εὐτυχίδης πέταται.

Αγαθίου σχολαστικοῦ.

Οὔτις ἀλοιητῆρας ἰδεῖν τέτληκεν ὀδόντας
ὑμετέρους, ἵνα σοῖς ἐν μεγάροις πελάσῃ.
εἰ γὰρ ἀεὶ βούβρωστιν ἔχεις ἐρυσίχθονος αὐτοῦ,
καὶ τάχα δαρδάψεις καὶ φίλον, ὃν καλέεις.
ἀλλ' οὐ σεῖο μέλαθρά με δέξεται. οὐ γὰρ ἔγωγε
βήσομ' ὑφ' ὑμετέρῃ γαστρὶ λαφυξόμενος.
εἰ δέ ποτ' ἂν τεὸν οἶκον ἐλεύσομαι οὐ μὲν ἀΰσας
Λαρτιάδης σκύλλης χάσμασιν ἀντιάσας.
ἀλλ' ἔσομαι πολύτλας τις ἐγὼ πλέον, εἴ σε προσίσω,
Κύκλωπος κρυεροῦ μηδὲν ἐλαφρότερον.

Τοῦ αὐτοῦ.

Υἱὸς καὶ γενετὴρ δηρὴν φιλόνεικον ἔθεντο,
τίς πλέον ἐκδαπανῶν κλῆρον ἅπαντα φάγοι.
καὶ μετὰ τὴν βρῶσιν τὴν χρηματικὴν μάλα πᾶσαν,
οὐ τούτων ἀλλήλους λοιπὸν ἔχουσι φαγεῖν.

Τοῦ αὐτοῦ.

Ὄρνεον κλαίομεν κεκλημένοι ἄθλιοι ἄνδρες,
ἄλλων ὀρνίθων βρώματα γιγνόμενοι.
καὶ τὸν μὲν Τιτυὸν κατὰ γῆς δύο γῦπες ἔδουσιν.
ἡμᾶς δὲ ζῶντας, τέσσαρες αἰγυπιοί.

Τοῦ αὐτοῦ.

Μηδείς μοι ταύτην Ἐρασίστρατε τὴν ἀπατάλην σου
ποιήσει θεῶν, ἢ σὺ καταπαταλᾷς.
ἐσθίων ἐκτραπέλως στομάχων κακὰ χείρονα λιμοῦ,
οἷα φάγοιεν ἐμῶν ἀντιδίκων τέκνα.

## ΕΙΣ ΛΕΠΤΟΥΣ, καὶ μικρούς. 32

Λουκιλλίου.

Τὴν μικρὴν παίζουσαν ἐρώτιον ἥρπασε κώνωψ.
ἡ δὲ, τί φησιν; δέω Ζεῦ πάτερ, εἴ μ' ἐθέλεις.

Τοῦ αὐτοῦ.

Τῷ πατρὶ θυμωθεὶς Διονύσιε Μάρκος ὁ μικρὸς,
πυρρίνα στήσας, αὐτὸν ἀπηγχόνισε.

Τοῦ αὐτοῦ.

Ἐν καλάμῳ πήξας ἀθέρα Στρατόνικος ὁ λεπτὸς,
καὶ τριχὸς ἐκδήσας αὐτὸν, ἀπηγχόνισε.
καὶ τί γὰρ οὐχὶ κάτω βρίσειν βαρὺς, ἀλλ' ὑπὲρ αὐτῶν
ἠνεμίας οὔσης, νεκρὸς ἄνω πέταται.

Τοῦ αὐτοῦ.

Γάϊος ἐκπνεύσας τὸ πανύστατον ἐχθὲς ὁ λεπτὸς,
εἰς τὴν ἐκκομιδὴν οὐδὲν ἀφῆκεν ὅλως.
καὶ πέρας εἰς ἀΐδην καταβὰς οἷός περ ὅτ' ἔζη,
τῶν ὑπὸ γῆν σκελετῶν λεπτότερος πέταται.
τὴν δὲ κενὴν κλίνην οἱ φράτορες ἦραν ἐπ' ὤμων,
ἐγγράψαντες ἄνω, Γάϊος ἐκφέρεται.

ALEXANDER · REX ARAGONVM · FERDINANDVS

Τοῦ αὐτοῦ.

Τῶν Ἐπικουρείων ἀτόμων ποτὲ Μάρκος ὁ μικρός,
τῇ κεφαλῇ τρήσας, εἰς τὸ μέσον διέβη.

Τοῦ αὐτοῦ.

Εἰς σάλπιγγ' ἐνέπνευσεν ὅσον βραχὺ Μάρκος ὁ λεπτός,
καὶ κατὰ τῆς κεφαλῆς εὐθὺς ἀπῆλθε κάτω.

Ἀμμιανοῦ.

Τὸν μικρὸν Μάκρωνα θέρους κοιμώμενον εὑρών,
εἰς ζώγλην μικροῦ τοῦ ποδὸς εἵλκυσε μῦς.
ὃς δ' ἐν τῇ ζώγλῃ ψιλὸς τὸν μῦν ἀποπνίξας,
Ζεῦ πάτερ εἶπεν, ἔχεις δεύτερον Ἡρακλέα.

Ἀδήλου.

Ἔστω μὴ ζόπολις, πρῶτον πόλις. εἶτα λεγέσθω
μητρόπολις, μὴ νῦν. ἡνίκα μὴ δὲ πόλις.

Λουκιλλίου.

Τὸν λεπτὸν φυσῶντα τὸ πῦρ Πρόκλον, ἦρεν ὁ καπνός,
καὶ διὰ τῶν θυρίδων ἔνθεν ἀπῆλθεν ἔχων.
ἀλλὰ μόλις νεφέλην προσενήξατο, καὶ δι' ἐκείνης
προσκατέβη τρωθεὶς μυρία ταῖς ἀτόμοις.

Τοῦ αὐτοῦ.

Οὕτω κουφότατος πέλε Γάϊος, ὥστ' ἐκολύμβα
τοῦ ποδὸς ἐκκρεμάσας ἢ λίθον, ἢ μόλιβον.

Ἀμμιανοῦ. οἱ δὲ, Νικάρχου.

Ἐξαίρων πότ' ἄκανθαν ὁ λεπτακινὸς Διόδωρος,
αὐτὸς ἐτρύπησε τῷ ποδὶ τὴν βελόνην.

Λουκιλλίου.

Ἐξ ἀτόμων Ἐπίκουρος ὅλον τὸν κόσμον ἔγραψεν,
εἶναι τοῦτο δοκῶν ἄλκιμε λεπτότατον.
εἰ δὲ τότ' ἦν Διόφαντος, ἔγραψεν ἂν ἐκ Διοφάντου,
τοῦ καὶ τῶν ἀτόμων πουλύ τι λεπτοτέρου.

ALEXANDER PP VI ... FERDINANDUS

ἢ τὰ μὲν ἄλλ' ἔγραψε συνεστάναι ἐξ ἀτόμων ἄν,
ἐκ τούτου δ' αὐτὰς ἄλκιμε τὰς ἀτόμους.

Τοῦ αὐτοῦ.

Ἱππεύων μύρμηκι Μενέστρατος ὡς ἐλέφαντι,
δύσμορος ἐξαπίνης ὕπτιος ἐξετάθη.
λακτισθεὶς δ' ὡς εἶχε τὸ καίριον, ὦ φθόνε φησίν,
οὕτως ἱππεύων ὤλετο καὶ Φαέθων.

Τοῦ αὐτοῦ.

Τὸν μέγαν ἐζήτουν Εὐμήνιον. ὃς δ' ἐκάθευδε,
μικρῷ ὑπ' ὀξυβάφῳ τὰς χέρας ἐκτανύσας.

Τοῦ αὐτοῦ.

Ἀρθεὶς ἐξ αὔρης λεπτῆς, ἐποτᾶτο δι' αἴθρης
Χαιρήμων, ἀχύρου πολλὸν ἐλαφρότερος.
καὶ τάχ' ἂν ἐρροίζητο δι' αἰθέρος, εἰ μὴ ἀράχνῃ
τοὺς πόδας ἐμπλεχθεὶς, ὕπτιος ἐκρέματο.
αὐτοῦ δὴ νύκτας τε, καὶ ἤματα πρίν τε κρεμασθείς,
ἕκταιος κατέβη νήματι τῆς ἀράχνης.

Τοῦ αὐτοῦ.

Αἰγείρου φύλλῳ πεφορημένος ἐξ ἀνέμοιο,
πληγεὶς Χαιρήμων, ὕπτιος ἐξετάθη.
κεῖται δὴ Τιτυῷ ἐναλίγκιος, ἢ Παλικάμπῃ,
ἁπλώσας κατὰ γῆς σῶμα τὸ καννάβινον.

Νικάρχου.

Τρεῖς λεπτοὶ πρώην περὶ λεπτοσύνης ἐμάχοντο,
τίς προκριθεὶς εἴη, λεπτεπιλεπτότερος.
ὧν ὁ μὲν εἷς, Ἕρμων, μεγάλην ἐνεδείξατο τέχνην,
καὶ διέδυ ῥαφίδος τρῆμα λίνον κατέχων.
Δημᾶς δ' ἐκ τρώγλης βαίνων, δι' ἀράχνιον ἔστη.
ἡ δ' ἀράχνη νήθουσ' αὐτὸν ἀπεκρέμασεν.

πώτ᾽ εἶπε πρὸς δ᾽ ἐβόησεν, ἐμὲ στεφανώσατ᾽. ἐγὼ γὰρ
εἰ βλέπομ᾽, ἥττημαι. πνεῦμα γάρ εἰμι μόνον.

Λουκιλλίου.

Βουλόμενός ποθ᾽ ὁ λεπτὸς ἀπάγξασθαι Διόφαντος,
νῆμα λαβὼν ἀράχνης, αὑτὸν ἀπηγχόνισεν.

Τοῦ αὐτοῦ.

Σῶμα φέρων σκιοειδὲς, ἀειδέι σύμπνοον αὔρῃ,
μήποτε θαρσήσῃς ἄγχι τινὸς πελάσαι.
μή τις ἔσω μυκτῆρος ἀναπνείων σε κομίσσῃ,
ἄσθματος ἠερίου πολλὸν ἐλαφρότερον.
οὐ σὺ μόρον τρομέεις. τότε γὰρ πάλιν οὐδὲν ἀμείψας,
ἔσσεαι ὡσαύτως φάσμα, τὸ πρὶν τελέθεις.

Τοῦ αὐτοῦ.

Μύρμηκος πτερόεντος ὑπὲρ νώτοιο καθεσθεὶς
ἄδηστος ῥήτωρ, τοῖον ἔλεξεν ἔπος,
ἔπλασο, τὸν σὸν ἔχεις ὦ πήγασε Βελλεροφόντην,
φέρτατον ἡρώων, ἡμιθανῆ σκελετόν.

Ἄδηλα.

Ῥιπίζων ἐν ὕπνοις Δημήτριος Ἀρτεμιδώραν
τὴν λεπτὴν, ἐκ τοῦ δώματος ἐξέβαλεν.

Ἄλλο.

Ἀρκάδας οὐχ οὕτω συμφαλίδες, ὡς ἐμὲ κίχλαι
αἱ νέκυες, ξηροῖς ἤκαχον ὀσταρίοις,
ἔρπυγαι δραχμῆς ξηρὴ δεκὰς, ὦ ἐλεειναὶ
λιμώνων ἔτυμως ἔρρετε νυκτερίδες.

Ἄλλο.

Εἰ μὲν ἐπ᾽ ἀτελέβους ἄγεται στρατὸς, ἢ κυνομυίας,
ἢ μυίας, ἢ ψυλλῶν ἱππικὸν, ἢ βατράχων, ε

ALEXANDER PP VI ... FERDINANDUS

γαίῃ, καὶ σὺ φοβοῦ μὴ καί σέ τις ἐγκαταλέξῃ,
ὡς ἂν τῆς τούτων ἄξιον ὄντα μάχης.
εἰ δ' ἀρετῆς ἀνδρῶν ἄγεται στρατὸς, ἀτρέμας ἧσο·
ῥωμαίοις οὐδεὶς πρὸς γεράνους πόλεμος.

## ΕΙΣ ΜΑΚΡΟΥΣ. 33

Λουκιλλίου.

Τιμόμαχον τὸν μακρὸν ὅπου Γόργγος ἐχώρει
οἶκος, ὑπὲρ γαίης πάντοτε κεκλιμένον.
στῆναι δ' εἴποτ' ἔχρῃζεν, ἔδει σὺν παῖδας ἀπ' ὄρθρου
τὴν ὀροφὴν τρῆσαι πρίν τ' ὠθεῖ πρίν τε πόδας.

Ἀμμιανοῦ.

Τῷ Στρατονικείῳ πόλιν ἄλλην οἰκοδομεῖτε,
ἢ τούτοις ἄλλην οἰκοδομεῖτε πόλιν.

## ΕΙΣ ΜΕΘΥΣΟΥΣ.

Παλλαδᾶ.

Σιλβανὸς δύο παῖδας ἔχων οἶνόν τε καὶ ὕπνον,
οὐκ ἔτι τὰς μούσας, οὐδὲ φίλους φιλέει.
ἀλλ' ὁ μὲν ἐκ λεχέων νιν ἐΰῤῥοος οὐ φρένα θέλγει·
ἄλλος δ' ἐν θαλάμοις ῥεγχόμενον κατέχει.

Ἀδηλον.

Ἡ γραῦς ἡ Βάκχου, κυλίκων σποδὸς, ἥν ποτε νούσῳ
κεκλιμένη, Ζηνὶ τοῖον ἔλεξεν ἔπος,
ἢν ὀλοοῦ διάκαυμα φύγω πυρὸς, εἰς ἑκατόν σοι
ἡελίους δροσερᾶς πίομαι ἐκ λιβάδος,
ἀβρόμιος, καὶ ἄοινος. ἐπεὶ δ' ὑπάλυξεν ἀνάγκην,
αὐτῆμαρ τοῖον μῆχος ἐπεφράσατο·
τρητὸν γὰρ θεμένη χορὶ κόσκινον, εὖ διὰ πυκνῶν
σχοίνων ἡελίους πλείονας ηὐγάσατο.

ALEXANDER PP. VALENTINUS · FERDINANDUS · REX ARAGONUM

Ἀδήλου.

Πῶς φιλέεις ὦ μῆτερ ἐμοῦ πλέον υἱέος οἶνον;
δὸς πιέειν οἴνοιο, ἐπεὶ γάλα τοπρὶν ἔδωκας.
ὦ παῖ, σὴν μὲν δίψαν ἐμὸν γάλα τοπρὶν ἔπαυσε.
νῦν δ' ἴθι πῖνε ὕδωρ, καὶ σβέννυ τὴν σέο δίψαν.

Ἀδήλου.

Δέρκεο πῶς διψῶν υἱὸς χέρα μητέρι τείνει.
ἡ δὲ γυνὴ, ἅτε πᾶσα γυνὴ κεκρατημένη οἴνῳ,
ἐν λαγυνῷ πίνουσα, τὸ δ' ἔννεπε λοξὸν ἰδοῦσα,
ἐκ δὴ βρόχθου ἐμεῖο, τί σοι δῶ τέκνον ἐμοῖο;
ξέστας γὰρ τριάκοντα μόνος λάγυνος τόδε χωρεῖ.
μῆτερ, μητρυιῆς χαλεπὸν τρόπον αὐτίκα τοῖσα,
ἀμπέλου ἡδυπότης τὰ δὲ δάκρυα δὸς μοι ἀφύσσειν.

Εἰς ἀπιανὸν ἡγεμόνα πότην.

Γράμμα ποθεινὸν ἔχεις τὸ προκείμενον. ἢν ἀφέλῃ τίς
τοῦτό σοι, οἰκεῖον κτήσῃ ἁπλῶς ὄνομα.

## ΕΙΣ ΜΙΛΙΑΡΙΟΝ ΨΥΧΡΟΝ. 35

Νικάρχου.

Ἠγόρασας χαλκοῦν μιλιάριον ἡλιόδωρε
τῷ πόθῳ τὴν θρακῶν ψυχρότερον βορέου,
μὴ κάμνε, μὴ φύσα, μάτην τὸν καπνὸν ἐγείρεις.
εἰς τὸ θέρος χαλκῆν βαύκαλιν ἠγόρασας.

## ΕΙΣ ΝΟΜΙΚΟΥΣ. 36

Λουκιλλίου.

Φαῖδρος πραγματικὸς, καὶ ζωγράφος ἤρισε Ῥοῦφος,
τίς θᾶσσον γράψει, καὶ τίς ὁμοιότερον.
ἀλλ' ἐν ὅσῳ Ῥοῦφος τρίβειν τὰ χρώματ' ἔμελλε,
Φαῖδρος ἔγραψε, λαβὼν εἰκονικὴν ἀποχήν.

Τοῦ αὐτοῦ.

Τοὺς πόδας εἰ κρατερὸς, καὶ τὰς χεῖρας εἶχ᾽ ὁλοκλήρους,
οὐκ ἂν τὴν κεφαλὴν εἶχε, τοιαῦτα γράφων.

## ΕΙΣ ΟΚΝΗΡΟΥΣ. 37

Τοῦ αὐτοῦ.

Εἰς φυλακὴν βληθείς ποτε Μάρκος ὁ ἀργὸς ἑκόντι,
ὀκνῶν ἐξελθεῖν, ὡμολόγησε φόνον.

Τοῦ αὐτοῦ.

Τῆς νυκτὸς ῥοχάσας ἐν ὕπνοις ποτὲ Μάρκος ὁ ἀργὸς,
οὐκ ἔτ᾽ ἐκοιμήθη μὴ πάλι που ῥοχάσῃ.

Τοῦ αὐτοῦ.

Οὕτως ἐσ᾽ ἀργὸς Πανταίνετος, ὥστε πυρέξας,
μηκέτ᾽ ἀναστῆναι παντὸς ἐδεῖτο θεοῦ.
καὶ νῦν δὴ ἐθέλων μὲν ἐγείρεται. ἐν δ᾽ ἐνιαυτῷ,
κωφὰ θεῶν ἀδίκων οὔατα μεμφόμενος.

Τοῦ αὐτοῦ.

Εκλήθην ἐχθὲς Δημήτριε. σήμερον ἦλθον
δειπνεῖν. μὴ μέμψῃ, κλίμακ᾽ ἔχεις μεγάλην.
ἐν ταύτῃ πεποίηκα πολὺν χρόνον. οὐδ᾽ ἂν ἐσώθην
σήμερον, ἀλλ᾽ ἀνέβην, κέρκον ὄνου κατέχων.

## ΕΙΣ ΟΡΧΗΣΤΑΣ. 38

Λουκιλλίου.

Εκ ποίων ὁ πατήρ σε δρυῶν τέτμηκεν ἀρίστων,
ἢ ποίου σε μύλου κόψατο λατομιῶν;
ἢ γὰρ ἀπὸ δρυὸς ἐσσὶ παλαιφάτου, ἢ ἀπὸ πέτρης,
ὀρχηστὴς, Νιόβης ἔμπνοον ἀρχέτυπον.
ὥστε με θαυμάζοντα λέγειν, ὅτι καὶ σὺ τί Λητοῖ
ἤρισας. οὐ γὰρ ἂν ἦς αὐτομάτως λίθινος.

ALEXANDER PP VI · ARAGONUM · FERDINANDUS · SANCTI

Τοῦ αὐτοῦ.

Πάντα καθ' ἱστορίην ὀρχούμενος, ἐν τὸ μέγιστον
τῶν ἔργων παριδὼν, ἠνίασας μεγάλως.
τὴν μὲν γὰρ Νιόβην ὀρχούμενος, ὡς λίθος ἔστης,
καὶ πάλιν ὢν Καπανεὺς, ἐξαπίνης ἔπεσες.
ἀλλ' ἐπὶ τῆς Κανάκης ἀφυῶς, ὅτι καὶ ξίφος ἦν σοι,
καὶ ζῶν ἐξῆλθες, τοῦτο παρ' ἱστορίην.

Παλλαδᾶ.

Δάφνην, καὶ Νιόβην ὠρχίσατο Μέμφις ὁ σιμός.
ὡς ξύλινος, Δάφνην. ὡς λίθινος, Νιόβην.

ΕΙΣ ΠΑΧΕΙΣ. Ἀδεσπότου. 39

Τὸν παχὺν εὖ ἔγραψεν ὁ ζωγράφος. ἀλλ' ἀπόλοιτο,
εἰ δύο μισοῦμεν ἀνθ' ἑνὸς ὀψόμεθα.

ΕΙΣ ΠΟΙΗΤΑΣ. Πολλιανοῦ.

Εἰσὶ καὶ ἐν μούσῃσιν ἐριννύες, αἷσι ποιοῦσι
πεικτὴν, ἀνθ' ὧν πολλὰ γράφεις ἀκρίτως.
τοίνυν σου δέομαι γράφε πλείονα. μείζονα γάρ σοι
εὔξασθαι ταύτης οὐ δύναμαι μανίην.

Τοῦ αὐτοῦ.

Εἰ μὴ χαίρω Φλῶρε, γενοίμην δάκτυλος, ἢ πούς,
εἷς τῶν σὰν τούτων τῶν κατατεινομένων.
χαίρω νὴ τὸν κλῆρον, ὃν εὐκλήρησας ἐν ἄθλοις,
ὡς ποδὶ χρείας τοῦ στεφάνου μορίδος.
Εἰ γὰρ θαρσεῖ Φλῶρε, καὶ εὔθυμος πάλι γίγνου.
οὕτω νικῆσαι καὶ δόλιχον δύνασαι.

Τοῦ αὐτοῦ.

Τοὺς κυκλίους τούτους, τοὺς αὐτὰρ ἔπειτα λέγοντας,
μισῶ λωποδύτας ἀλλοτρίων ἐπέων.

…διὰ τοῦτ' ἐλέγοις προσέχω πλέον. οὐδὲν ἔχω γὰρ
Παρθενίου κλέπτειν, ἢ πάλι Καλλιμάχου.
θηρὶ μὲν οὐατόεντι γενοίμην, εἴ ποτε γράψω
εἴκελος, ἐκ ποταμῶν χλωρὰ χελιδόνια.
οἱ δ' οὕτως τὸν ὅμηρον ἀναιδῶς λωποδυτοῦσιν,
ὥστε γράφειν ἤδη, μῆνιν ἄειδε θεά.

Λουκιλλίου.

Οὔτ' ἐπὶ Δευκαλίωνος ὕδωρ, ὅτε πάντ' ἐγενήθη,
οὔθ' ὁ καταπρήσας τοὺς ἐπὶ γῆς φαέθων,
ἀνθρώπους ἔκτεινεν, ὅσους Ποτάμων ὁ ποιητής.
καὶ χειρουργήσας ὤλεσεν ἑρμογένης.
ὥστ' δὲ αἰῶνος κακὰ τέσσαρα ταῦτ' ἐγενήθη,
Δευκαλίων, Φαέθων, ἑρμογένης, Ποτάμων.

Τοῦ αὐτοῦ.

Τέθνηκ' Εὐτυχίδης ὁ μελογράφος. οἱ κατὰ γαῖαν
φεύγετ', ἔχων ᾠδὰς ἔρχεται Εὐτυχίδης.
καὶ κιθάρας αὐτῷ διετάξατο συγκατακαῦσαι
δώδεκα, καὶ κίστας εἰκοσιπέντε νόμων.
νῦν ὑμῖν ὁ χάρων ἐπελήλυθε. ποῦ τίς ἀπέλθῃ
λοιπὸν, ἐπεὶ καὶ γῆν Εὐτυχίδης κατέχει;

Τοῦ αὐτοῦ.

Ἀρχόμεθ' ἡλιόδωρε, ποιήματα παίζομεν οὕτω.
ταῦτα πρὸς ἀλλήλους ἡλιόδωρε θέλεις;
ἄσσον ἴθ', ὥς κεν θᾶσσον ὀλέθρου. καὶ γάρ ἔμ' ὄψει
μακροφλυαρητὴν ἡλιοδωρότερον.

Τοῦ αὐτοῦ.

Μηκέτι, μηκέτι Μάρκε τὸ παιδίον, ἀλλ' ἐμὲ κόπτου,
τὸν πολὺ τοῦ παρὰ σοῦ νεκρότερον τεκνίου.
εἰς ἐμὲ νῦν ἐλέγους ποίει πάλιν, εἰς ἐμὲ θρήνους
δήμιε, τὸν στιχίνῳ σφαζόμενον θανάτῳ.

τοῦ σοῦ γὰρ πάσχω νεκροῦ χάριν, οἷα πάθοιεν
οἱ καταδείξαντες βιβλία, καὶ καλάμους.

Τοῦ αὐτοῦ.

Οὐχ οὕτω κακοεργοὶ ἐχαλκεύσαντο μάχαιραν
ἄνθρωποι, διὰ τὰς ἐξαπίνης ἐνέδρας,
οἷον ἀκήρυκτον Καλλίστρατε καὶ σὺ πελεθῶν,
ποιεῖς μοι φονικῶν ἑξαμέτρων πόλεμον.
σάλπιγξον ταχέως ἀνακλητικόν. εἰς ἀνοχὰς γὰρ
καὶ Πρίαμος κλαύσας ἡμορίων ἔτυχεν.

Τοῦ αὐτοῦ.

Οὐδενὸς ἐνθάδε νῦν τεθνηκότος ὦ παροδῖτα,
Μάρκος ὁ ποιητὴς ᾠκοδόμησε τάφον.
καὶ γράψας ἐπίγραμμα μονόστιχον, ὧδ᾽ ἐχάραξε,
κλαύσατε δωδεκέτη Μάξιμον ἐξ ἐφέσου.
οὐδὲ γὰρ εἶδον ἐγώ τινα Μάξιμον. εἰς δ᾽ ἐπίδειξιν
ποιητοῦ κλαίειν τοῖς παριοῦσι λέγει.

Τοῦ αὐτοῦ.

Ποιητὴς πανάριστος ἀληθῶς ἐστὶν ἐκεῖνος,
ὅστις δειπνίζει τοὺς ἀκροασαμένους.
ἢν δ᾽ ἀναγιγνώσκῃ, καὶ νήστιας οἴκαδε πέμπῃ,
εἰς αὐτὸν τρεπέτω τὴν ἰδίην μανίην.

Ἀράτου.

Αἰάζω Διότιμον, ὃς ἐν πέτραισι κάθηται,
γαργαρέων παισὶν βῆτα, καὶ ἄλφα λέγων.

Ἀδήλου.

Μισῶ δέσποτα Καῖσαρ, ὅσοις νέος οὐδέποτ᾽ οὐδεὶς
ἤρεσκε κἂν εἴποι, μῆνιν ἄειδε θεά.
ἀλλ᾽ ἢν μὴ Πριάμου τίς ἔχῃ χρόνον ἢ μὴ φαλακρὸς,
ἢ καὶ κυρτὸς ἄγαν, οὐ δύναται ἄλφα γράφειν.

ALEXANDRI ... FERDINANDI ... ARAGONUM

δ' ὄντως οὕτω τοῦτ' ἔστ' ἔχον ὦ ὕπατε Ζεῦ,
εἰς τοὺς κηλήτας ἔρχεται ἡ σοφία.

Λουκιανοῦ.

Ποιητὴς ἐλθὼν εἰς ἴσθμια πρὸς τὸν ἀγῶνα,
εὑρὼν ποιητὰς, εἶπε παρίσθμι' ἔχειν.
μέλλει δ' ἐξορμᾶν εἰς πύθια. κἂν πάλιν εὕρῃ,
εἰπεῖν οὐ δύναται, καὶ παραλύθι' ἔχω.

Ἀδέσποτον.

Ὠμοβοεῖς μοι παραθεὶς τόμον ἡλιόδωρε,
καὶ θρία μοι κεράσας ὠμοβοειότερα,
εὐθὺ κατακλύζεις ἐπιγράμμασιν. εἰ δ' ἀσεβήσας,
βεβρώκειν τινὰ βοῦν τῶν ἀπὸ τρινακρίας.
βούλομ' ἅπαξ πρὸς κῦμα χανεῖν. εἰ δ' ἔστι τὸ κῦμα,
ἔνθεν μακρὰν ἄρας εἰς τὸ φρέαρ με βάλε.

Ἄδηλον.

Τί ὠφέλησας τὴν πόλιν στίχους γράφων,
χρυσὸν τοσοῦτον λαμβάνων βλασφημίας,
πωλῶν ἰάμβους ὡς ἔλαιον ἔμπορος;
Μακεδονίου πρὸς τὸν εἰπόντι, εἰ μὴ πότνα
δίκη, χρυσὸν ἀπεστρέφετο.
Παρθένος εὐπατέρεια δίκη, πρέσβειρα πολήων,
οὐ τὸν γ' εὐσεβίη χρυσὸν ἀποστρέφεται,
ἀλλὰ καὶ αὐτὰ τάλαντα Διὸς, πάγχρυσα τελέθει,
οἷσι ταλαντεύει πάντα νόμον βιότου.
καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα,
εἰ μὴ ὁμηρείων ἐξελάθου χαρίτων.

ΕΙΣ ΠΛΟΙΑ. Λουκιλλίου. 41

Οἱ τοῖχοι διόφαντε, τὰ κύματα πάντα δέχονται,
καὶ διὰ τῶν θυρίδων ὠκεανὸς φέρεται.

ALEXANDER PP VI VALENT... FERDINANDUS ... ARAGONUM

δελφίνων δ᾽ ἀγέλαι, καὶ νηρέος ἀγλαὰ τέκνα,
ἐν τῷ πλοίῳ σου νηχόμενα βλέπεται.
ἂν δ᾽ ἀναμείνωμεν, τάχα πλεύσει καί τις ἐν ἡμῖν.
οὐδὲ γάρ ἐστιν ὕδωρ οὐκ ἔτι τοῦ πελάγους.

Τοῦ αὐτοῦ.

Εἰς πέλαγος πλέομεν Διονύσιε, καὶ γεγέμισται
τὸ πλοῖον πάντως πανταχόθεν πελάγους.
ἀντλεῖται δ᾽ ἀδρίας τυῤῥηνικὸν ἰβηρικὸς αἴγαιον,
τὸ πλοῖον, πηγὴ δ᾽ ὠκεανοῦ ξυλίνη.
ὅπλιζου καῖσαρ, Διονύσιος ἄρχεται ἤδη,
οὐκ ἔτι ναυκληρεῖν, ἀλλὰ θαλασσοκρατεῖν.

Βιάνορος.

Τὸ σκάφος οὐ βυθὸς εἷλε. πόθεν βυθός; οὐ γὰρ ἔπλωσεν,
οὐδὲ νότος. πρὸ νότου δ᾽ ὤλετο καὶ πελάγευς.
ἤδη γὰρ μιν ἅπασαν ὑπὸ ζυγὰ γομφωθεῖσαν
ἤλειφον πεύκης τῇ λιπαρῇ νοτίδι.
πίσσα δ᾽ ὑπὸ βρασθεῖσα πυρὸς φλογὶ, τὴν ἁλὶ πιστὴν
τευχομένην, γαίῃ δεῖξεν ἀπιστοτέρην.

Ἀντιπάτρου θεσσαλονικέως.

Εἶχε φίλων λέμβον σωτήριχον. ἀλλ᾽ ἐν ἐκείνῳ
σωθῆν οὐδὲ Ζεὺς αὐτὸς ἴσως δύναται.
οὔνομα γὰρ μόνον ἦν σωτήριχος. οἱ δ᾽ ὑποβάντες,
ἔπλεον ἢ παρὰ γῆν, ἢ παρὰ φερσεφόνην.

Λουκιλλίου.

Ἐκ ποίων ἔτι μου Διονύσιε τὰ ξύλα ταῦτα
λατομιῶν; ποιῶν τὸ σκάφος ἐστὶ μύλων;
εἰ γὰρ ἐγώ τι νοῶ, μολίβου γένος, οὐ δρυός ἐστιν,
οὐδ᾽ ἐλάτης. μικροῦ ῥιζοβολεῖ τὰ κάτω.
καὶ τυχὸν ἐξαπίνης ἔσεται λίθος. εἶτα τὸ χεῖρον,
γράψει μ᾽ ὡς Νιόβην δρᾶμα σαπρὸν Μελίτων.

## ΕΙΣ ΠΟΛΥΤΕΧΝΕΙΣ. 42

Παλλαδᾶ.

Τέκνον ἀναιδείης ἀμαθέστατε, θρέμμα μορίης,
εἰπὲ τί βρενθύῃ, μηδὲν ἐπιστάμενος.
ἐν μὲν γραμματικοῖς, ὁ πλατωνικός. ἂν δὲ Πλάτωνος
δόγματά τις ζητῇ, γραμματικὸς σὺ πάλιν.
ἐξ ἑτέρου φεύγεις ἐπὶ θάτερον. οὔτε δὲ τέχνην
οἶδα γραμματικὴν, οὔτε πλατωνικὸς εἶ.
πάντα μὲν οἶδα λέγεις. ἀτελὴς δ' ἐν πᾶσιν ὑπάρχεις.
γευόμενος πάντων, οὐδὲν ἔχεις ἴδιον.

## ΕΙΣ ΠΟΝΗΡΟΥΣ. 43

Ἀμμιανοῦ.

Εἴη σοι κατὰ γῆς κούφη κόνις οἰκτρὲ Νέαρχε,
ὄφρα σε ῥηϊδίως ἐξερύσωσι κύνες.

Τοῦ αὐτοῦ.

Θᾶττον ποιήσει μέλι κάνθαρος, ἢ γάλα κώνωψ,
ἢ σύ τι ποιήσεις, σκορπίος ὢν ἀγαθόν.
οὔτε γὰρ αὐτὸς ἑκὼν ποιεῖς, οὔτ' ἄλλον ἀφίης,
ὡς ἀστὴρ κρονικὸς πᾶσιν ἀπεχθόμενος.

Τοῦ αὐτοῦ.

Μητέρα τίς, πάτερ ἄλλος ἀπέκτανεν, ἄλλος ἀδελφόν.
Πολλιανὸς τοὺς τρεῖς, πρῶτος ἀπ' Οἰδίποδος.

Τοῦ αὐτοῦ.

Οὔποθ' ἡ ποδάγρα τὸν ἑαυτῆς ἄξιον εὗρεν.
ὃν ποδαγρᾶν πρὸ ἐτῶν ἄξιον ἦν ἑκατόν.

Τοῦ αὐτοῦ.

Μασταύρων ἀφελὼν δύο γράμματα Μάρκε τὰ πρῶτα,
ἄξιος εἶ πολλῶν τῶν ὑπολειπομένων.

Τοῦ αὐτοῦ.

Θηρίον εἶ παρὰ γράμμα, καὶ ἄνθρωπος διὰ γράμμα
ἄξιος εἶ πολλῶν, ὧν παρὰ γράμμα γράφῃ.

Καλλίου ἀργίου.

Αἰεὶ θηρίον ἦσθα Πολύκριτε. νῦν δὲ πεπωκὼς,
ἐξαπίνης ἐγένου λυσσομανές τι κακόν.
αἰεί μοι δοκέεις κακὸς ἔμμεναι. οἶνος ἐλέγχει
τὸν τρόπον. οὐκ ἐγένου νῦν κακὸς, ἀλλ' ἐφάνης.

Δημοδόκου.

Καὶ τόδε Δημοδόκου, χῖοι, κακοί. οὐχ ὁ μὲν, ὃς δ' οὔ,
πάντες, πλὴν Προκλέους· καὶ Προκλέης δὲ χῖος.

Τοῦ αὐτοῦ.

Καππαδόκην ποτ' ἔχιδνα κακὴ δάκεν, ἀλλὰ καὶ αὐτὴ
κάτθανε, γευσαμένη αἵματος ἰοβόλου.

Τοῦ αὐτοῦ.

Καππαδόκαι, φαῦλοι μὲν ἀεί. ζώνης δὲ τυχόντες,
φαυλότεροι. κέρδους δ' εἵνεκα, φαυλότατοι.
ἢν δ' ἄρα δὶς, καὶ τρὶς μεγάλης δράξωνται ἀπήνης,
δὴ τότε γίγνονται, φαυλεπιφαυλότατοι.
μὴ λίτομαι βασιλεῦ, μὴ τετράκις, ὄφρα μὴ αὐτὸς
κόσμος ὀλισθήσῃ καππαδοκιζόμενος.

Λουκιανοῦ.

Εἰπέ μοι εἰρομένῳ Κυλλήνιε, πῶς κατέδυνε
Λολλιανοῦ ψυχὴ δῶμα τὸ Φερσεφόνης;
θαῦμα μὲν εἰ σιγῶσα. τυχὸν δ' ἔτι καὶ σὲ διδάσκειν
ἤθελε, φεῦ, κείνου καὶ νέκυν ἀντιάσαι.

Ἀδέσποτον.

Δαμαγόραν, καὶ λοιμὸν, ἰσόψηφόν τις ἀκούσας,
ἔστησ' ἀμφοτέρων τὸν τρόπον ἐκ κανόνος.

ἐς τὸ μέρος δὲ καθεῖλκεν ἀνελκυσθὲν τὸ τάλαντον.
Δαμαγόρου λοιμὸν δ' εὗρον ἐλαφρότερον.

Ἀντιόχου.

Ψυχὴν μὲν γράψαι, χαλεπόν. μορφὴν δὲ χαράξαι,
ῥᾴδιον. ἀλλ' ἐπὶ σοὶ τοὔμπαλιν ἀμφότερα.
τῆς μὲν γὰρ ψυχῆς τὸ διάστροφον ἔξω ἄγουσα
ἐν τοῖς φαινομένοις ἡ φύσις εἰργάσατο.
τὸν δ' ἐπὶ τῆς μορφῆς θόρυβον, καὶ σώματος ὕβριν,
πῶς αὖτις γράψῃ, μηδ' ἐσιδεῖν ἐθέλων;

Τοῦ αὐτοῦ.

Γαίης ἐκ Γαλατῶν μηδ' ἄνθεα. ἧς ἀπὸ κόλπων
ἀνθρώπων ὀλέτειραι ἐριννύες ἐβλάστησαν.

## ΕΙΣ ΠΟΡΔΗΝ. 44

Νικάρχου.

Πορδὴ ἀποκτείνει πολλοὺς ἀδιέξοδος οὖσα.
πορδὴ καὶ σώζει τραυλὸν ἱεῖσα μέλος.
οὐκοῦν εἰ σώζει, καὶ ἀποκτείνει πάλι πορδή,
τοῖς βασιλεῦσιν ἴσην πορδὴ ἔχει δύναμιν.

## ΕΙΣ ΠΑΡΟΡΙΣΤΑΣ. 45

Ἀμμιανοῦ.

Κἂν μέχρις Ἡρακλέους στηλῶν ἔλθῃς παρορίζων,
γῆς μέρος ἀνθρώποις πᾶσιν ἴσον σε μένει.
κείσῃ δ' Ἴρῳ ὅμοιος, ἔχων ὀβολοῦ πλέον οὐδέν,
εἰς τὴν οὐκ ἔτι σὴν γῆν ἀναλυόμενος.

## ΕΙΣ ΡΗΤΟΡΑΣ. 46

Λουκιλλίου.

Χοιρίδιον, καὶ βοῦν ἀπολώλεκα, καὶ μίαν αἶγα.
ὧν χάριν εἴληφας μισθάριον Μενεκλεῖς.

ALEXANDER ARAGONVM DEI GRA REX FERDINANDVS

ὅτε δέ μοι κοινόντι πρὸς ὀθρυάδαν γεγένηται,
ὅτ' ἀπάγω κλέπτας τοὺς ἀπὸ θερμοπυλῶν.
ἀλλὰ πρὸς Εὐτυχίδην ἔχομεν κρίσιν. ὥστε τί ποιεῖ
ἐνθάδε μοι Ξέρξης, καὶ λακεδαιμόνιοι;
πλὴν κἀμοῦ μνήσθητι νόμου χάριν. ἢ μέγα κράξω,
ἄλλα λέγει Μενεκλῆς, ἄλλα τὸ χοιρίδιον.

Τοῦ αὐτοῦ.

Οὐ δέχεται Μάρκον τὸν ῥήτορα νεκρὸν ὁ πλούτων,
εἰπὼν, ἀρκεῖτο Κέρβερος ὧδε κύων.
εἰ δ' ἔθελεις πάντως, Ἰξίονι, καὶ Μελίτωνι
τῷ μελοποιητῇ, καὶ Τιτυῷ μελέτω.
οὐδὲν γάρ σου χεῖρον ἔχω κακὸν, ἄχρις ἂν ἔλθων
ὧδε σολοικίζῃ Ῥοῦφος ὁ γραμματικός.

Κορεαλίου.

Οὐ τὸ λέγειν παράσημα, καὶ ἀττικὰ ῥήματα πέντε,
εὐζήλως ἐστὶν, καὶ φρονίμως μελετᾶν,
οὐδὲ γὰρ εἰ κάρκαιρε, καὶ εἰ κονάβει, τό, τε σίζει,
καὶ κελάρυζε λέγεις, εὐθὺς ὅμηρος ἔσῃ,
νοῦν ὑποκεῖσθαι δεῖ τοῖς πράγμασι, καὶ φράσιν αὐτῶν
εἶναι κοινοτέραν, ὥστε νοεῖν ἃ λέγεις.

Ἀδήλου.

Εἰκὼν ἡ Σέξτου μελετᾷ, Σέξτος δὲ σιωπᾷ.
ῥήτωρ ἦν εἰκὼν. ὁ δὲ ῥήτωρ, εἰκόνος εἰκών.

Ἀββιανοῦ.

Ἑπτὰ σολοικισμοὺς Φλάκκῳ τῷ ῥήτορι δῶρον
πέμψας, ἀντέλαβον πέντε διακοσίους.
καὶ νῦν μέν φησιν τούτους ἀριθμῷ σοι ἔπεμψα.
τοῦ λοιποῦ δὲ μέτρῳ, πρὸς κύπρον ἐρχόμενος.

Τοῦ αὐτοῦ.

Ῥήτωρ ἐξαπίνης ἀσιατικός. οὐδὲν ἄπιστον.
καὶ τοῦτ' ἐν Θήβαις νῦν γέγονεν τὸ τέρας.

Λουκιλλίου.

Μὴ δὲ λαλῶν πρώην ἐσολοίκισε Φλάκκος ὁ ῥήτωρ.
καὶ μέλλων χαίνειν, εὐθὺς ἐβαρβάρισε,
καὶ τῇ χειρὶ τὰ λοιπὰ σολοικίζει διανεύων.
κἀγὼ δι᾽ αὐτὸν ἰδὼν, τὸ στόμα μου δέδεται.

Αμμιανοῦ.

Αρκαδικὸν πῖλον κατ᾽ ἐνύπνιον ἀρκάδι δῶρον
ἑρμείῃ ῥήτωρ θῆκεν ἀθηναγόρας.
εἰ μὲν καὶ ῥήτωρ κατ᾽ ἐνύπνιον, οἴσομεν ἑρμῇ.
εἰ δ᾽ ὕπαρ, ἀρνείτω, θῆκεν ἀθηναγόρας.

Τοῦ αὐτοῦ.

Εἰ θέλει τὸν παῖδα διδάξαι ῥήτορα Παῦλε,
ὡς οὗτοι πάντες γράμματα μὴ μαθέτω.

Τοῦ αὐτοῦ.

Ρήτορα Μαῦρον ἰδὼν, ἀπεθαύμασα, τὸν βαρύχειλον,
τέχνης ῥητορικῆς δαίμονα λαινοφόρον.

Τοῦ αὐτοῦ.

Αὐτὸν ὁρῶσι Μέδων τὸν ῥήτορα. φεῦ, τί τὸ θαῦμα.
ἐσφραγισμένος σιγᾷς; οὐδὲν ὁμοιότερον.

Τοῦ αὐτοῦ.

Ρήτορος ἀδ᾽ εἰκών. ὁ δὲ ῥήτωρ, ῥήτορος εἰκών.
καὶ πῶς; οὐ λαλέει. οὐδὲν ὁμοιότερον.

Τοῦ αὐτοῦ.

Πολλοῦ δεῖ, καὶ σφὶν, καὶ τρὶς παρ᾽ ἕκαστα δικασταὶ
ἄνδρες. καὶ λέγε δὴ τὸν νόμον ἔνθα δέ μοι,
καὶ τουτὶ, καὶ μῶν, καὶ τετταράκοντα, καὶ ἄττα
σκεψάμενος. καίτοι νὴ Δία, καὶ μὰ Δία.
ῥήτωρ ἐστὶ Κρίτων, καὶ παιδία πολλὰ διδάσκει.
πειθήσει δ᾽ αὐτοῖς, γοῦν φάθι, καὶ μὴν ἔτι.

Τοῦ αὐτοῦ.

Νήπιε, πῶς σε λέληθε δίκης ζυγός; οὐ νοέεις δὲ
ἀνδράσιν οὐχ ὁσίοις ψῆφον ὀφειλομένην;
ῥήτορι πιστεύεις πυκινόφρονι, σῇ τε μερίμνῃ,
ποικίλον αὐδῆσαι μῦθον ἐπισταμένῃ;
ἐλπίζειν δ' ἔξεστι. θέμιν δ' οὐκ οἶδεν ἀμεῖψαι
τῆς σῆς κλεμματικῆς παίγνια φαντασίης.

Τοῦ αὐτοῦ.

Ῥήτορα πρὸς Διόδωρον ἀνὴρ δείλαιος ἀπελθὼν,
ἤρετό μιν ζωῆς ἀμφὶ δικασπολίης.
ἡμετέρη θεράπαινα, φύγεν ποτέ. τὴν δέ τις εὑρὼν,
ἀλλοτρίην τὴν οὖν λάτριν ἐπιστάμενος,
ζεῦξεν ἑῷ θεράποντι. τέκεν δ' ὑπὸ παῖδας ἐκείνῳ.
καὶ τίνι δουλεύειν εἰσὶ δικαιότεροι;
ὃς δ' ὅτε μερμήριξε, καὶ ἔδρακε βίβλον ἑκάστην,
εἶπεν ἐπιστρέψας γυρὸν ἐπισκύνιον,
ἢ σοί, ἢ τῷ λέοντι τὴν θεράπαιναν. ἀνάγκη
δουλεύειν κείνους, ὧν χάριν ἐξερέεις.
λήζεο δ' οὖν μενέοντα δικασπόλον. αἶψα δ' ἀποίσῃ
ψῆφον ἀρειοτέρην, εἴ γε δίκαια λέγοις.

Τοῦ αὐτοῦ.

Θαυμάζειν μοι ἔπεισιν ὅπως Βύτος ἐστὶ σοφιστὴς,
μήτε λόγον κοινὸν, μήτε λογισμὸν ἔχων.

Τοῦ αὐτοῦ.

Θᾶττον ἔην λευκοὺς κόρακας, πτηνάς τε χελώνας
εὑρεῖν, ἢ δόκιμον ῥήτορα καππαδόκην.

Αδέσποτον.

Ἤθελον ἂν πλουτεῖν, ὡς πλούσιος ἦν ποτε Κροῖσος,
καὶ βασιλεὺς εἶναι τῆς μεγάλης Ἀσίης.
ἀλλ' ὅταν ἐμβλέψω Νικάνορα τὸν σοροπηγόν,
καὶ γνῶ πρὸς τί ποιεῖ ταῦτα τὰ γλωσσόκομα,
ἀκτὴν πῦ πάσσας, καὶ ταῖς κοτύλαις ὑποβρέξας,
τὴν ἀσίαν πωλῶ πρὸς μύρα, καὶ στεφάνους.

Νικάρχου.

Οὐδεὶς τὴν ἰδίην συνεχῶς Χαρίδημε γυναῖκα
αἰνεῖν ἐκ ψυχῆς τερπόμενος δύναται.
οὕτως ἡ φύσις ἐστὶ φιλόκαινος, ἀλλότριος χρώς,
καὶ ζητεῖ διόλου τὴν ξενοκασοπάτην.

Αδέσποτον.

Μὴ μύρα, μὴ στεφάνους λιθίναις στήλαισι χαρίζου,
μὴ δὲ τὸ πῦρ φλέξῃς. εἰς κενὸν ἡ δαπάνη.
ζῶντί μοι εἴτι θέλεις, χάρισαι, τέφρην δὲ μεθύσκων,
πηλὸν ποιήσεις, κοὐχ ὁ θανὼν πίεται.

Λεωνίδου.

Μὴ πάλιμοι μετὰ δόρπον ὅτ' οὐκ ἔτι γαστέρα πείθω,
οὔθατα, καὶ χοίρων ἄρτι τίθει τε μάχη.
οὐδὲ γὰρ ἐργοπόνοισι μετὰ στάχυν ὄμβρος ἄκαιρος
χρήσιμος, οὐ ναύταις ἐν λιμένι ζέφυρος.

Αλκαίου.

Πίομαι ὦ Ληναῖε πολὺ πλέον, ἢ πίε Κύκλωψ,
νηδὺν ἀνδρομέων πλησάμενος κρεάων.
πίομαι. ὥς ὄφελόν γε καὶ ἔγκαρον ἐχθροῦ ἀράξας,
βρέγμα Φιλιππείης ἐξέπιον κεφαλῆς.
ὅς πρὶν ἑταιρείοιο παρὰ κρητῆρι φόνοιο,
γεῦσατ', ἐν ἀκρήτῳ φάρμακα χευάμενος.



ALEXAND... ARAGONVM ... FERDINANDI SANC...

Αὐβιανοῦ.

Ἐχθὲς ἐπὶ ξενίαν κληθεὶς, ὅτε καιρὸς ὕπνου μοι,
τύλῃ ἐπεκλίνθην Γοργόνος, ἢ Νιόβης.
ἣν οὐδεὶς ὕφηνεν. ἀπέπρισε δ᾽. ἢ πελεκήσας,
ἐκ τῶν λατομιῶν ἤγαγεν εἰς τὰ πρόκλου.
οὐ γὰρ ἦς εἰ μὴ θᾶττον ἐπηγέρθην, Πρόκλος αὖ μοι
τὴν τύλην στήλην, ἢ σορὸν ἠργάσατο.

Στράτωνος.

Καὶ πῖνε καὶ τέρπου Δημόκρατες. οὐ γὰρ δι᾽ αἰεὶ
πιόμεθ᾽, οὐδ᾽ αἰεὶ τέρψιος ἑξόμεθα.
καὶ στεφάνοις κεφαλὰς πυκασώμεθα, καὶ μυρίσωμεν
αὐτοὺς, πρὶν τύμβοις ταῦτα φέρειν ἑτέρους.
νῦν ἐν ἐμοὶ πιέτω μέθυ τὸ πλέον ὀστέα τἀμά.
νεκρὰ δὲ Δευκαλίων αὐτὰ κατακλυσάτω.

Ἀντιπάτρου Θεσσα-
λονικέως.

Φεύγεθ᾽ ὅσοι λόκκας, ἢ λοφνίδας, ἢ καμισῆνας
ᾄδετε, ποιητῶν φῦλον ἀκανθολόγων.
οἵ τ᾽ ἐπέων κόσμον λελιγυσμένον ἀσκήσαντες,
κρήνης ἐξ ἱερᾶς πίνετε λιτὸν ὕδωρ.
σήμερον ἀρχιλόχοιο, καὶ ἄρσενος ἦμαρ ὁμήρου,
σπένδομεν. ὁ κρητὴρ οὐ δέχεθ᾽ ὑδροπότας.

Τοῦ αὐτοῦ.

Ὦ ἑλικὼν Βοιωτὲ, σὺ μέν ποτε πολλάκις ὕδωρ
εὐεπὲς ἐκ πηγέων ἔβλυσας ἡσιόδῳ.
νῦν δ᾽ ἡμῖν ἔθ᾽ ὁ κοῦρος ὁμώνυμος, αὔσονα Βάκχου
οἰνοχοεῖ κρήνης ἐξ ἀμεμφοτέρης.
Βουλοίμην δ᾽ ἂν ἔγωγε πιεῖν παρὰ τοῦδε κύπελλον
ἓν μόνον, ἢ παρὰ σοῦ χίλια πηγασίδος.

Απολλωνίδου.

γνώσεις ὦ ἑταῖρε. τὸ δὲ σκύφος αὐτὸ βοᾷ σε,
ἔγρεο, μὴ τέρπου μοιριδίῃ μελέτῃ.
μὴ φείσῃ Διόδωρε. λάβρος δ᾽ εἰς Βάκχον ὀλισθὼν,
ἄχρις ὑπὸ σφαλεροῦ ζωροπότει γόνατος.
ἔσσεθ᾽ ὅτ᾽ οὐ πιόμεσθα πολὺς χρόνος. ἀλλ᾽ ἄγ᾽ ἐπείγου.
ἡ πολιὴ κροτάφων ἅπτεται ἡμετέρων.

Αργενταρίου

Σφάλλομαι ἀκρήτῳ μεμεθυσμένος. ἀλλὰ τίς ἄρα
σώσει μ᾽ ἐκ Βρομίου γυῖα σαλευόμενον;
ὡς ἄδικον θεὸν εὗρον. ὃ δ᾽ οὕνεκεν αὐτὸς ἐγώ σε
Βάκχε φέρων, ὑπὸ σοῦ τοὔμπαλι παραφέρομαι.

Αντιπάτρου.

Οὔ μοι Πληϊάδων φοβερὴ δύσις, οὐδὲ θαλάσσης
ὠρυομένου στυφελῷ κῦμα ποτὶ σκοπέλῳ,
οὐδ᾽ ὅταν ἀστράπτῃ μέγας οὐρανὸς, ὡς κακὸν ἄνδρα
ταρβῶ, καὶ μύθων μνήμονας ὑδροπότας.

Ονέστου.

Μούσης νυθεστίην φιλοπαίγμονος εὕρετο Βάκχος,
ὦ σικυὼν, σὺ σοὶ κῶμον ἄγων χαρίτων.
δὴ γὰρ ἔλεγχον ἔχει γλυκερώτατον, ὅν τε γέλωτι
κέντρον. χὠ μεθύων, ἀστὸν ἐσωφρόνισεν.

Φιλίππου.

Λάθριον ἑρπηστὴν σκολιὸν πόδα κισσὲ χορεύεις,
ἄγχεστιν Βρομίου βοτρυόπαιδα χάριν.
ἡμεῖς δ᾽ οὐχ ἡμᾶς, ὀλέκεις δὲ σέ. τίς γὰρ ἔλοιτο
κισσὸν ὑπὸ κροτάφοις, μὴ κεράσας Βρόμιον;

Ονέστου.

Αὐτοθελὴς ἥδιστος ἀεὶ πότος. ὃς δέ κ᾽ ἀνάγκῃ,
ὑβριστὴς οἴνῳ τ᾽ ἐστὶ, καὶ οἰνοπότῃ.

τὸν μὲν γὰρ γαίη προχέει κρύφα. τὸν δ' ἀπὸ γαίης
πολλάκι πρὸς λήθης ἤγαγε πικρὸν ὕδωρ.
πλυμεθεῖς, χαίροιτε. τὸ δ' ὁππόσον ἡδὺ ποθεῖται
μέτρον, ἐμοὶ πάσης ἄρκιον εὐφροσύνης.

Αὐτομέδοντος κυζικηνοῦ.

Ἄνθρωποι δείλης, ὅτ' ἐπινόμεθ'. ἢν δὲ γένηται
ὄρθρος, ἐπ' ἀλλήλους θῆρες ἐγειρόμεθα.

Οὔ μοι μέλει Γύγαο
τοῦ σαρδίων ἄνακτος,
οὔθ' αἱρέει με χρυσὸς,
οὐδὲ φθονῶ τυράννοις,
ἐμοὶ μέλει μύροισι
καταβρέχειν ὑπήνην,
ἐμοὶ μέλει ῥόδοισι
καταστέφειν κάρηνα.
τὸ σήμερον μέλει μοι,
τὸ δ' αὔριον τίς οἶδε.
τὸν ἄργυρον τορεύσας
Ἥφαιστέ μοι ποίησον,
ποτήριον δὲ κοῖλον
ὅσον δύνῃ, βάθυνον.
ποίει δέ μοι κατ' αὐτοῦ,
μήδ' ἄστρα, μήδ' ἁμάξας,
μὴ στυγνὸν ὠρίωνα,
ἀλλ' ἀμπέλους χλοώσας,
καὶ βότρυας γελῶντας
σὺν τῷ καλῷ Λυαίῳ.

Παλλαδᾶ.

Γηράλεον με γυναῖκες ἀποσκώπτουσι, λέγουσαι
εἰς τὸ κάτοπτρον ὁρᾶν λείψανον ἡλικίης.

ARAGONUM · ALEXANDER PP VT VALENTINUS FERDINANDUS

Εἴτ' ἐγὼ εἰ λευκὰς φορέω τρίχας, εἴτε μελαίνας,
οὐκ ἀλέγω, βιότου πρὸς τέλος ἐρχόμενος.
εὐόδμοις δὲ μύροισι, καὶ εὐπετάλοις στεφάνοισι
τῷ Βρομίῳ παύω φροντίδας ἀργαλέας.

Τοῦ αὐτοῦ.

Δὸς πιέειν, ἵνα Βάκχος ἀποσκεδάσειε μερίμνας
ταῦτα δ' ἀναθερμαίνων ψυχομένην κραδίην.

Ἀδήλου.

Πῖνε, καὶ εὐφραίνου. τί γὰρ αὔριον, ἢ τί τὸ μέλλον,
οὐδεὶς γιγνώσκει. μὴ τρέχε, μὴ κοπία.
ὡς δύνασαι χάρισαι. μετάδος. φάγε. θνητὰ λογίζου.
τὸ ζῆν τοῦ μὴ ζῆν οὐδὲν ὅλως ἀπέχει.
πᾶς ὁ βίος τοιόσδε, ῥοπὴν μόνον ἂν προλάβῃ τίς.
ἂν δὲ θάνῃς, ἑτέρου πάντα, σὺ δ' οὐδὲν ἔχεις.

Ἀγαθίου σχολαστικοῦ.

Γαστέρα μὲν σεσάλακτο γέρων εὐώδεϊ Βάκχῳ
οἰνοπίων. ἔμπης δ' οὐκ ἀπέθηκε δέπας.
ἀλλ' ἔτι διψώων, ἰδίῃ κατεμέμφετο χειρὶ,
ὡς ἀπὸ κρητῆρος μηδὲν ἀφυσσαμένῃ.
οἱ δὲ νέοι ῥέγχουσι, καὶ οὐ σθένος, οὐδ' ἀπ' ἀριθμοῦ
τὰς κύλικας γνῶναι τὰς ἐπὶ πινομένας.
πῖνε γέρον, καὶ ζῆθι. μάτην δ' ἄρα θεῖος Ὅμηρος
τείρεσθαι πολιὴν ἐκ νεότητος ἔφη.

Μακεδονίου.

Ἤθελον οὐ χρυσόν τε, καὶ ἄστεα μυρία γαίης,
οὐδ' ὅσα τὰς Θήβας εἶπεν Ὅμηρος ἔχειν,
ἀλλ' ἵνα μοι προχόεσσα κύλιξ βλύσσε Λυαίῳ,
χείλεος ἀενάῳ νάματι λουομένου.
καὶ γεραρῶν συνέπινε φίλων χορός. οἱ δὲ ποθεινοὶ
ἀνέρες ἐργατίναι, κάμνον ἐφ' ἡμερίσιν.

οὗτός ἐμοὶ πολὺς ὄλβος, ἀεὶ φίλος. οὐ δ' ἀλεγίζω
τῶν χρυσέων ὑπάτων, τὴν φιάλην κατέχων.

Τοῦ αὐτοῦ.

Χανδὸν πότου βασιλῆος ἀεθλητῆρες Ἰάκχου,
ἔργα κυπελλομάχου στήσομεν εἰλαπίνης,
ἰκαρίου προχέοντες ἀφειδέα δῶρα Λυαίου.
ἄλλοισιν μελέτω Τριπτολέμοιο γέρα,
ἧχι βόες, καὶ ἄροτρα, καὶ ἰσορεὺς, καὶ ἐχέτλη,
καὶ στάχυς, ἁρπαμένης ἴχνια Φερσεφόνης.
εἴποτε δὲ σομάτεσσι βαλεῖν τινα βρῶσιν ἀνάγκη
ἀσταφὶς οἰνοπότους ἄρκιος ἢ βρομίου.

Παύλου σιλεντιαρίου.

Σπείσομεν οἰνοποτῆρες ἐγερσιγέλωτι Λυαίῳ.
ὤσομεν ἀνδροφόνον φροντίδα ταῖς φιάλαις.
σιτοδόκῳ δ' ἀγραύλος ἀνὴρ βαρύμοχθος ἰάλλοι
γαστρὶ, μελαμπέπλου μητέρα Φερσεφόνης.
ταυροφόνων δ' ἀμέγαρτα καὶ αἱμαλέων κρέα δόρπων,
θηρσὶ, καὶ οἰωνοῖς λείψομεν ὠμοβόροις.
ὀστέα δ' αὖ νεπόδων τὰ μεσίχροα, χείλεσι φωτῶν
εἰξάτω, οἷς ἀΐδης φίλτερος ἠελίου.
ἡμῖν δ' ὀλβιόδωρον ἀεὶ μέθυ, καὶ βόσις ἔστω,
καὶ ποτόν. ἀμβροσίην δ' ἄλλος ἔχειν ἐθέλοι.

Μακεδονίου ὑπάτου.

Χθιζὸν ἐμοὶ νοσέοντι παρίστατο δήϊος ἀνὴρ
ἰητρὸς, δέπαος νέκταρ ἀπειπάμενος.
εἶπε δ' ὕδωρ πίνειν ἀνεμώλιος. οὐδ' ἐδιδάχθη
ὅττι μένος μερόπων οἶνον Ὅμηρος ἔφη.

Παλλαδᾶ.

Πᾶσι θανεῖν μερόπεσσιν ὀφείλεται. οὐδέ τίς ἐστιν
αὔριον εἰ ζήσει θνητὸς ἐπιστάμενος.

Τοῦτο σαφῶς ἄνθρωπε μαθὼν, εὔφραινε σεαυτὸν,
λήθην τοῦ θανάτου τὸν Βρόμιον κατέχων.
τέρπεο, καὶ σκίρτα, τὸν ἐφήμερον βίον ἕλκων.
τἄλλα δὲ πάντα τύχῃ πράγματα δὸς διέπειν.

Μακεδονίου ὑπάτου.

Ἀνέρες, οἷσι μέμηλεν ἀπήμονος ὄργια Βάκχου,
ἐλπίσιν ἡμερίδων ῥίψατε τὴν πενίην.
αὐτὰρ ἐμοὶ, κρητὴρ μὲν ἔοι δέπας. ἄγχι δὲ, ληνός.
ἄγχι, πίθος, λιπαρῆς ἔνδιον εὐφροσύνης.
αὐτίκα δ' ἡμετέροιο πιὼν κρητῆρα Λυαίου,
παισὶ Καναστραίοις μαρναμένην ἐθέλω.
οὐ τρομέω δὲ θάλασσαν ἀμείλιχον, οὐδὲ κεραυνὸς,
πιστὸν ἀταρβήτου θάρσος ἔχων Βρομίου.

Ἀγαθίου σχολαστικοῦ.

Ἡμεῖς μὲν πατέοντες ἀπείρονα καρπὸν ἰάκχου,
ἄμμιγα βακχευτὴν ῥυθμὸν ἀνεπλέκομεν.
ἤδη δ' ἄσπετον οἶδμα κατέρρεεν. οἷα δὲ λέμβοι
κισσύβια γλυκερῶν νήχεθ' ὑπὲρ ῥοθίων.
οἷσιν ἀφυσσάμενοι, χέλιον ποτὸν ἤνομεν ἤδη,
βορμὸν νηϊάδων οὐ μάλα δευόμενοι.
ἡ δὲ καλὴ ποτὶ ληνὸν ὑπερκύψασα ῥοδάνθη,
μαρμαρυγῇ κάλλους νᾶμα κατηγλάϊσεν.
πάντων δ' ἐκδεδόνηντο θοαὶ φρένες. οὐδέ τις ἡμέων
ἦεν, ὃς οὐ Βάκχῳ δάμνατο, καὶ Παφίῃ.
τλήμονες. ἀλλ' ὁ μὲν, εἷρπε παραὶ ποσὶν ἄφθονος ἡμῖν.
τῆς δ' ἄρ' ὑπ' ἐλπωρῇ μοῦνον ἐπαιζόμεθα.

Ἄδηλον.

Οὐδὲν ἁμαρτήσας, γενόμην παρὰ τῶν με τεκόντων.
γεννηθεὶς δ' ὁ τάλας, ἔρχομαι εἰς ἀΐδην.

ὢ μίξις γλυκεῶν θανατηφόρος. ὤμοι ἀνάγκης,
ἥ με πελάσσει τάχος συγγρῷ θανάτῳ.
οὐδὲν ἐὼν γενόμην. πάλιν ἔσσομαι ὡς πάρος οὐδέν.
οὐδὲν καὶ μηδὲν τῶν μερόπων τὸ γένος.
λοιπόν μοι τὸ κύπελλον ἀποστίλβωσον ἑταῖρε,
καὶ λύπης λήθην τὸν Βρόμιον πάρεχε.

Ἀργενταρίου.

Ἀρχαίη σύνδειπνε, καπηλικὰ μέτρα φιλεῦσα,
εὔλαλε, πρηΰγελως, εὔστομε, μακροφάρυγξ,
αἰὲν ἐμῆς πενίης βραχυσύμβολε, μυστιλάγωνε,
ἦλθες ὅμως ὑπ' ἐμὴν χεῖρά ποτε χρόνιος.
αἴθ' ὄφελες καὶ ἄμικτος, ἀνύμφευτός τε παρεῖναι,
ἄφθορος, ὡς κούρη πρὸς πόσιν ἐρχομένη.

Ἀδήλου.

Τάνταλος οὐδὲν ἔτρωγε. πινασσομένων γὰρ ὕπερθεν
καρπὸς ὑπὲρ κεφαλῆς αὐτὸν ἔφευγε φυτῶν.
καὶ διὰ τοῦτο τροφῆς κεχρημένος, ἧττον ἐδίψα.
εἰ δὲ καὶ ἔτρωγεν σῦκα πεπαινόμενα,
καὶ βραβίλους, καὶ μῆλα, τί τηλίκον ἀνδράσι νεκροῖς
δίψος ἀπὸ χλωρῶν γίγνεται ἀκροδρύων;
ἡμεῖς δ' ἐσθιόμεν κεκλημένοι ἁλμυρὰ πάντα,
χοίρια, καὶ τυροὺς, χηνὸς ἁλιστὰ λίπη.
ὄρνια, καὶ μόσχεια. μίαν δ' ἐπιπίνομεν αὐτοῖς.
πάσχομεν οὐκοῦν σοῦ Τάνταλε, πικρότερα.

Ἀδεσπότου.

Ἀνθρώποις ὀλίγος μὲν ὁ πᾶς χρόνος, ὃν ποτὲ δειλοὶ
ζῶμεν. κἢν πολιὸν γῆρας ἅπασι μένῃ,
τῆς δ' ἀκμῆς καὶ μᾶλλον. ὅτ' οὖν χρόνος ὥριος ἡμῖν,
πάντα χύδην ἔστω, ψαλμὸς, ἔρως, προπόσεις.

ἀμῶν τοὐντεῦθεν. γήρως βάθος. οὐδὲ δέκα μυῶν
σήσεις. τοιαύτης ἐκδέχετ' ὀρχιπέδη.

Ἀδήλου.

πῶς γενόμην; πόθεν εἰμί; τίνος χάριν ἦλθον; ἀπελθεῖν
πῶς δύναμαι τί μαθεῖν, μηδὲν ἐπιστάμενος;
οὐδὲν ἐὼν γενόμην. πάλιν ἔσσομαι ὡς πάρος ἦα.
οὐδὲν καὶ μηδὲν τῶν μερόπων τὸ γένος.
ἀλλ' ἄγε μοι Βάκχοιο φιληδόνον ἔντυε νᾶμα.
τοῦτο γάρ ἐστι κακῶν φάρμακον ἀντίδοτον.

Νικάρχου.

Ἑρμαῖος ἡμῖν ἀφροδίσιος ἐξ χοὰς οἴνου
αἴρων, πεσὼν κάτω, πένθος ἔθηκε μέγα.
οἶνος καὶ κένταυρον ἀπώλεσεν. ὡς ὄφελεν δὲ
χήμᾶς. νῦν δ' ἡμεῖς τοῦτον ἀπωλέσαμεν.

Παρμενίωνος.

Ὅστις ἔσω πυροὺς καταλαμβάνει οὐκ ἀγοράζων,
κείνου ἀμαλθείας ἡ γυνή ἐστι κέρας.

Λουκιανοῦ.

Τὸν τοῦ δειπναρίου νόμον οἴδατε. σήμερον ὑμᾶς
Αὖλε καλῶ καινοῖς δόγμασι συμποσίου.
οὐ μελοποιὸς ἐρεῖ κατακείμενος, οὔτε παρέξεις,
οὔθ' ἕξεις αὐτὸς πράγματα γραμματικά.

Ἀδήλου.

Ἦν στέφανος πτωχὸς, καὶ παῖς ἅμα νῦν δὲ πεσὼν κάτω,
πλουτεῖ, καὶ γεγόνε οὐδὲ θυ φιλοστέφανος,
τέσσαρα τῷ πρώτῳ στεφάνῳ καλὰ γράμματα προσθείς.
ἔσται δ' εἰς ὥρας ἱπποκρατιππιδίας.
ἢ διὰ τὴν ἀπάτην, διονυσιοπηγανόδωρος,
ἢ δι' ἀγορανομίαν, παντὶ μένει στέφανος.

Ἄδηλον.

Ὠκύμορόν με λέγουσι δαήμονες ἀνέρες ἄστρων.
εἰμὶ μέν, ἀλλ' οὔ μοι τοῦτο Σέλευκε μέλει.
εἰς ἀΐδην πάντεσσι καταίβασις. εἰ δὲ τάχιον
ἡμετέρη, Μίνω θᾶσσον ἐποψόμεθα.
πίνωμεν. καὶ γὰρ δὴ ἐτήτυμον εἰς ὁδὸν ἵππος
οἶνος, ἐπεὶ πεζοῖς ἀτραπὸς εἰς ἀΐδην.

Ἄδηλον.

Πρίν τε θανὼν κείσῃ κατέχων πόδας. οὐδὲ τὰ τερπνὰ
ζωῆς, οὐδ' αὐγὰς ὄψεαι ἠελίου.
ὥστε λαβὼν Βάκχου ζωρὸν δέπας, ἕλκε γεγηθώς,
Κίγκιε, καλλίστην ἀγκὰς ἔχων ἄλοχον.
εἰ δέ σοι ἀθάνατος σοφίης νόος, ἴσθι Κλεάνθης,
καὶ Ζήνων, ἀΐδην τὸν βαθὺν ὡς ἔμολον.

Ἄδηλον.

Η πτωχῶν χαρίεσσα πανοπλίη ἀρτολάγυνος
αὕτη, καὶ δροσερῶν ἐκ πετάλων στέφανος,
καὶ τοῦτο φθιμένοιο προάστιον ἱερὸν ὀστεῦν,
ἐγκεφάλου ψυχῆς φρούριον ἀκρότατον,
πῖνε λέγει τὸ γλύμμα, καὶ ἔσθιε, καὶ περίκεισο
ἄνθεα. τοιοῦτοι γιγνόμεθ' ἐξαπίνης.

Ἀδέσποτον.

Ἐχθές μοι συνέπινε γυνή, πόθεν ἧς λόγος ἔρρει,
οὐχ ὑγιής, παῖδες, θραύσατε τὰς κύλικας.

Ἄδηλον.

Ἑπτὰ τριηκόντεσσιν ἐπέρχονται λυκάβαντες,
ἤδη μοι βιότου, σχιζόμεναι σελίδες.

ξανθίππης συνετῆς, ἄγγελοι ἡλικίης.



ALEXANDER ... FERDINANDUS

ἀλ' ἔτι μοι ψαλμός τε λάλος, κῶμοί τε μέλλονται,
καὶ πῦρ ἀπλείστῳ τύφετ' ἐνὶ κραδίῃ.

Ἄδηλον.

ὅς μοι τὴν γαίης πεπονημένον ἀδὺ κύπελλον,
ἧς γενόμην, καὶ ὑφ' ᾇ κείσομ' ἀποφθίμενος.

Ἄδηλον.

Βάκχου μέτρον ἄριστον, ὃ μὴ πολὺ, μήδ' ἐλάχιστον.
ἔστι γὰρ ἢ λύπης αἴτιος, ἢ μανίης.
χαίρει κιρνάμενος τρισὶ νύμφαις τέτρατος αὐτός.
τῆμος καὶ θαλάμοις ἐστὶν ἑτοιμότατος.
εἰ δὲ πολὺς πνεύσειεν, ἀπέστραπται μὲν ἔρωτας.
βαπτίζει δ' ὕπνῳ γείτονι τοῦ θανάτου.

## ΕΙΣ ΤΟΛΜΗΡΟΥΣ. 48

Παλλαδᾶ.

Μηδὲν ἄγαν τῶν ἑπτὰ σοφῶν ὁ σοφώτατος εἶπεν.
ἀλλὰ σὺ μὴ πεισθεὶς Γέσιε, τοῦτ' ἔπαθες.
καὶ λόγιός περ ἐὼν, ἀλογώτατον ἔσχες ὄνειδος,
ὡς ἐπιθυμήσας οὐρανίης ἀνόδου.
οὕτω πήγασος ἵππος ἀπώλεσε Βελλεροφόντην,
βουληθέντα μαθεῖν ἀστροθέτους κανόνας.
ἀλλ' ὁ μὲν, ἵππον ἔχων, καὶ θαρσαλέον σθένος ἥβης,
Γέσιος οὐδὲ χέσειν εὔτονον ἦτορ ἔχων.

Τοῦ αὐτοῦ.

Μηδεὶς ζητήσει μερόπων ποτὲ καὶ θεὸς εἶναι,
μήδ' ἀρχῆς μεγάλης κόμπον ὑπερφίαλον.
Γέσιος αὐτὸς ἔδειξε. κατηνέχθη γὰρ ἐπαρθεὶς,
θνητῆς εὐτυχίης μηδὲν ἀναχόμενος.
ὦ γένος ἀνθρώπων ἀνεμώλιον, αὐτοχόλωτον,
μέχρι τέλους βιότου μηδὲν ἐπιστάμενον.



ALEXANDRI ... ARAGONVM ... FERDINANDI DE SANTI ...

Τοῦ αὐτοῦ.

Γέσιον ὡς γνόησεν ὁ Βαύκαλος ἄρτι θανόντα,
χωλεύοντα πλέον, τοῖον ἔλεξεν ἔπος,
Γέσιε, πῶς, τί παθὼν κατέβης δόμον εἰς ἀΐδαο,
γυμνὸς, ἀκήδεστος, σχήματι καινοτάτῳ;
τὸν δὲ μέγ᾽ ὀχθήσας, προσεφώνεε Γέσιος εὐθὺς,
Βαύκαλε, τὸ στρῶνος καὶ θάνατον παρέχει.

Τοῦ αὐτοῦ.

Οἱ δύο Καλχαντες τὸν Γέσιον ὤλεσαν ὅρκοις,
τῶν μεγάλων ὑπάτων θῶκον ὑποσχόμενοι.

Τοῦ αὐτοῦ.

Τὴν ἀμμωνιακὴν ἀπάτην ὅτε Γέσιος ἔγνω,
τοῦ ξενικοῦ θανάτου ἐγγύθεν ἐρχομένου,
τὴν ἰδίην γνώμην κατεμέμψατο, καὶ τὸ μάθημα,
καὶ τοὺς φθειρομένους ἀστρολόγοις, ἀλόγοις.

## ΕΙΣ ΥΒΡΙΣΤΑΣ. 49

Τοῦ αὐτοῦ πάντα.

Ὑβρίζεις; τί τὸ θαῦμα, τί δυσχερές; ἀλλὰ φέρω σε.
τῶν γὰρ ὑβριζόντων ἡ θρασύτης κόλασις.

Πολλὰ λαλεῖς ἄνθρωπε· χαμαὶ δὲ τίθῃ μετὰ μικρὸν.
σίγα, καὶ μελέτα ζῶν ἔτι τὸν θάνατον.

Ἥλιος ἀνθρώποις αὐγῆς θεός. εἰ δὲ καὶ αὐτὸς
ὕβριζεν φαίνων, οὐδὲ τὸ φῶς ἐπόθουν.

Οὐκ ἐμὲ, τὴν πενίην δὲ καθύβρισας. εἰ δὲ καὶ ὁ Ζεὺς
ἦν ἐπὶ γῆς πτωχὸς, καὐτὸς ἔπασχεν ὕβριν.

πεύθομαι, τί πάθω; τί με μισεῖς οὐκ ἀδικοῦντα;
πταῖσμα τόδ' ἐστὶ τύχης, οὐκ ἀδίκημα τρόπων.
ἀνίζειν μὲν ἄριστον. ὁ δὲ ψόγος ἔχθεος ἀρχή.
ἀλλὰ κακῶς εἰπεῖν, ἀστικὸν οὐ μέλει.
Τ[illegible] πιστάνῳ πωλοῦντι τὸ κελλίον ἐχθὲς ἔδωκα,
[illegible] φοβερὸν πύκτην σήμερον εὗρον ἔσω.
ὡς [illegible] ἔλεγον σὺ τίς εἶ; πόθεν ἤλυθες ἡμέτερον δῶ;
[illegible]υγμαχίης κατ' ἐμοῦ χεῖρας ἀνέχων αὖθι.
ψύ[illegible] δ' ἐγὼ κατέτεινα φοβούμενος ἄγριον ἄνδρα,
[illegible] πιστάνῳ πύκτην ἐξαπίνης ὁρόων.
ἀλλά [illegible] πρὸς πύκτου Πολυδεύκεος, ἠδὲ καὶ αὐτοῦ
Κάστορος ἱκνοῦμαι, καὶ Διὸς ἱκεσίου,
τὸν πύκτην ἀπόκρυσσον ἐμὸν χόλον. οὐ δύναμαι γὰρ
πυκτεύειν καθάπαξ ἤδη ἐπερχομένου.

ΕΙΣ ΦΕΙΔΩΛΟΥΣ. Λουκιλλίου. 50.

Οὐ γλήχωνι Κρίτων ὁ φιλάργυρος, ἀλλὰ διχάλκῳ
αὐτὸν ἀποσφραίνει θλιβομένου στομάχου.

Αδηλον.

Πλουτεῖν φασί σε πάντες. ἐγὼ δέ σε φημὶ πένεσθαι.
χρῆσις γὰρ πλούτου, μάρτυς Ἀπολλόφανες.
ἂν μετέχῃς αὐτῶν σὺ, σὰ γίγνεται. ἂν δὲ φυλάττῃς
κληρονόμοις, ἀπὸ νῦν γίγνεται ἀλλότρια.

Αντιφάνους.

[illegible] φίζεις κακόδαιμον. ὁ δὲ χρόνος ὡς τόκον, οὕτω
καὶ πολιὸν τίκτει γῆρας ἐπερχόμενον.
κοὔτε πιὼν, οὔτ' ἄνθος ἐπὶ κροτάφοις ἀναδήσας,
οὐ μύρον, οὐ γλαφυρὸν γνοὺς τι μελισμάτιον,
τεθνήξῃ, πλουτοῦσαν ἀφεὶς μεγάλην διαθήκην,
ἐκ πολλῶν ὀβολῶν μοῦνον ἐνεγκάμενος.



ALEXANDER ... ARAGONUM ... FERDINANDUS SANTINUS

Πωλιανοῦ.

Χαλκὸν ἔχων, πῶς οὐδὲν ἔχεις; μάθε. πάντα δανείζ(εις)
οὕτως οὐδὲν ἔχεις αὐτὸς ἵν' ἄλλος ἔχῃ.

Νικάρχου.

Ἐχθὲς ἀπαγχεσθαι μέλλων Δείναρχος ὁ φείδων
Γλαῦκε, δι' ἓξ χαλκοὺς δύσμορος οὐκ ἔθανεν.
ἓξ χαλκῶν ἦν γὰρ τὸ σχοινίον. ἀλλ' ἐδυσώνει,
ὤνιον ζητῶν ἄλλον ἴσως θάνατον.
τοῦτο φιλαργυρίας δεινῆς ὅρος. ὅσγ' ἀποθνήσκων
Γλαῦκε, δι' ἓξ χαλκοὺς δύσμορος οὐκ ἔθανεν.

Τοῦ αὐτοῦ.

Δακρύει Φείδων ὁ φιλάργυρος οὐχ ὅτι θνήσκει,
ἀλλ' ὅτι πέντε μνῶν τὴν σορὸν ἐπρίατο.
ταῦτ' αὐτῷ χαρίσασθε. καὶ ὡς τόπος ἐστὶν ἐν αὐτῇ,
τῶν πολλῶν τεκνίων ἕν τι προσεμβάλετε.

Λουκιλλίου.

Θνήσκων Ἑρμοκράτης ὁ φιλάργυρος, ἐν διαθήκαις
αὐτὸν τῶν ἰδίων ἔγραφε κληρονόμον.
ψηφίζων δ' ἀνέκειτο πόσον δώσει μεγερθεὶς
ἰητροῖς μισθοῦ, καὶ τί νοσῶν δαπανᾷ.
ὡς δ' εὗρε πλείω δραχμὴν μίαν ἢν διασωθῇ,
λυσιτελεῖ θνήσκειν εἶπε, καὶ ἐξετάθη.
κεῖται δ' οὐδὲν ἔχων ὀβολοῦ πλέων. οἱ δὲ, τὰ κείνου
χρήματα κληρονόμοι ἥρπασαν ἀσπασίως.

Τοῦ αὐτοῦ.

Γεννηθὲν τὸ τέκνον, κατεπόντισεν Αὖλος ὁ κυφός,
ψηφίζων αὐτοῦ σωζομένου δαπάνας.

Τοῦ αὐτοῦ.

Εἰ τὸ μὲν ἐκδεδάνεικας, ὃ δ' ἄρτι δίδως, ὃ δὲ μέλλεις,
οὐδέποτ' εἶ τοῦ σοῦ κύριος ἀργυρίου.

Παλλαδᾶ.

[Τ]ῆς ταχίστης ἁρπαγῆς τῆς τοῦ βίου.
[τὴ]ρ δανειστὴς τῶν χρόνων γλύφων τόκους,
[...]νικεν οὐδεὶς ἐν ῥοπῆς καιρῷ βραχεῖ,
ἐν [δα]κτύλοισι σοῦ τόκους σφίγγων ἔτι.

Τοῦ αὐτοῦ.

Δακτ[υ]λικὴν ψῆφόν τις ἔχων περὶ τὰ δάκτυλα χειρῶν,
ψ[ήφ]ῳ τοῦ θανάτου προὔλαβεν εἰς ἀίδην.
ζῇ δ' [ἡ] ψῆφος νῦν τοῦ ψηφίζοντος ἑταίρη,
ψυ[χῆ]ς ἁρπαγίμης ἔνθεν ἐλαυνομένης.

Τοῦ αὐτοῦ.

Πλοῦτον μὲν πλουτοῦντος ἔχεις ψυχὴν δὲ πένητος.
ὦ τοῖς κληρονόμοις πλούσιε, σοὶ δὲ πένης.

Λουκιλλίου.

Θρασύμαχε, πλοῦτον πολὺν ὤλεσας ἐξ ἐπιβουλῆς,
εἰς οὐδὲν δ' ἥκεις ἄθλιος ἐξαπίνης,
φεισάμενος, δανείσας, τοκίσας τόκον, ὑδροποτίζας,
πολλάκι μὴ δὲ φαγὼν, ὥστε τι πλεῖον ἔχειν.
ἀλλ' εἴ μοι λογίσαιο τὸ πίνειν καὶ τότε, καὶ νῦν,
οὐδὲν ἔλαττον ἔχεις, ὧν τότ' ἔδοξας ἔχειν.

Αὐτομέδοντος.

Ἐχθὲς δειπνήσας τράγου πόδα, καὶ δεκαταῖον
καννάβινης κράμβης μήλινον ἀσπάραγον,
εἰπεῖν, τὸν καλέσαντα φυλάσσομαι. ἔστι γὰρ ὀξὺς.
[κ]αὶ φόβος οὐχ ὁ τυχὼν, μή με πάλιν καλέσῃ.

Μακεδονίου ὑπάτου.

[Ε]ἰδωλός τις ἀνὴρ ἀφόων θησαυρὸν ὀνείρῳ,
ἤθελ' ἀποθνήσκειν πλούσιον ὕπνον ἔχων.
ὡς δ' ἴδε τὴν προτέρην σκιόεν μετὰ κέρδος ὀνείρου
ἐξ ὕπνου πενίην, αὖτις κάθευδε πάλιν.



[library stamp: ... GONUM · ALEXANDER ... FERDINANDUS ...]

Παλλαδᾶ.

Πάντες ἅπαξ τρώγουσιν. ὅταν δὲ τρέφῃ Σαλαμῖνος,
οἴκαδ' ἀριστῶμεν δεύτερον ἐρχόμενοι.

Ἀμμιανοῦ.

Ὡς κῆπον τεθνηκὼς δεῖπνον παρέθηκεν Ἀπελλῆς,
οἰόμενος βόσκειν ἀντὶ φίλων πρόβατα.
ἦν ῥαφανίς, σέρις ἦν, τῆλυς, θρίδακες, πράσα, βολβός,
ὤκιμον, ἡδύοσμον, πήγανον, ἀσπάραγος.
δείσας δ' ἐκ τούτων μὴ καὶ χόρτον παραθῇ μοι,
δειπνήσας θέρμους ἡμιβρεχεῖς ἔφυγον.

Λουκιλλίου.

Ποιήσας δαπάνην ἐν ὕπνοις ὁ φιλάργυρος Ἕρμων,
ἐκ περιωδυνίας αὑτὸν ἀπηγχόνισεν.

Εἰς εἰκόνα Ἀναστασίου βασιλέως ἐν τῷ Εὐρίπῳ.

Εἰκόνα σοὶ βασιλεῦ κοσμοφθόρε τήνδε σιδήρου
ἄνθεσαν, ὡς χαλκοῦ πολλὸν ἀτιμοτέρην
ἀντὶ φόνου, πενίης τ' ὀλοῆς, λιμοῦ τε, καὶ ὀργῆς,
οἷς πάντας φθείρεις ἐκ φιλοχρημοσύνης.

Εἰς τὸ αὐτό.

Ἐγγύθι τῆς Σκύλλης χαλεπὴν στήσαντο Χάρυβδιν,
ἄγριον ὠμηστὴν τοῦτον Ἀναστάσιον.
δείδιθι καὶ σὺ Σκύλλα τεαῖς φρεσί, μή σε καὶ αὐτὴν
βρώξῃ χαλκείην δαίμονα κερματίσας.

Λουκιλλίου.

Εἰ μὲν ζῇς ἐλάφου τανυὸν χρόνον, ἠὲ κορώνης,
συγγνώμη, πλεῖστον πλοῦτον ἀγειρομένῳ.
εἰ δέ τις ἐσσὶ βροτῶν, οὓς αὐτίκα γῆρας ἰάπτει,
μή σέ γ' ἀπειρεσίων οἶστρος ἕλῃ κτεάνων.
μὴ σὺ μὲν ἀτλήτοισιν ἐν ἄλγεσι θυμὸν ὀλέσσῃς,
χρήσωνται δ' ἄλλοι τοῖς ἀγαθοῖς ἀνέδην.

Τοῦ αὐτοῦ.

ν ἀσκληπιάδης ὁ φιλάργυρος εἶδεν ἐν οἴκῳ.
καὶ τί ποιεῖς φησιν φίλτατε μῦ παρ' ἐμοί;
ὁ δ' ὁ μῦς γελάσας, μηδὲν φίλε φησὶ φοβηθῇς.
ὶ τροφῆς παρὰ σοὶ χρῄζομεν, ἀλλὰ μονῆς.

Ἄδηλα.

Ἀργυ… ἐκ λιμῷ τίς ὢν εἰλαπίνην με καλέσας,
ἔκτανε, ψυχαλέους τοὺς πίνακας προφέρων.
ὀχθήσας δ' ἄρ' ἔειπον ἐν ἀργυροφεγγέϊ λιμῷ,
πῶς μοι χορτασίη ὀστρακίνων πινάκων;
ἐζήτου… πινάκων πόθεν οὔνομα τοῦτο καλέσσω.
καὶ παρὰ σοὶ κληθεὶς, εὗρον ὅθεν λέγεται.
πείνης γὰρ μεγάλης, μεγάλους πίνακας παρέθηκας,
ὄργανα τοῦ λιμοῦ πειναλέους πίνακας.

Μή με κάλει δίσκων ἐπίστορα λιμοφορήων,
βροτὴν μοι φορέων τὴν κολοκυνθιάδα.
ἀργυρέην ὕλην ὁ τρωγομένην παραβάλλεις,
λιμῷ κρηπίζων τοὺς μελέους πίνακας.
ζήτει νηστεύοντας ἂν ἀργαλέην ἐπίδειξιν.
καὶ τότε θαυμάσῃ, κοῦφον ἄσημον ἔχων.

Πολλὰς μυριάδας ψηφίζει ἀρτεμίδωρος.
καὶ μηδὲν δαπανῶν, ζῇ βίον ἡμιόνων.
πολλάκις αἳ χρυσοῦ τὰ μαλφέα φόρτον ἔχουσαι,
πολλὸν ὑπὲρ νώτου χόρτον ἔδουσι μόνον.

ΕΙΣ ΦΘΟΝΕΡΟΥΣ. Λουκιλλίου. 51

Μακροτέρῳ σταυρῷ σταυρούμενον ἄλλον, ἑαυτοῦ
ὁ φθονερὸς Διοφῶν ἐγγὺς ἰδὼν ἐτάκη.

Τοῦ αὐτοῦ.

Εἶναι μὲν κυνικόν σε Μενέκρατες, κἀνυπόδητον,
καὶ ῥιγοῦν, οὐδεὶς ἀντιλέγει καθόλου.
ἂν δὲ παραρπάζῃς ἄρτους, καὶ κλάσματ' ἀναιδῶς,
κἀγὼ ῥάβδον ἔχω καὶ σὲ λέγουσι κύνα.

Τοῦ αὐτοῦ.

Πᾶς ὃς ἂν ᾖ πτωχὸς, καὶ ἀγράμματος, οὐκ ἔτ' ἀλήθει
ὡς τοπρὶν, οὐδ' αἴρει φορτία μισθαρίου.
ἀλλὰ τρέφει πώγωνα. καὶ ἐκ τριόδου ξύλον ἄρας,
τῆς ἀρετῆς εἶναί φησιν ὁ πρωτοκύων.
Ἑρμοδότου τόδε δόγμα τὸ πάνσοφον, εἴτις ἀχαλκεῖ,
μηκέτι πεινάτω, θεὶς τὸ χιτωνάριον.

Ἀμμιανοῦ.

Οὗτος ὁ τῆς ἀρετῆς ἀδάμας βαρὺς, οὗτος ὁ πάντη
πᾶσιν ἐπιπλήσσων, οὗτος ὁ ῥιγομάχας,
καὶ πώγωνα τρέφων, ἑάλω. τί γὰρ ἀπρεπὲς εἰπεῖν;
ἀλλ' ἑάλω, ποίων ἔργα κακοστομάχων.

Τοῦ αὐτοῦ.

Οἴει τὸν πώγωνα φρενῶν ποιητικὸν εἶναι,
καὶ διὰ τοῦτο τρέφεις φίλτατε μυοσόβην;
κεῖρον ἐμοὶ πεισθεὶς ταχέως. οὗτος γὰρ ὁ πώγων,
φθειρῶν ποιητὴς, οὐχὶ φρενῶν γέγονεν.

Τοῦ αὐτοῦ.

Ὠγαθὲ, καὶ μῶν οὖν, καὶ ποῖ δὴ, καὶ πόθεν ὦ τᾶν,
καὶ θαμὰ, καὶ φέρε δὴ, καὶ κομιδῆ, καὶ ἴθι,
καὶ στόλιον, μάλιον, πωγώνιον, ὤμοιον ἔξω,
ἐκ τούτων ἡ νῦν εὐδοκιμεῖ σοφία.

Ἀντιπάτρου.

Αἰάζει πήρη τε, καὶ ἡράκλειον ἄριστον,
Βεμβυσινωπίτου Διογένους ῥόπαλον.

τὸ χύσιν ῥυπόωντι πίνῳ πεπλαγμένον ἔθος,
διπλάσιον κρυερῶν ἀντίπαλον νιφάδων.
γι τεοῖς ὤμοισι μιαίνεται. ἦ γάρ ὁ μέν που
οὐράνιος. σὺ δ' ἔφυς ὃν ἀποσίησι κύων.
α ὲ μέθες, μέθες ὅπλα τὰ μὴ σέθεν. ἄλλο λεόντων,
ἄλλο γενειητῶν ἔργον ὄρωρε τράγων.

Παλλαδᾶ εἰς Θεμίστιον τὸν φιλόσοφον, γενόμενον ὕπαρχον κωνσταντίνου πόλεως, ἐπὶ οὐαλεντινιανοῦ, καὶ οὐάλεντος.

Ἄντυγος οὐρανίης ὑπερήμενος, εἰς πόθον ἦλθες
ἄντυγος ἀργυρέης, αἶσχος ἀπειρέσιον.
ἦσθά ποτε κρείσσων. αὖθις δ' ἐγένου πολὺ χείρων.
δεῦρ' ἀνάβηθι κάτω. νῦν γὰρ ἄνω κατέβης.

Τοῦ αὐτοῦ.

Εἰ τὸ τρέφειν πώγωνα δοκεῖ σοφίαν περιποιεῖν,
καὶ τράγος εὐπώγων, εὔστολός ἐστι Πλάτων.

Τοῦ αὐτοῦ.

Ἄλλον ἀριστοτέλην, Νικόστρατον, ἰσοπλάτωνα,
σκινδαλμοφράστην αἰπυτάτης σοφίης,
τοῖα περὶ ψυχῆς τις ἀνήρετο, πῶς θέμις εἰπεῖν
τὴν ψυχὴν θνητήν, ἢ πάλιν ἀθάνατον;
σῶμα δὲ δεῖ καλέειν, ἢ ἀσώματον; ἐν δὲ νοητοῖς
τακτέον, ἢ ληπτοῖς, ἢ τὸ συναμφότερον;
αὐτὰρ ὁ, τὰς βίβλους ἀνελέξατο τῶν μετεώρων,
καὶ τὸ περὶ ψυχῆς ἔργον ἀριστοτέλους.
καὶ παρὰ τῷ φαίδωνι πλατωνικὸν ὕψος ἐπιγνούς,
πᾶσαν ἐνισκήνθη πάντοθεν ἀτρεκίην.

εἶτα περιστέλλων τὸ τριβώνιον, εἶτα γενείου
ἄκρα κατὰ ψήχων, τὴν λύσιν ἐξέφερεν.
εἴπερ ὅλως ἐστὶ ψυχῆς φύσις, οὐδὲ γὰρ οἶδα,
ἢ θνητὴ πάντως ἐστὶν, ἢ ἀθάνατος.
σεμνοφυὴς, ἢ ἄϋλος· ὅταν δ᾽ Ἀχέροντα περήσῃς,
κεῖθι τὸ νημερτὲς γνώσεαι ὡς ὁ Πλάτων.
εἰ δ᾽ ἐθέλεις, τὸν παῖδα Κλεόμβροτον Ἀμβρακιώτην
μιμοῦ, καὶ τεγέων σὸν δέμας ἐκχάλασον
καί κεν ἐπιγνοίης δίχα σώματος αὐτίκα σαυτὸν
μοῦνον ὅπερ ζητεῖς, τοῦθ᾽ ὑπολειπόμενον.

Τοῦ αὐτοῦ.

Εἰ μοναχοί, τί τοσοίδε; τοσοίδε τε, πῶς πάλι μοῦνοι;
ὦ πληθὺς μοναχῶν, ψευσαμένη μονάδα.

Τοῦ αὐτοῦ.

Τοῦ πωγωνοφόρου κυνικοῦ τοῦ βακτροπροσαίτου,
εἴδομεν ἐν δείπνῳ τὴν μεγάλην σοφίην.
θέρμων μὲν γὰρ πρῶτον ἀπέσχετο καὶ ῥαφανίδων,
μὴ δεῖν δουλεύειν γαστρὶ λέγων ἀρετήν.
εὖτε δ᾽ ἐν ὀφθαλμοῖσιν ἴδεν χιονώδεα βολβὸν
στρυφνὸν, ὃ πινυτὸν ἤδη ἔκλεπτε νόον,
ᾔτησεν παρὰ προσδοκίαν, καὶ ἔτρωγεν ἀληθῶς,
κοὐδὲν ἔφη βολβὸν τὴν ἀρετὴν ἀδικεῖν.

## ΕΙΣ ΧΩΛΟΥΣ. 53

Παλλαδᾶ.

Χωλὸν ἔχεις τὸν νοῦν, ὡς τὸν πόδα· καὶ γὰρ ἀληθῶς
εἰκόνα τῶν ἐντὸς σὴ φύσις ἐκτὸς ἔχει.

Τοῦ αὐτοῦ.

…όν ἔχεις τὸν ἔρωτα, γυναῖκα δὲ τὴν ἀφροδίτην.
οὐκ ἀδίκως χαλκοῦ, τὸν πόδα χωλὸν ἔχεις.

Ἄδηλον.

Μ… πτωχὲ θεὰ, μόνη πλούτου δαμάτειρα,
… τὸ καλῶς ζῆσαι πάντοτ' ἐπισταμένη.
εἰ δ… σοὶ ἀλλοτρίοις ἐπιζομένη ποσὶ χαίρεις,
…λοφορεῖν οἶδας, καὶ μύρα σοι μέλεται.
πέρ… καὶ στέφανός τε, καὶ αὐσονίου πόμα Βάκχου.
τ…τα παρὰ πτωχοῖς γίγνεται οὐδέποτε.
τοὔνεκ… καὶ φεύγεις πενίης τὸν χάλκεον οὐδόν.
τέρπῃ δ' εἰς πλούτου πρὸς πόδας ἐρχομένη.

Ἄδηλον

Λυσιμελοῦς Βάκχου, καὶ λυσιμελοῦς ἀφροδίτης,
γεννᾶται θυγάτηρ λυσιμελὴς ποδάγρα.

ΤΕΛΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ
ΤΜΗΜΑΤΟΣ

ALEXANDER · ARAGONVM · DEI GRA REX · FERDINANDVS

# ΚΕΦΑΛΕΑ ΤΟΥ ΤΡΙΤΟΥ ΤΜΗΜΑΤΟΣ.

Εν τῷ δὲ τῷ τρίτῳ τμήματι ἐπιτάφια ἔχοντι, περιέχεται κεφάλαια τάδε, εἰς


| | | | |
|---|---|---|---|
| Αγαθοὺς ἄνδρας. | 1 | Ιχθύας. | 7 |
| Αγωνιστάς. | 2 | Κιθαρῳδούς. | 8 |
| Αδελφούς. | 3 | Κυνηγούς. | 9 |
| Αλιέας. | 4 | Μεθύσους. | 10 |
| Ανδρείους, | 5 | Μοιχούς. | 21 |
| Ανδρας οὐκ ἐπισήμους. | 6 | Ναυαγήσαντας. | 22 |
| Αρχαίους τινάς. | 7 | Νέους, καὶ νέας. | 23 |
| Αὐλητάς. | 8 | Ορνις. | 24 |
| Βρέφη. | 9 | Ποιητάς. | 25 |
| Γέροντας. | 10 | Ποιμένας. | 26 |
| Γεωργούς. | 11 | Πόλεις. | 27 |
| Γυναῖκας. | 12 | Πτωχούς. | 28 |
| Δούλους. | 13 | Πονηρούς. | 29 |
| Ηρωας. | 14 | Ρήτορας. | 30 |
| Ιατρούς. | 15 | Υἱούς, καὶ θυγατέρας. | 31 |
| Ιξευτάς. | 16 | Φιλοσόφους. | 32 |


ARAGONVM · ALEXANDER · DEI GRA REX · FERDINANDVS

# ΑΡΧΗ ΤΟΥ ΤΡΙΤΟΥ ΤΜΗΜΑΤΟΣ. ΕΙΣ ΑΓΑΘΟΥΣ ΑΝΔΡΑΣ. Ι.

Εἰς Πλάτωνα.

Σωφροσύνῃ προφέρων θνητῶν, ἤθει τε δικαίῳ,
ἐνθάδε κεῖται ἀνὴρ θεῖος ἀριστοκλέης.
εἰ δέ τις ἐκ πάντων σοφίης μέγαν ἔσχεν ἔπαινον,
οὗτος ἔχει πλεῖστον, καὶ φθόνον οὐ φέρεται.

Ἀδέσποτον.

Δουλκίτιον μὲν, ἄνακτες ἄκρον βιότοιο πρὸς ὄλβον
ἤγαγον δὲ ἀρετῆς, καὶ κλέος αἰθυπάτων.
ὡς δὲ φύσις μιν ἔλυσεν ἀπὸ χθονὸς, ἀθάνατοι μὲν
αὐτὸν ἔχουσι θεοὶ, σῶμα δὲ σηκὸς ὅδε.

Ἰουλιανοῦ αἰγυπτίου.

Κλεινὸς ἰωάννης. θνητὸς λέγε. λαμβρὸς ἀνάσσης.
θνητὸς ὅμως. γενεῆς ἄνθος ἀναστασίου.
θνητοῦ κἀκείνου. βίον ἔνδικος. οὐκ ἔτι τοῦτο
θνητὸν ἔφης. ἀρεταὶ κρείσσονές εἰσι μόρου.

Χριστοδώρου.

οὗτος ἰωάννην κρύπτει τάφος. ὃς ῥ' ἐπιδάμνου
ἄστρον ἔην, ἣν δὴ παῖδες ἀριπρεπέες,
ἔκτισαν ἡρακλῆος. ὅθεν καὶ μέρμερος ἥρως,
[illegible]ιεὶ τῶν ἀδίκων σκληρὸν ἔκοπτε μηνός.
[illegible]ε δ' ἀπ' εὐσεβέων προγόνων ἐρικυδέα πάτρην,
λυχναδὸν, ἣν φοίνιξ Κάδμος ἔδειμε πόλιν.
ἔνθεν λύχνος ἔην ἑλικώνιος, οὕνεκα Κάδμος
στοιχείων δαναοῖς πρῶτος ἔδειξε τύπον.

εἰς ὑπάτους δ' ἀνέλαμψε. καὶ Ἰλλυριοῖσι δικάζων,
μούσας καὶ καθαρὴν ἐστεφάνωσε δίκην.

Ἀδέσποτον.

Εἰ γένος εὐσεβέων ζώει μετὰ τέρμα βίοιο,
ναιετάων κατὰ θυμὸν ἀνὰ στόμα φωτὸς ἑκάστου,
ἀνδρέα, σὺ ζώεις, οὐ κάτθανες. ἀλλά σε χῶρος
ἄμβροτος ἀθανάτων ἁγίων ὑπεδέκτο καμόντα.

Καρφυλίδου.

Μὴ μέμψῃ παριὼν τὰ μνήματά μου παροδῖτα.
οὐδὲν ἔχω θρήνων ἄξιον οὐδὲ θανών.
τέκνων τέκνα λέλοιπα, μιῆς ἀπέλαυσα γυναικὸς
συγγήρου, τρισσοῖς παισὶν ἔδωκα γάμους.
ἐξ ὧν πολλάκι παῖδας ἐμοῖς ἐνεκοίμισα κόλποις,
οὐδενὸς οἰμώξας, οὐ νόσον οὐ θάνατον.
οἵ με καταστείσαντες ἀπήμονα, τὸν γλυκὺν ὕπνον
κοιμᾶσθαι, χώρην πέμψαν ἐπ' εὐσεβέων.

Ἀδέσποτον.

Μὴ σύγε θνητὸς ἐών, ὡς ἀθάνατός τι λογίζου.
οὐδὲν γὰρ βιότου πιστὸν ἐφημερίοις.
εἰ καὶ τόνδε Κασάνδρου ἔχει τάφος ἤδε θανόντα,
ἄνθρωπον φύσεως ἄξιον ἀθανάτου.

Εἰς τὸν αὐτόν.

Τίς λίθος οὐκ ἐδάκρυσε, σέθεν φθιμένοιο Κασάνδρε;
τίς πέτρος, ὃς τῆς σῆς λήσεται ἀγλαΐης;
ἀλλά σε νηλειὴς, καὶ βάσκανος ὤλεσε δαίμων,
ἡλικίην ὀλίγην εἰκοσιέξ ἐτέων.
ὃς χήρην ἄλοχον θῆκεν, μογεροὺς τε τοκῆας
γηραλέους στυγερῷ πένθει τειρομένους.

Θαλλοῦ.

ιοςὰ φασὶ μίλητε τεῆς βλαςήματα γαίης.
ἰταλὶς ὠκυμόρους ἀμφεκάλυψε κόνις.
ὤ θεά δὲ ςεφάνων ἤλλαξαν. λείψανα δ' αἶ, αἶ,
βραχὺ ἐν βαιῇ κάλπιδι κευθόμενα.
φοι πάτρα τριτάλαινα. πόθεν πάλιν ἢ πότε τοίους
ἔρας αὐχήσεις ἑλλάδι λαμπομένους.

Καλλιμάχου.

Τῇδε Σάων ὁ Δίκωνος ἀκάνθιος ἱερὸν ὕπνον
κοιμᾶται. θνήσκειν μὴ λέγε τοὺς ἀγαθούς.

Μελεάγρου.

Παμμῆτορ γῆ, χαῖρε. σὺ τὸν πάρος οὐ βαρὺν εἰς σὲ
Αἰσιγένην, καὐτὴ νῦν ἐπέχοις ἀβαρής.

Ηγησίππου.

Τὴν ὧδε πυρκαΐης ἐνδέξια φασὶ κέλευθον
ἑρμῆν τοὺς ἀγαθοὺς εἰς Ῥαδάμανθυν ἄγειν.
ᾗ καὶ ἀριςόνοος Χαιρέςρατος οὐκ ἀδάκρυτος
παισὶν ἡγησίλεω δῶμ' ἀΐδου κατέβη.

Ἀγαθίου σχολαστικοῦ ὧδε Θεοδότῳ τῷ γαμβρῷ, ἐπ' ἔχθρᾳ τετελευτηκότι τῆς ἰδίας γαμετῆς.

Ναὶ μὰ τὸν ἐν γαίῃ πύματον δρόμον, οὔτε μ' ἄκοιτις
ἔςυγεν, οὔτ' αὐτὸς Θεύδοτος οὐγγενίης.
ἐχθρὸς ἑκὼν γενόμην. ἀλλὰ φθόνος, ἥτις ἄτη
ἡμέας εἰς τόσσην ἤγαγεν ἀμπλακίην.
νῦν δ' ὧδε μινώην καθαρὴν κρηπῖδα μολόντες,
ἀμφότεροι λευκὴν ψῆφον ἐδεξάμεθα.

Παύλου σιλεντιαρίου.

Γρηὺς, ἐλευθερίην ὧδε ειμένος, ἡδὺς ἰδέσθαι,
ἐν βιότῳ πολιτῶν ἔγεα γηροκόμον,

ALEXANDER PP VI VALENTINUS FERDINANDUS DE ... ARAGONUM

τύμβον ἔχει Θεόδωρος ἐπ' ἐλπίδι κρείσσονι μοίρης,
ὄλβιος ἐν καμάτοις, ὄλβιος ἐν θανάτῳ.

Λεωνίδου.

Ἐσθλὸς Ἀριστοκράτης ὅτ' ἀπέπλεεν εἰς ἀχέροντα,
εἶπ' ὀλιγοχρονίης ἁψάμενος κεφαλῆς,
παίδων τίς μνήσαιτο, καὶ ἐδνώσαιτο γυναῖκα;
εἰ καί μιν δακνεῖ δυσβίοτος πενίη,
ζωὴν συλώσαιτο· κακὸν δ' ἄστυλος ἰδέσθαι
οἶκος. ὃ δ' αὖ λαστός τ' ἀνέρος ἐσχαρεὼν,
ξυνίων φαίνοιτο, καὶ ἐν πολυκαέϊ ὄγκῳ
ἐν στῇ, αὐγάζων δαλὸν ἐπεσχάριον.
ἤδει ἀριστοκράτης τὸ κρήγυον. ἀλλὰ γυναικῶν
ἀνθρώπ' ἤχθαιρεν τὴν ἀλιτοφροσύνην.

Σωφρονίου πατριάρχου ἱεροσολύμων
εἰς τὸν τάφον ἰωάννου πάπ-
πα ἀλεξανδρείας.

Τύμβε, τίς, ἢ πόθεν; ἦν δὲ τί; παῖς τίνος; ἔργα, τὸ ὄλ-
νεκρὸς, ὃν ἔνδον ἔχεις, ἔννεπε κευθόμενον. (βον;
οὗτος ἰωάννης, κύπριος γένος, υἱὸς ἐτύχθη
εὐγενέος Στεφάνου. ἦν δὲ νομεὺς φαρίης.
κτήματα μὲν πολύολβος ὅλων πλέον, ὧν τρέφε κύπρος,
ἐκ πατέρος πατέρων, ἐξ ὁσίων τε πόνων.
ἔργα δὲ θέσκελα πάντα λέγειν, ἅπερ ἐν χθονὶ τεῦξεν,
οὐδ' ἐμοῦ ἐστι νόου, οὐδ' ἑτέρων στομάτων.
πάντα γὰρ ἄνδρα παρῆλθε φαεινοτάταις ἀρεταῖς
δόξαντα κρατέειν ἀρεταῖς ἑτέρων.
τοῦ, καὶ κάλλεα πάντα, τάπερ πόλις ἔλλαχεν αὕτη,
εἰσὶ φιλοφροσύνης κόσμος ἀρειότατος.

Τοῦ αὐτοῦ.

Τοῦ αὐτοῦ εἰς
τὸν αὐτόν.

[illegible]ρχὸς ἰωάννης φαρίης ἀρετῆ ἰσρήων,
[illegible]νθάδε νῦν μετὰ τέρμα φίλη παρὰ πατρίδι κεῖται.
[illegible] τὸν γὰρ λάχε σῶμα, καὶ εἰ βίον ἄφθιτον ἔχειν.
ἀθ[illegible]νάτους πρήξεις τε κατὰ χθόνα ῥέξεν ἀπείρους.

Σιμωνίδου.

Τὰ[illegible] αὐτοῦ τις ἕκαστος ἀπολλυμένων ἀνιᾶται.
[illegible] νικόδικον δὲ, φίλοι, καὶ πόλις ἥδε κλαίει.

Αδηλον.

Τοῦτ[illegible] τι ἡμετέρης μνημήϊον ἐσθλὲ Σαβῖνε
ἁ λίθος ἁ μικρὰ, τῆς μεγάλης φιλίης.
αἰεὶ ζητήσω σε. σὺ δ' εἰ θέμις ἐν φθιμένοισι,
τοῦ λήθης ἐπ' ἐμοὶ μή τι πίῃς πόματος.

Αδηλον.

Ενθάδε τύμβος ἔχει θεοκλέας ἀνέρας ἐσθλοὺς,
θεῖον ἰωάννην, τὸν πάνυ Θευδόσιον.
ὧν ἀρετὴ πολύολβος ἐς οὐρανοῦ αὐτυγας ἦλθεν,
καὶ φωτὸς μετόχους δεῖξεν ἀκηρασίου.

Εἰς Νικόλαον πατριάρχην
ἀλεξανδρείας.

Ος βασιλεῖς ἐδάμασσε, καὶ ἠνορέην κατέπαυσεν
ἀντιπάλων, πατέρων εἵνεκεν δυνάμιος,
οὗτος ὑπὸ σμικρῷ κατάκειται σήματι τῷδε,
ἀρχιερεὺς χριστοῦ Νικόκλεως γεγαώς.
ἀλλ' ἀρετὴ πολύολβος ἐπέπτατο πείρατα κόσμου,
καὶ ψυχὴ μακάρων ἀμφιπολεῖ θαλάμους.
[illegible]ίην γὰρ βιοτὴν προθέεσκεν ἐὼν ἐπὶ γαίης,
σῶμα καλὸν πιέσας κυδαλίμοις καμάτοις.

Εἰς τὸ αὐτό.

Στήλην εὐνομίης, καὶ σωφροσύνης ἀνάθημα,
εἰκόνα Νικόλεω στῆσε Γρηγόριος.
σὺ δὲ θανὼν, κλέος ἐσθλὸν ἀπώλεσας εὖ χθόνα πᾶσαν,
ἀλλ' ἔτι σῆς ψυχῆς ἀγλαὰ πάντα μένει.
ὡς ἔλαχές τ', ἔμαθές τε φύσει μῆτιν πανάριστε.
τῷ ῥα καὶ εὖ μακάρων νῆσον ἔβης ποθέων.

Καλλιμάχου.

Ἢν δίζῃ Τίμαρχον ἐν ἄϊδος, ὄφρα πύθηαι
ἤ τι περὶ ψυχῆς, ἢ πάλι πῶς ἔσεται,
δίζεσθαι φυλῆς Πτολεμαΐδος, υἱέα πατρὸς
Παυσανίου, δήεις δ' αὐτὸν ἐν εὐσεβέων.

## ΕΙΣ ΑΓΩΝΙΣΤΑΣ. 2

Σιμωνίδου.

Εἶπον τίς, τίνος ἐσσί, τίνος πατρίδος, τί δὲ νικῆς.
Κάσμυλος, Εὐαγόρου, πύθια, πύξ, ῥόδιος.

Τοῦ αὐτοῦ.

Μίλωνος τόδ' ἄγαλμα καλοῦ καλόν, ὅς ποτε πίσῃ
ἑπτάκι νικήσας, ἐν γόνατ' οὐκ ἔπεσεν.

Φιλίππου.

Τὸν ἐκ σινώπης εἰ κλύεις Δαμόστρατον,
πίτυν λαβόντα τὴν κατ' ἰσθμὸν ἑξάκις,
τοῦτον δέδορκας. οὗ κατ' εὔγυρον πάλην
ψάμμος πεσόντος νῶτον οὐκ ἐσφράγισεν.
ἴδ' αὖ πρόσωπον θηρόθυμον, ὡς ἔτι
σώζει παλαιὰν τὰν ὑπὲρ νίκας ἔριν.
λέγει δ' ὁ χαλκός, ἁ βάσις με λυσάτω.
χὼς ἔμπνοος νῦν ἕβδομον κονίσομαι.

Καλλιμάχου.

...τομος ἦν ὁ ξεῖνος ὁ καὶ τάφος. οὐ μακρὰ λέξω.
Θῆρις, ἀριστοῦς, κρής, ἐπ' ἐμοὶ δολιχόν.

## ΕΙΣ ΑΔΕΛΦΟΥΣ. 3

Αγαθίου σχολαστικοῦ.

...ντό[λ]ις, καὶ Παῦλος, ἀδελφεὼ ἄμφω ἐόντε,
ξυ[νὴ]ν μὲν βίοτου συζυγίην ἐχέτην.
[ξ]υνὰ[ς] καὶ μοίρης λαχέτην λίνα, καὶ παρὰ θῖνα
Βο[σ]πορίην, ξυνὴν ἀμφεβάλοντο κόνιν.
[ο]ὐδὲ γὰρ ἀλλήλοιν ζώειν ἀπάνευθε δυνάσθην,
ἀλλὰ ξυντρεχέτην καὶ παρὰ φερσεφόνην.
χαίρετον ὦ γλυκερὼ, καὶ ὁμόφρονε. σήματι δ' ὑμέων
ὤφελεν ἱδρῦσθαι βωμὸς ὁμοφροσύνας.

Τοῦ αὐτοῦ.

εἷς δύ' ἀδελφοὺς ἐπέχει τάφος. ἐν γὰρ ἐπέχον
ἦμαρ καὶ γενεῆς οἱ δύο, καὶ θανάτου.

## ΕΙΣ ΑΛΙΕΑΣ. 4

Σαπφοῦς.

Τῷ γριπεῖ Πελάγωνι πατὴρ ἀνέθηκε Μενίσκος,
κύρτον, καὶ κώπαν, μνᾶμα κακοζωΐας.

Ιουλιανοῦ αἰγυπτίου.

Μύγδων τέρμα βίοιο λαχὼν, αὐτόστολος ἦλθεν
[ε]ἰς ἀΐδην, νεκύων πορθμίδος οὐ χατέων.
[ε]ἶ γὰρ ἔχε ζώων βιοδώτορα μάρτυρα μόχθων,
ἄγραις εἰναλίαις πολλάκι βριθομένην,
[τ]ὴν δὲ καὶ ἐν θανάτῳ λάχε σύνδρομον, εὖτε τελευτὴν
εὕρετο, συλλήξας ὁλκάδι καιομένῃ.



ALEXANDRI VI ... ARAGONUM ... FERDINANDUS

οὕτω πιστὸν ἄνακτι θέλε σκάφος, οἴκον ἀέξον
Μύγδονι, καὶ σύμπλουν ἐν βίον, ἐν θανάτῳ.

Ἀπολλωνίδου.

Ἰχθυοθηρητῆρα Μενέστρατον ὤλεσεν ἄγρη,
δούνακος ἐξ ἀμίης ἐκ τριχὸς ἑλκομένη.
εἶδαρ ὅτ' ἀγκίστρου φόνιον πλάνον ἀμφιχανοῦσα
ὀξείην ἐρυθρὴ φυκὶς ἔφριξε πάγην.
ἀγνυμένη δ' ὑποδιώτα κατέκτανεν ἅλματι
ἐντὸς ὀλισθηρῶν δυσαμένη φαρύγγων.

## ΕΙΣ ΑΝΔΡΕΙΟΥΣ. ϛ

Ἀνακρέοντος.

Καρτερὸς ἐν πολέμοις Τιμόκριτος, οὗ τόδε σᾶμα.
ἄρης δ' οὐκ ἀγαθῶν φείδεται, ἀλλὰ κακῶν.

Ἀντιπάτρου.

Ὄρνι Διὸς Κρονίδαο διάκτορε, τεῦ χάριν ἕστας
γοργὸς ὑπὲρ μεγάλου τύμβον ἀριστομένους;
ἀγγέλλω μερόπεσσιν, ὁθ' οὕνεκεν ὅσσον ἄριστος
οἰωνῶν γενόμαν, τόσσον ὅδ' ἠϊθέων.
δειλαί τοι δειλοῖσιν ἐφεδρήσσουσι πέλειαι.
ἄμμες δ' ἀτρέστοις ἀνδράσι τερπόμεθα.

Ἀνακρέοντος.

Ἀβδήρων προθανόντα τὸν αἰνοβίην Ἀγάθωνα,
πᾶσ' ἐπὶ πυρκαϊῆς ἥδ' ἐβόησε πόλις.
οὔτινα γὰρ τοιόνδε νέων ὁ φιλαίματος ἄρης,
ἠνάρισε στυγερῆς ἐν στροφάλιγγι μάχης.

Μὲν ἀνδρὸς εἰς ἐπίκουρον, καὶ Θεμιστοκλέα.

Χαῖρε Νεοκλείδα, δίδυμον γένος, ὧν ὁ μὲν ὑμῶν,
πατρίδα δουλοσύνας ῥύσατο, ὃ δ' ἀφροσύνας.

Γερμανικοῦ εἰς Θεμιστοκλέα.

ἐ τάφου λιτοῖο, θὲς ἑλλάδα. θὲς δ' ἐπὶ ταύταις
δόρατα, βαρβαρικᾶς σύμβολα ναυφθορίας.
τύμβου κρηπῖδα περίγραφε περσικὸν ἄρη,
καὶ Ξέρξην. τούτοις θάπτε Θεμιστοκλέα.
ἀλλὰ σαλαμὶς ἐπικείσεται, ἔργα λέγουσα
τα... τί με σμικροῖς τὸν μέγαν ἐντίθετε;

Τοῦ αὐτοῦ.

ὗτος Θεμιστοκλεῖ κενὸν ἠρίον εἵσατο μάγνης
λαὸς ὅτ' ἐκ μήδων πατρίδα ῥυσάμενος,
θνείην ... πέδην χθόνα, καὶ λίθον. ἤθελεν οὕτως
ὁ φθόνος. αἱ δ' ἀρεταὶ μεῖον ἔχουσι γέρας.

Ἀλφειοῦ μιτυληναίου εἰς τὸν αὐτόν.

οὔρεα μὲν, καὶ πόντον ὑπὲρ τύμβοιο χάραξε,
καὶ μέσον ἀμφοτέρων μάρτυρα λητοΐδην,
ἠριδανῶν τε βαθὺν ποταμῶν ῥόον. οἵ ποτε ῥείθροις
Ξέρξου μυριόναυν οὐχ ὑπέμειναν ἄρη.
ἔγγραφε καὶ σαλαμῖνα, Θεμιστοκλέους ἵνα σῆμα
κηρύσσῃ μάγνης δῆμος ἀποφθιμένου.

Διοδώρου εἰς τὸν αὐτόν.

Μὴ μέτρει μάγνητι τὸ πηλίκον οὔνομα τύμβου,
μὴ δὲ Θεμιστοκλέους ἔργα σε λανθανέτω.
τεκμαίρου σαλαμῖνι, καὶ ὁλκάσι τὸν φιλόπατριν.
γνώσῃ δ' ἐκ τούτων μείζονα κεκροπίης.

Διοτίμου.

Οὐδὲ λέων ὡς δεινὸς ἐν οὔρεσιν, ὡς ὁ Μίκωνος
υἱὸς Κριναγόρης ἐν σακέων πατάγῳ.
εἰ δὲ κάλυμμ' ὀλίγον, μὴ μέμφεο. μικρὸς ὁ χῶρος,
ἀλλ' ἄνδρας πολέμου τλήμονας οἶδε φέρειν.



ALEXANDER REX ARAGONUM · FERDINANDUS INFANS DE GRATIA

Διοσκορίδου.

Τὰ πιτάνα Θρασύβουλος ἐπ' ἀσπίδος ἤλυθεν ἄπ
 ἑπτὰ πρὸς ἀργείων τραύματα δεξάμενος,
δεικνὺς πρόσθια πάντα. τὸν αἱματόεντα δ' ὁ πρέσ
 παῖδ' ἐπὶ πυρκαϊῆς Τύννιχος εἶπε τιθείς,
δειλοὶ κλαιέσθωσαν. ἐγὼ δὲ σε τέκνον, ἄδακρι
 θάψω, τὸν καὶ ἐμόν, καὶ λακεδαιμόνιον.

Ερυκίου.

Ανίκ' ἀπὸ πτολέμου τρέσσαντά σε δέξατο μήτηρ,
 πάντα τὸν ὁπλιστὴν κόσμον ὀλωλεκότα,
αὐτά τοι φονίαν Δαμάτριε αὐτίκα λόγχαν
 εἶπε διὰ πλατέων ὠσαμένα λαγόνων,
κάτθανε, μηδ' ἐχέτω σπάρτα ψόγον. οὐ γὰρ ἐκείνα
 ἤμπλακεν, εἰ δειλοὺς τοὐμὸν ἔθρεψε γάλα.

Δαμαγήτου.

Ω δ' ὑπὲρ ἀμβρακίας ὁ βοαδρόμος ἀσπίδ' ἀείρας,
 τεθνάμεν, ἢ φεύγειν εἵλετ' ἀρισταγόρας,
υἱὸς ὁ Θευπόμπου. μὴ θαῦμ' ἔχε. δωρικὸς ἀνὴρ,
 πατρίδος, οὐ ζωᾶς ὀλλυμένας ἀλέγει.

Απολλωνίδου.

Αἴλιος αὐσονίης στρατιῆς πρόμος, ὁ χρυσέοισι
 στέμμασι σωρεύσας αὐχένας ὁπλοφόρους,
νοῦσον ὅτ' εἰς ὑπάτην ὠλίσθανε, τέρματ' ἄφυκτον,
 εἶδεν ἀριστείην ἐμφανὲς εἰς ἰδίην.
πῆξε δ' ὑπὸ σπλάγχνοισιν ἑὸν ξίφος. εἶπέ τε θνήσκων,
 αὐτὸς ἑκὼν ἔλαχον, μὴ νόσος εὖχος ἔχοι.

Φιλίππου εἰς τὸν αὐτόν.

Αἴλιος ὁ θρασύχειρ, ἄργος πρόμος, ὀψὲ διώξας
 αὐχένα χρυσοδέτοις ἐκ πολέμου στεφάνοις,

...ξιμελεῖ νόσῳ κεκολασμένος, ἔδραμε θυμῷ
δὴ προτέρων ἔργων ἄρσενα μαρτυρίην.
...τε δ' ὑπὸ σπλάγχνοις πλατὺ φάσγανον, ᾧ μόνον εἰ-
ἄνδρας ἄρης κτείνει, δειλοτέρους δὲ νόσος. (πών,

Μνησάλκου.

Οἷο πάτραν πολύδακρυν ἐπ' αὐχένι δεσμὸν ἔχουσαν
ῥυόμενοι, δνοφερὰν ἀμφεβάλοντο κόνιν.
ἄρνυνται δ' ἀρετᾶς αἶνον μέγαν. ἀλλά τις ἀστῶν
τούσδ' ἐσιδὼν, θνάσκειν τλάτω ὑπὲρ πατρίδος.

Γετουλλίκου.

Ὦ χρόνε, παντοίων θνητῶν πανεπίσκοπε δαῖμον,
ἄγγελος ἡμετέρων πᾶσι γενοῦ παθέων.
ὡς ἱερὰν σώζειν πειρώμενοι Ἑλλάδα χώρην,
Βοιωτῶν κλινεῖς θνήσκομεν ἐν δαπέδοις.

Ἀντιπάτρου.

Ἰσσοῦ ἐπὶ προβολῇσιν ἁλὸς παρὰ κῦμα κιλίσσης
ἄγριον αἱ περσῶν κείμεθα μυριάδες,
ἔργον ἀλεξάνδροιο μακηδόνος. οἵ ποτ' ἄνακτι
Δαρείῳ πυμάτην οἶμον ἐφεσπόμεθα.

Ἀλκαίου.

Ἄκλαυτοι καὶ ἄθαπτοι ὁδοιπόρε τῷδ' ἐπὶ τύμβῳ,
ἠμαθίης τρισσαὶ κείμεθα μυριάδες.
ἠμαθίῃ μέγα πῆμα. τὸ δὲ θρασὺ κεῖνο Φιλίππου
πνεῦμα, θοῶν ἐλάφων ᾤχετ' ἐλαφρότερον.

Εἰς τοὺς ἐν θερμοπύλαις θανόντας.

Μυριάσιν ποτὲ τῇδε τριηκοσίαις ἐμάχοντο
ἐκ πελοποννήσου χιλιάδες τέτορες.

Εἰς τοὺς αὐτούς.

Ὦ ξεῖν', ἄγγειλον λακεδαιμονίοις ὅτι τῇδε
κείμεθα, τοῖς κείνων πειθόμενοι νομίμοις

Εἰς τοὺς αὐτούς.

Ἀκμᾶς ἑστηκυῖαν ἐπὶ ξυροῦ ἑλλάδα πᾶσαν,
ταῖς ἡμῶν ψυχαῖς κείμεθα ῥυσάμενοι.

Εἰς τοὺς αὐτούς.

Ἄσβεστον κλέος οἵδε φίλῃ περὶ πατρίδι θέντες,
κυάνεον θανάτου ἀμφεβάλοντο νέφος.
οὐδὲ τεθνᾶσι θανόντες, ἐπεί σφ' ἀρετὴ καθύπερθεν
κυδαίνουσ', ἀνάγει δώματος ἐξ ἀΐδα.

Εἰς τοὺς αὐτούς.

Εἰ τὸ καλῶς θνήσκειν ἀρετῆς μέρος ἐστὶ μέγιστον,
ἡμῖν ἐκ πάντων τοῦτ' ἀπένειμε τύχη.
ἑλλάδι γὰρ σπεύδοντες ἐλευθερίην περιθεῖναι,
κείμεθ' ἀγηράντῳ χρώμενοι εὐλογίῃ.

Σιμωνίδου.

Χαίρετ' ἀριστῆες πολέμου, μέγα κῦδος ἔχοντες,
κοῦροι ἀθηναίων ἔξοχοι ἱπποσύνῃ,
οἵ ποτε καλλιχόρου περὶ πατρίδος ὠλέσαθ' ἥβην,
πλείστοις ἑλλήνων ἀντία μαρνάμενοι.

Αἰσχύλου.

Κυανέη καὶ τούσδε μενέγχεας ὤλεσεν ἄνδρας
μοῖρα, πολύρρηνον πατρίδα ῥυομένους
ζωὸν δὲ φθιμένων πέλεται κλέος. οἵ ποτε γυίοις
τλήμονες, ὀσσαίαν ἀμφιέσαντο κόνιν.

Ἀδέσποτον.

Παῖδες ἀθηναίων, περσῶν στρατὸν ἐξολέσαντες,
ἤρκεσαν ἀργαλέην πατρίδι δουλοσύνην.

Σιμωνίδου.

Οἵδε παρ' εὐρυμέδοντί ποτ' ἀγλαὸν ὤλεσαν ἥβην,
μαρνάμενοι μήδων τοξοφόρων προμάχοις,

αἰχμηταὶ πεζοί τε, καὶ ὠκυπόρων ἐπὶ νηῶν.
κάλλιστον δ' ἀρετῆς μνῆμ' ἔλιπον φθίμενοι.

Πλάτωνος.

Οἵδε ποτ' αἰγαίοιο βαρύβρομον οἶδμα λιπόντες,
ἐκβατάνων πεδίῳ κείμεθ' ἐνὶ μεσάτῳ.
χαῖρε κλυτή ποτε πατρὶς ἐρέτρια. χαίρετ' ἀθῆναι
γείτονες εὐβοίης, χαῖρε θάλασσα φίλη.

Ἀδήλου.

Εὐβοίης γένος ἐσμὲν ἐρετρικόν. ἄγχι δὲ σούσων
κείμεθα. φεῦ, γαίης ὅσσον ἀφ' ἡμετέρης.

Δαμαγήτου.

Ὦ λακεδαιμόνιοι, τὸν ἀρήιον ὔμμιν ὁ τύμβος
γύλλιν ὑπὲρ θυρέας οὗτος ἔχει φθίμενον,
ἄνδρα, ὃς ἀργείων τρεῖς ἔκτανε. καὶ τόδ' ἔειπε,
τεθναίην, σπάρτας ἄξια μησάμενος.

Τύμνεω.

Τὸν παραβάντα νόμους Δαμάτριον ἔκτανε μάτηρ
ἁ λακεδαιμονία, τὸν λακεδαιμόνιον.
θηκτὸν δ' ἐν προβολᾷ θεμένα ξίφος, εἶπεν, ὀδόντα
ὀξὺν ἐπιβρύχουσ' οἷα λάκαινα γυνά,
ἔρρε κακὸν σκυλάκευμα, κακὰ μερίς, ἔρρε ποθ' ἅδαν,
ἔρρε, τὸν, οὐ σπάρτας ἄξιον ἐτρέφομες.

Διοσκορίδου.

Εἰς δηΐων πέμψασα λόχους Δημαινέτη ὀκτὼ
παῖδας, ὑπὸ στήλῃ πάντας ἔθαπτε μιᾷ.
δάκρυα δ' οὐκ ἔρρηξ' ἐπὶ πένθεσιν, ἀλλὰ τόδ' εἶπε
μοῦνον, ἰὼ σπάρτα, σοὶ τέκνα ταῦτ' ἔτεκον.

Φαέννου.

Οὐκ ἔτλας ὦ 'ριστε λεωνίδα αὖτις ἱκέσθαι
εὐρώταν, χαλεπῷ σπερχόμενος πολέμῳ,

ἀλλ' ὤλευ θερμοπύλαισι τὸ περσικὸν ἔθνος ἀμύνων,
ἐδμάθης, πατέρων ἁζόμενος νόμιμα.

Δαμαγήτου.

Ὤλεο δὴ πατέρων παρὰ ληΐδα καὶ σὺ μαχητὰ,
δριμὺν ἐπ' αἰτωλοῖς ἀντιφέρων πόλεμον,
πρωθήβας· χαλεπὸν γὰρ ἀχαιϊκὸν ἄνδρα νοῆσαι
ἄλκιμον, εἰς πολιὰν ὅς τις ἔμεινε τρίχα.

Τοῦ αὐτοῦ.

Ἔστης ἐν προμάχοις χαιρωνίδη, ὧδ' ἀγορεύσας,
ἢ μόρον, ἢ νίκαν Ζεῦ πολέμοιο δίδου,
ἡνίκα τοι ποτὶ τάφρον ἀχαιίδα τῇ τότε νυκτὶ
δυσμενέων θρασέος δῆριν ἔθεντο πόνου.
καὶ μὴν ἀλλ' ἀρετή σε διακριδὸν ἆλις ἀείδει,
θερμὸν ἀνὰ ξείνην αἷμα χέαντα κόνιν.

Λεωνίδου.

Τὴν ὀλίγην βῶλον, καὶ τοῦτ' ὀλιγήριον ὦνερ
σῆμα ποτιφθέγξαι τλάμονος ἀλκιμένους.
εἰ καὶ πᾶν κέκρυπται ὑπ' ὀξείης παλιούρου,
καὶ βάτου, ἣν ποτ' ἐγὼ δήϊος ἀλκιμένης.

Ἀνύτης.

Λύδιον οὖδας ἔχει τόδ' ἀμύντορα παῖδα φιλίππου,
πολλὰ σιδηρείης χερσὶ θιγόντα μάχης.
οὐδέ μιν ἀλγινόεσσα νόσος δόμον ἤγαγε νυκτὸς,
ἀλλ' ὄλετ' ἀμφ' ἑτάρων σχὼν κυκλόεσσαν ἴτυν.

Τῆς αὐτῆς.

Οὐχὶ Θεμιστοκλέους μάγνης τάφος, ἀλλὰ κέχωσμαι
ἑλλήνων φθονερῆς σῆμα κακοτροπίης.

Ἀδήλου.

Ἠμαθίην ὃς πρῶτος ἐς ἄρεα βῆσα φίλιππος,
αἰγαίην κεῖμαι βῶλον ἐφεσσάμενος,

ἔρξας οἷ' οὔπω βασιλεὺς τόπριν. εἰ δέ τις αὐχεῖ
μεῖζον ἐμοῦ, καὶ τοῦθ' αἵματος ἡμετέρου.

Παρμενίωνος.

Τύμβον Ἀλεξάνδροιο Μακηδόνος ἤν τις ἀείδῃ,
ἠπείρους κείνου σῆμα λέγ' ἀμφοτέρας.

Ἀδήλου.

δ' ἀΐδαν στέρξαντες ἐνύπνιον, οὐχ ἅπερ ἄλλοι
στάλαν, ἀλλ' ἀρετὰν ἀντ' ἀρετᾶς ἔλαβον.

Πολυστράτου.

Τὸν μέγαν Ἀκροκόρινθον Ἀχαιικὸν, Ἑλλάδος ἄστρον,
καὶ διπλῆν Ἰσθμοῦ σύντροφον ἠϊόνα,
Λεύκιος ἐστυφέλιξε. δουριπτοίητα δὲ νεκρῶν
ὀστέα σωρευθεὶς εἷς ἐπέχει σκόπελος.
τοὺς δὲ δόμον Πριάμοιο πυρὶ πρήσαντας Ἀχαιοὺς,
ἀκλαύστους κτερέων νόσφισαν Αἰνεάδαι.

Πεισάνδρου.

Ἀνδρὶ μὲν, Ἱππαίμων ὄνομ' ἦν. ἵππῳ δὲ, Πόδαργος.
καὶ κυνὶ, Θήραγρος, καὶ θεράποντι, Βάβης.
Θεσσαλὸς, ἐκ Κρήτης, Μάγνης γένος, Αἵμονος υἱός.
ὤλετο δ' ἐν προμάχοις, ὀξὺν Ἄρη συνάγων.

Ἀδήλου.

Οἱ πρὸς Ῥωμαίους δεινὸν στήσαντες Ἄρηα,
κεῖνται, ἀριστείης σύμβολα δεικνύμενοι.
οὐ γάρ τις μετὰ νῶτα τυπεὶς θάνεν, ἀλλ' ἅμα πάντες
ὤλοντο κρυερῷ καὶ δολερῷ θανάτῳ.

Σιμωνίδου.

Θηρῶν μὲν κάρτιστος ἐγὼ, θνατῶν δ' ὃν ἐγὼ νῦν
φρουρῶ, τῷδε τάφῳ λαΐνῳ ἐμβεβαώς.

Ἀδήλου.

Ἀλλ' εἰ μὴ θυμόν γε λέων ἐμὸν ὡς ὄνομ' εἶχεν,
οὐκ ἂν ἐγὼ τύμβῳ τῷδ' ἐπέθηκα πόδας.

ARAGONVM · ALEXANDER

Ἀδήλου.

Τῶν δὲ δι' ἀνθρώπων ἀρετὰν, οὐχ ἵκετο καπνὸς
αἰθέρα δαιομένης εὐρυχόρου Τεγέης.
οἳ βούλοντο πόλιν μὲν ἐλευθερίᾳ τεθαλυῖαν
παισὶ λιπεῖν· αὐτοὶ δ' ἐν προμάχοισι θανεῖν.

Βάσσου.

Φωκίδι πὰρ πέτρῃ δέρκευ τάφον. εἰμὶ δ' ἐκείνων
τῶν ποτὲ Μηδοφόνων μνῆμα τριηκοσίων.
οἳ Σπάρτας ἀπὸ γᾶς τηλοῦ πέσον ἀμβλύναντες
ἄρεα καὶ Μήδων καὶ Λακεδαιμονίων.
ἢν δ' ἐσορῇς ἐπ' ἐμεῖο βόστρυχον, εἰκόνα θήρης
ἔννεπε τοῦ ταγοῦ μνᾶμα Λεωνίδεω.

Γαΐτου.

Δισσὰ τριηκοσίων τάδε φάσγανα θούριος ἄρης
ἔσπασεν ἀργείων, καὶ Λακεδαιμονίων
ἔνθα μάχην ἔτλημεν ἀνάγγελον ἄλλος ἐπ' ἄλλον
πίπτοντες. θυρέα δ' ἦσαν ἄεθλα δορός.

Εἰς τὸ αὐτό.

Οἵδε τριηκόσιοι Σπάρτα πατρί, τοῖς συναρίθμοις
Ἰναχίδαις Θυρέαν ἀμφιμαχεσσάμενοι,
αὐχένας οὐ στρέψαντες. ὅπα ποδὸς ἴχνια πρῶτον
ἁρμόσαμεν, ταύτᾳ καὶ λίπομεν βιοτάν.
ἄρσενι δ' Ὀθρυάδαο φόνῳ κεκαλυμμένον ὅπλον
κηρύσσει, Θυρέα Ζεῦ Λακεδαιμονίων.
εἰ δέ τις ἀργείων ἔφυγε μόρον, ἦν ἀπ' Ἀδράστου,
Σπάρτᾳ δ' οὐ τὸ θανεῖν, ἀλλὰ φυγεῖν θάνατος.

Χαιρήμονος.

Τοῖς ἀργείοις χ' ἡμῖν ἴσαι χέρες, ἶσα δὲ τεύχη
συμβάλομεν· θυρέα δ' ἦσαν ἄεθλα δορός.
ἄμφω δ' ἀπροφάσιστα τὸν οἴκαδε νόστον ἀφέντες,
οἰωνοῖς θανάτου λείπομεν ἀγγελίαν.

Σιμωνίδου.

Εὐθυμάχων ἀνδρῶν μνησώμεθα, τῶν ὅδε τύμβος.
οἳ θάνον, εὔμηλον ῥυόμενοι Τεγέαν.
αἰχμηταὶ πρὸ πόλιος. ἵνα σφίσι μὴ καθέληται
Ἑλλὰς ἀποφθιμένοις, κρατὸς ἐλευθερίας.

Ἀνύτης.

Μνῆμα τόδε φθιμένου Μενελαΐου εἵσατο Δᾶμις,
ἵππῳ ἐπεὶ στέρνον τοῦδε δαφοινὸς ἄρης
τύψε. μέλαν δὲ οἱ αἷμα ταλαυρίνου διὰ χρωτὸς
ζέσσ', ἐπὶ δ' ἀργαλέαν βῶλον ἔδευσε φόνῳ.

Σιμωνίδου.

Δίρφυος ἐδμήθημεν ὑπὸ πτυχί. σῆμα δ' ἐφ' ἡμῖν
ἐγγύθεν Εὐρίπου δημοσίᾳ κέχυται,
οὐκ ἀδίκως. ἐρατὴν γὰρ ἀπωλέσαμεν νεότητα,
τρηχεῖην πολέμου δεξάμενοι νεφέλην.

Τοῦ αὐτοῦ.

Εὐκλέας αἶα κέκευθε Λεωνίδα. οἳ μετὰ σεῖο
τῇδ' ἔθανον, Σπάρτης εὐρυχόρου βασιλεῦ.
πλείστων δὴ τόξων τε, καὶ ὠκυπόδων σθένος ἵππων,
Μηδείων τ' ἀνδρῶν δεξάμενοι πόλεμον.

Νικάνδρου.

Ζεῦ πάτερ, Ὀθρυάδα τίνα φέρτερον ἔδρακες ἄλλον,
ὃς μόνος ἐκ Θυρέας οὐκ ἐθέλησε μολεῖν
πατρίδ' ἐπὶ Σπάρταν, διὰ δὲ ξίφος ἤλασε πλευρῶν,
δοῦλα καταγράψας σκῦλα κατ' Ἰναχιδᾶν;

Θεοδωρίδου.

Τόλμα καὶ εἰς Ἀΐδαν, καὶ ἐς οὐρανὸν ἄνδρα κομίζει,
ἃ καὶ Σωσάνδρου παῖδ' ἐπέβασε πυρᾶς
Δωρόθεον. φθίᾳ γὰρ ἐλεύθερον ἦμαρ ἰάλλων,
ἐῤῥαίσθη σκηνᾶν μεσσόθι, καὶ χιμάρας.

ALEXANDER ... REX ARAGON ... FERDINANDUS SANTIN...

Διοσκορίδου.

Ἐμπορίης λήξαντα Φιλόκριτον, ἄρτι δ' ἀρότρου
γευόμενον, ξείνου Μέμφις ἔκρυψε τάφῳ.
ἔνθα δραμὼν νείλοιο πολὺς ῥόος, ὕδατι λάβρῳ
ταῖν δ' ἐς τὴν ὀλίγην βῶλον ἀπημφίασεν.
καὶ ζωὸς μὲν ἔφυγε πικρὴν ἅλα. νῦν δὲ καλυφθεὶς
κύμασι, ναυηγὸν σχέτλιος ἔσχε τάφον.

Ἀδήλου.

Οὐ μὰ τὸν, οὐδὲ Λύκωνα παρέσσομαι, ὅτι ποδαλγὴς
κάτθανε. θαυμάζω τοῦτο μάλιστα δ' ἐγώ,
τὴν οὕτως ἀΐδαο μακρὴν ὁδὸν, ἣν πρὶν ὁ ποσσὶν
ἀλλοτρίοις βαδίσας, ἔδραμε νυκτὶ μιᾷ.

Ἀδήλου.

Ο τὸν πολυστένακτον ἀνθρώπων βίον
γέλωτι κεράσας νικαεὺς Φιλιστίων,
ἐνταῦθα κεῖμαι λείψανον παντὸς βίου,
πολλάκις ἀποθανὼν, ὧδε δ' οὐδεπώποτε.

Ἀδεσπότου.

Αὐτῷ, καὶ τεκέεσσι, γυναικί τε τύμβον ἔδειμεν
ἀνδροτίων. οὔπω δ' οὐδενός εἰμι τάφος.
οὕτω καὶ μείναιμι πολὺν χρόνον. εἰ δ' ἄρα καὶ δεῖ,
δεξαίμην ἐν ἐμοὶ τοὺς προτέρους, προτέρους.

Ἀδήλου.

Οὔνομά μοι. τί δὲ τοῦτο; πατρίς δέ μοι. ἐς τί δὲ τοῦτο;
κλεινοῦ δ' εἰμὶ γένους. εἰ γὰρ ἀφαυροτάτου;
ζήσας ἐνδόξως ἔλιπον βίον. εἰ γὰρ ἀδόξως;
κεῖμαι δ' ἐνθάδε νῦν. τίς, τίνι ταῦτα λέγεις;

Αδηλον.

Θάψεν ὅ με κτείνας κρυπτὸν φόνον. εἰ δέ με τύμβῳ
δωρεῖται, τοίης ἀντιτύχοι χάριτος.

Αδηλον.

Ζηνα συλήσας, δωρῇ τάφον. ἀλλά με κρύπτεις,
θάπτεις. τοίου καὐτὸς ὄναιο τάφου.

Αδηλον.

Κἢν με κατακρύπτῃς ὡς οὐδενὸς ἀνδρὸς ὁρῶντος,
ὄμμα δίκης καθορᾷ πάντα τὰ γιγνόμενα.

Αδηλον.

Εκτανες. εἶτα με θάπτεις ἀτάσθαλε χερσὶν ἐκείναις,
αἷς με διεχρήσω, μή σε λάθοι νέμεσις.

Αδηλον.

Εἴ με νέκυν κατέθαψας ἰδὼν οἰκτίρμονι θυμῷ,
εἶχες ἂν ἐκ μακάρων μισθὸν ἐπ' εὐσεβίῃ.
νῦν δ' ὅτε δὴ τύμβῳ με κατακρύπτεις ὁ φονεύσας,
τῶν αὐτῶν μετέχοις, ὧν περ ἐμοὶ παρέχεις.

Αδηλον.

Χερσὶ κατακτείνας, τάφον ἔκτισας. οὐχ ἵνα θάψῃς,
ἀλλ' ἵνα με κρύψῃς. ταὐτὸ δὲ καὶ σὺ πάθοις.

Σιμωνίδου.

Οἱ μὲν ἐμὲ κτείναντες, ὁμοίων ἀντιτύχοιεν
Ζεῦ ξένι'. οἱ δ' ὑπὸ γᾶν θέντες, ὄναιντο βίου.

Ιουλιανοῦ.

Οὔποτ' ἐμὲ κρύψεις ὑπὸ πυθμένα νείατον αἴης,
τόσον, ὅσον κρύψαι πανσκοπον ὄμμα δίκης.
ἀντὶ φόνου τάφον ἄμμι χαρίζεαι. ἀλλὰ καὶ αὐτὸς,
ἴσων ἀντιτύχοις οὐρανόθεν χαρίτων.

Ἀπολλωνίδου.

Ἔφθαιεν ἡλιόδωρος. ἐφέσπετο δ' οὐδ' ὅσον ὥρη
ὕστερον αὐδηῖ φίλῳ Διογένεια δάμαρ.
ἄμφω δ' ὡς ὑμέναιον ὁμοῦ πλακὶ τυμβεύονται,
ξυνὸν ἀγαλλόμενοι καὶ τάφον, ὡς θάλαμον.

Σαραπίωνος.

Τοῦτ' ὀστοῦν φωτὸς πολυεργέος. ἦ ῥά τις ἦθα
ἔμπορος, ἢ τυφλοῦ κύματος ἰχθυβόλος.
ἄγγειλον θνητοῖσιν ὅτι προλιπόντες ἐν ἄλλας
ἐλπίδας, εἰς ταύτην ἐλπίδα λυόμεθα.

Νοσσίδος.

Καὶ κάπυρον γελάσας παραμείβεο, καὶ φίλον εἰπὼν
ῥῆμ' ἐπ' ἐμοί, ῥίνθων εἰμ' ὁ συρηκόσιος,
μουσάων ὀλίγη τις ἀηδονίς. ἀλλὰ φλυάκων
ἐκ τραγικῶν, ἴδιον κισσὸν ἐδρεψάμεθα.

Μελεάγρου.

Νᾶσος ἐμὰ θρέπτειρα τύρος, πάτρα δέ με τεκνοῖ
ἀτθίς, ἐν ἀσσυρίοις ναιομένα γαδάροις.
εὐκρατέω δ' ἔβλαστον ὁ σὺν μούσαις Μελέαγρος,
πρῶτα μὲν ἱππείαις συντροχάσας χάρισιν.
εἰ δὲ σύρος, τί τὸ θαῦμα; μίαν ξένε πατρίδα κόσμον
ναίομεν, ἐν θνατοὺς πάντας ἔτικτε χάος.
πουλυετὴς δ' ἐχάραξα τάδ' ἐν δέλτοισι πρὸ τύμβου.
γῆρας γὰρ γείτων κἀγγύθεν αἴδεω.
ἀλλά με τὸν λάλιον, καὶ πρεσβύτην, σὺ προσειπὼν
χαίρειν, εἰς γῆρας καὐτὸς ἵκοιο λάλον.

Διοτίμου.

Ἐλπίδες ἀνθρώπων, ἐλαφραὶ θεαί, οὐ γὰρ ἂν ὧδε
λέσβον ὁ λυσιμελὴς ἀμφεκάλυψ' ἀΐδης,

ἧς ποτὲ καὶ Βασιλῆϊ συνέδραμε, καὶ μετ' ἐρώτων.
χαίρετε κουφότατοι δαίμονες ἀθανάτων.
Μοῦσαι δ' ἄφθεγτοι, καὶ ἀπενθέες, οἷς ἐνέπουσι
κεῖθ'. ἐπεὶ οὐθ' ᾠδὰς οὐ χορὸν οἶδ' Ἀχέρων.

Λεωνίδου.

Τί σχασώμεθά σου Πεισίστρατε, χῖον ὁρῶντες,
γλυπτὸν ὑπὲρ τύμβου κείμενον ἀστράγαλον;
ἦ ῥά γε μὴν ὅτι χῖος; ἔοικε γάρ. ἦ ῥ' ὅτι παίκτας
ἦσθά τις; οὐ λίην δ' ὠγαθὲ πλειστοβόλος.
ἦ τὰ μὲν, οὐδὲ σύνεγγυς, ἐν ἀκρήτῳ δὲ κατέσβης
χῖος. καὶ δωκέω τῷδε προσηγγίσαμεν.

Τοῦ αὐτοῦ.

Μνήμης οὐ Βύβλοιο σαόφρονος ὦ παριόντες,
πίνωμεν. κοινὸς πᾶσι λιμὴν ἀΐδης.

Αλεξάνδρου.

Ἄνθρωπ', οὐ Κροίσου λεύσσεις τάφον, ἀλλὰ γὰρ ἀνδρὸς
χερνήτεω. μικρὸς τύμβος, ἐμοὶ δ' ἱκανός.

Καλλιμάχου.

Κύζικον ἢν ἔλθῃς ὀλίγος πόνος ἱππακὸν εὑρεῖν,
καὶ Διδύμην. ἀφανὴς οὔτι γὰρ ἡ γενεή.
καί σφιν ἀνιηρὸν μὲν ἐρεῖς ἔπος. ἔμπα δὲ λέξον
τοῦθ', ὅτι τὸν κείνων υἱὸν ἔχω Κριτίαν.

Τοῦ αὐτοῦ.

Ἦ ῥ' ὑπὸ σοὶ Χαρίδας ἀναπαύεται; εἰ τὸν Ἀρίμμα
τοῦ Κυρηναίου παῖδα λέγεις, ὑπ' ἐμοί.
ὦ Χαρίδα, τί τὰ νέρθε; πολὺ σκότος. αἱ δ' ἄνοδοι, τί;
ψεῦδος. ὁ δὲ Πλούτων; μῦθος. ἀπωλόμεθα.
οὗτος ἐμὸς λόγος ὔμμιν ἀληθινός. εἰ δὲ τὸν ἡδὺν
βούλει, Πελλαίου βοῦς μέγας εἰς ἀΐδην.

Δαμαγήτου.

Πρὸς Ζηνὸς ξεῖνοι γουνούμεθα, πατρὶ Χαρίνῳ
ἄγγειλον Θήβην ὤνερ ἐπ' Αἰολίδα,
Μίκων καὶ Πολύνικον ὀλωλότε. καὶ τόδε φαίης,
ὡς οὐ τὸν δόλιον κλαιόμεν ἄμμι μόρον,
καί περ ὑπὸ Θρηκῶν φθίμενοι χερός, ἀλλὰ τὸ κεί
γῆρας, ἐν ἀργαλέῃ κείμενον ὀρφανίῃ.

Λεωνίδου.

Τίς δαίμων ἀργεῖος ἐπ' ἠρίῳ; ἦ ῥα σύναιμος
οὐ τι Δικαιοτέλους; οὐ τι Δικαιοτέλους.
ἠχὼ τοῦτ' ἐλάλησε πανύστατον. ἦ τόδ' ἀληθές
κεῖνος ὅδ' ἐστὶν ἀνήρ; κεῖνος ὅδ' ἐστὶν ἀνήρ.

Ἀδέσποτον.

Ἀγχίτοκον Σάτυρον Ἀΐδας λάχε. Σιδονία δὲ
κρύψε κόνις. πάτρα δ' ἐστονάχησε Τύρος.

Πλάτωνος εἰς τινα λεγόμενον ἀστέρα.

Ἀστέρας εἰσαθρεῖς ἀστὴρ ἐμός. εἴθε γενοίμην
οὐρανός, ὡς πολλοῖς ὄμμασιν εἰς σὲ βλέπω.
ἀστὴρ πρὶν μὲν ἔλαμπες ἐνὶ ζωοῖσιν ἑῷος.
νῦν δὲ θανὼν, λάμπεις ἕσπερος ἐν φθιμένοις.

Ἀδέσποτον. οἱ δὲ,

Νέρωνος.

Ἐμοῦ θανόντος, γαῖα μιχθήτω πυρί.
οὐδὲν μέλει μοι. τἀμὰ γὰρ καλῶς ἔχει.

Ἀδήλου.

Πάντα Χάρων ἄπληστε, τί τὸν νέον ἥρπασας αὔτως
ἄτλαλον. οὐ σὸς ἔην κεὶ θάνε γηραλέος;

Παλλαδᾶ.

Οὐκ ἀπεδήμησας τιμῆς χάριν, ἀλλὰ τελευτῆς
καὶ χωλὸς πρὶν ἐὼν, ἔδραμες εἰς ἀΐδην,

Γέσσιε μοιράων προκαλώτερε. ἐκ πενίης γὰρ
ἧς εἶχες κατὰ νοῦν, ἐξεκόπης βιότου.

Τοῦ αὐτοῦ.

Γέσσιος οὐ τέθνηκεν ἐπειγόμενος παρὰ μοίρης,
αὐτὸς τὴν μοῖραν προὔλαβεν εἰς ἀΐδην.

Ἄδηλα.

Γαῖα φίλη, τὸν πρέσβυν Ἀμύντιχον ἔνθεο κόλποις
πολλῶν μνησαμένη τῶν ἐπὶ σοὶ καμάτων.
καὶ γὰρ ἀεὶ πρέμνον σοι ἀνεστήριξεν ἐλαίης.
πολλάκι καὶ βρομίου κλήμασιν ἠγλάϊσεν,
καὶ Δηοῦς ἔπλησε, καὶ ὕδατος αὔλακας ἕλκων
θῆκε μὲν εὐλάχανον, θῆκε δ' ὀπωροφόρον.
ἀνθ' ὧν σὺ πρηεῖα κατὰ κροτάφου πολιοῖο
κεῖσο, καὶ εἰαρινὰς ἀνθοκόμει βοτάνας.

Ἀδέσποτον.

Πώλιττα, τλῆθι πένθος, εὔνασον δάκρυ.
πολλαὶ θανόντας εἶδον υἱεῖς μητέρες,
ἀλλ' οὐ τοιούτους τὸν τρόπον, καὶ τὸν βίον,
οὐ μητέρων σέβοντας ἡδίστην θέαν.
τί περισσὰ θρηνεῖς; τί δὲ μάτην ὀδύρεαι;
εἰς κοινὸν ᾅδην πάντες ἥξουσι βροτοί.

Ἀργενταρίου.

Ψύλλος ὁ τὰς ποθινὰς ἐπὶ μισθίδας αἰὲν ἑταίρας
πέμπων εἰς τὰ νέων ἡδέα συμπόσια,
οὗτος ὁ θηρεύων ἀπαλόφρονας, ἐνθάδε κεῖται,
αἰσχρὸν ἀπ' ἀνθρώπων μισθὸν ἐνεγκάμενος.
ἀλλὰ λίθους ἐπὶ τύμβον ὁδοιπόρε μήτε σὺ βάλλε,
μήτ' ἄλλον πείσῃς. σῆμα λέλογχε νέκυς.
φεῖσαι δ' οὐχ ὅτι κέρδος ἐπῄνεσεν, ἀλλ' ὅτι κοινὰς
θρέψας, μοιχεύειν οὐκ ἐδίδαξε νέους.

Θεαιτήτου.

Χείματος οἰνωθέντα τὸν Ἀνταγόρεω μέγαν οἶκον,
ἐκ νυκτῶν ἔλαβε πῦρ ὑπονειμάμενον.
ὀγδώκοντα δ' ἀριθμὸν ἐλεύθεροι ἄμμιγα δούλοις,
τῆς ἐχθρῆς ταύτης πυρκαϊῆς ἔτυχον.
οὐκ εἶχον διελεῖν προσκηδέες ὀστέα χωρίς·
ξυνὴ δ' ἦν κάλπις, ξυνὰ δὲ τὰ κτέρεα.
εἷς μὲν τύμβος ἀνέστη. ἀτὰρ τὸν ἕκαστον ἐκείνων,
οἶδε καὶ ἐν τέφρῃ ῥηϊδίως ἀΐδης.

Ἄδηλα.

Τὴν σορὸν, ἣν ἐσορᾷς, ζῶν Μάξιμος αὐτὸς ἑαυτῷ
θῆκεν, ὅπως ναίῃ, παυσάμενος βιότου.
σύν τε γυναικὶ καληποδίῃ τεῦξεν τόδε σῆμα,
ὡς ἵνα τὴν στοργὴν, καὶ φθιμένοισιν ἔχῃ.

Νηλεὲς ὦ δαῖμον, τί δέ μοι τόδε φέγγος ἔδειξας
εἰς ὀλίγων ἐτέων μέτρα μινυνθάδια;
ἢ ἵνα λυπήσῃς δι' ἐμὴν βιότοιο τελευτὴν,
μητέρα δειλαίην δάκρυσι, καὶ στοναχαῖς;
ἥ μ' ἔτεκ' ἤματι τῷδε, καὶ ἣ πολὺ μείζονα πατρὸς
φροντίδα παιδείης ἤνυσεν ἡμετέρης.
ὃς μὲν γὰρ τυτθόν τε, καὶ ὀρφανὸν ἐν μεγάροισι
κάλλιπεν. ἡ δ' ἐπ' ἐμοὶ πάντας ἔτλη καμάτους.
ἦ μὲν ἐμοὶ φίλον ἦεν ἐφ' ἀγνῶν ἡγεμονήων
ἐμπρεπέμεν μύθοις ἀμφὶ δικασπολίας.
ἀλλά με οὐ γενύων ὑπεδέξατο κούριον ἄνθος
ἡλικίης ἐρατῆς, οὐ γάμον, οὐ δαΐδας,
οὐχ ὑμέναιον ἄεισε περικλυτὸν, οὐ τέκος εἶδεν
δυσπότμου γενεῆς λείψανον ἡμετέρης,

τῆς πολυθρηνήτου. λυπεῖ δέ με καὶ τεθνεῶτα
μητρὸς Πωλίττης πένθος ἀεξόμενον,
φροντίδος γὰρ αἰὲς ἐπὶ φροντίσιν. ἦ τέκε παῖδα
ὠκύμορον, κενεὸν χάρμα φίλης πατρίδος.

Σιμωνίδου.

Πολλὰ φαγὼν, καὶ πολλὰ πιὼν, καὶ πολλὰ κάκ' εἰπὼν
ἀνθρώπους, κεῖμαι Τιμοκρέων ῥόδιος.

Ἀδήλου.

Βαιὰ φαγὼν, καὶ βαιὰ πιὼν, καὶ πολλὰ νοσήσας,
ὀψὲ μὲν, ἀλλ' ἔθανον, ἔῤῥετε πάντες ὁμοῦ.

Διοδώρου.

Βάκχω, καὶ μάσησι μεμηλότα τὸν Διοπείθους
Κεκροπίδην, ὑπ' ἐμοὶ ξεῖνε Μένανδρον ἔχω.
ἐν πυρὶ τὴν ὀλίγην ὃς ἔχει κόνιν. εἰ δὲ Μένανδρον
δίζηαι, δήεις ἐν Διὸς, ἢ μακάρων.

Φιλίππου.

Ἠόνιον τόδε σῆμα βροτοῦ πανελήμονος ἄθρει,
πὰρ τὴν ἀλιῤῥαγέων ψυχόμενον σκοπέλων.
τῇ μὲν, ἐρημοκόμης κεῖται, καὶ χῆρος ὀδόντων
κόρση. τῇ δὲ, χερῶν πενταφυεῖς ὄνυχες,
πλευρά τε σαρκολιπῆ. ταρσοὶ δ' ἑτέρωθεν ἄμοιροι
νεύρων, καὶ κώλων ἔκλυτος ἁρμονίη.
οὗτος ὁ πολυμερὴς, εἷς ἦν ποτε. φεῦ μακαριστοί,
ὅσσοι ἀπ' ὠδίνων οὐκ ἴδον ἠέλιον.

Ἀδήλου.

Μυρίος ἦν ὤνθρωπε πρὸ τοῦ χρόνος, ἄχρι πρὸς ἠῶ
ἦλθες, χ' ὡ λοιπὸς μυρίος εἰς ἀΐδην.
τίς μοῖρα ζωῆς ὑπολείπεται; ἢ ὅσον ὅσσον
στιγμὴ, καὶ στιγμῆς εἴ τι χαμηλότερον;



ALEXANDER ... ARAGONIAE ... GRATIA REX ... FERDINANDUS

μικρὴ σεῦ ζωὴ τεθλιμμένη. οὐδὲ γὰρ αὐτὴ
ἡδεῖ', ἀλλ' ἐχθροῦ στυγνοτέρη θανάτου.
χειμέριον ζωὴν ὑπαλεύεο. νεῖο δ' ἐς ὅρμον,
ὡς κἠγὼ Φείδων ὁ Κρίτου εἰς ἀΐδην.

Παύλου.

Δαμόχαρις μοίρης πυμάτην ὑπεδύσατο γαῖαν.
φεῦ, τὸ καλὸν μούσης βάρβιτον ἠρεμέει.
ὤλετο γραμματικῆς ἱερὴ βάσις. ἀμφιρύτη κῶς,
καὶ πάλι πένθος ἔχεις, οἷον ἐφ' ἱπποκράτει.

Κριναγόρου.

Ὠλύσιν ὄλβοιο Φιλόστρατε, ποῦ σοι ἐκεῖνα
σκῆπτρα, καὶ αἱ βασιλέων ἄφθονοι εὐτυχίαι,
αἷσιν ἐπωκώρησας ἀεὶ βίον, ἢ ἐπὶ νείλῳ
κεῖσαι ἰουδαίοις ὢν περίοπτος ὅροις.
ὀθνεῖοι καμάτους τοὺς σοὺς διεμοιρήσαντο.
σὸς δὲ νέκυς, ψαφαρῇ κείσετ' ἐν ὀστρακίνῃ.

Λεωνίδου.

Ἀρκεῖ μοι γαίης μικρὴ κόνις. ἡ δὲ περισσὴ,
ἄλλον ἐπιθλίβοι πλούσια κεκλιμένον.
στήλη, τὸ σκληρὸν νεκρῶν βάρος. οἵ με θανόντα
γνώσοντ', ἀλκανδρος, τοῦθ' ὅτι καλλιτέλους.

Λολλίου.

Γαῖα ταραντίνων, ἔχε μείλιχος ἀνέρος ἐσθλοῦ
τόνδε νέκυν. ψεῦσται δαίμονες ἀμβροσίων.
ἦ γὰρ ἐὼν θήληθεν ἀτύμνιος, οὐκ ἔτι πρόσσω
ἤνυσεν, ἀλλὰ τεὴν βῶλον ἐπωνίσατο.
ὀρφανικῷ δ' ἐπὶ παιδὶ λιπὼν βίον, εὖνιν ἔθηκεν
ὀφθαλμῶν. κείνῳ μὴ βαρὺς ἔσσο τάφος.

Κριναγόρου.

Δείλαιοι, τί κεναῖσιν ἀλώμεθα θαρσήσαντες
ἐλπίσιν, ἀτηροῦ αἰθόμενοι βιότου;
ἦν ὅδε καὶ μύθοισι, καὶ ἤθεσι πάντα Σέλευκος
ἄρτιος, ἀλλ' ἥβης βαιὸν ἐπαυρόμενος,
ὑστατίοις ἐν Ἴβηρσι. τόσον δίχα τηλόθι Λέσβου;
κεῖται ἀμετρήτων ξεῖνος ἐπ' αἰγιαλῶν.

Διοδώρου.

Ἰφθίμῳ τόδ' ἐπ' ἀνδρὶ φίλη πόλις εἷσ' Ἀχαιῶν
σῆμα παρ' εὐύδρου νάμασιν Ἀσκανίης.
κλαῦσε δέ μιν Νίκαια. πατὴρ δ' ἐπὶ οἱ Διομήδης
λάϊνον ὑψιφανῆ τόνδ' ἀνέτεινε τάφον
δύσμορος, αἰάζων ὀλοὸν κακόν. ἦ γὰρ ἐῴκει
υἱέϊ ᾧ τύνειν ταῦτα κατοιχομένῳ.

Θεοδωρίδου.

Οὕτω δὴ Πύλιοι τὸν ἀγήνορος ἄκριτε μοῖρα,
πρώϊον ἐξ ἥβης ἔθρισας Αἰολέων,
κῆρας ὑπαστεύσασα βίου κύνας; ὢ πόποι, ἀνὴρ
οἷος ἀμειδήτῳ κεῖται ἔλωρ Ἀΐδῃ.

Λεωνίδου.

Ἠρίον, οἷον νυκτὶ καταφθιμένοιο καλύπτεις
ὀστέον, οἵαν γᾶ ἀμφέχανες κεφαλήν,
πολλαῖς μὲν ξανθαῖσιν ἀρεσκομένην χαρίτεσσιν,
πολλὸν δὲ μνήμη πᾶσιν Ἀριστοκράτευς.
ᾔδει Ἀριστοκράτης καὶ μείλιχα δημολογῆσαι
στρεβλὴν οὐκ ὀφρὺν ἐσθλὸς ἐφελκόμενος.
ᾔδει καὶ Βάκχοιο παρὰ κρητῆρος ἀδηνῆ
ἰθῦναι κοινὴν εὐκύλικα λαλιήν
ᾔδει καὶ ξείνοισι, καὶ ἐνδήμοισι προσηνέα
ἔρδειν. γᾶ ἐρατή, τοῖον ἔχεις φθίμενον.

ALEXANDER ... ARAGONUM ... FERDINANDI

Πέρσου.

Μαντιάδης ὦ ξεῖνε καὶ Εὔστρατος, υἷες ἀχέλλου.
δυσμαίῃ κραναῇ κείμεθ' ἐνὶ ξυλόχῳ,
ἄγραυλοι, γενεῆθεν ὀρειτύποι. οἱ δ' ἐπὶ τύμβῳ
μηνυταὶ τέχνης, δουροτόμοι πελέκεις.

Ἀντιπάτρου.

Εἶπον ἀνειρομένῳ, τίς, καὶ τίνος ἐστὶ, Φίλαυλος;
Εὐκρατίδεω. ποδαπὸς δ' οὐκ ἔχε εἰπέμεν; θελασσ[illegible]ς.
ἔζησας δὲ, τίνα στέργων βίον; οὐ τὸν ἀρότρου,
οὐδὲ τὸν ἐκ νηῶν, τὸν δὲ σοφοῖς ἕταρον.
γήρᾳ δ' ἢ νούσῳ βίον ἔλλιπες; ἤλυθον ᾅδαν
αὐτοθελεὶ, κείνων γευσάμενος κυλίκων.
ἦ πρέσβυς; καὶ κάρτα. λάβοι νύ σε βῶλος ἐλαφρὰ,
σύμφωνον πινυτῷ ζώοντα λόγῳ βίοτον.

Λεωνίδου.

Τίς ποτ' ἄρ' εἶ; τίνος ἆρα παρὰ τρίβον ὀστέα ταῦτα
τλήμον' ἐν ἡμιφαεῖ λάρνακι γυμνὰ μένει;
μνῆμα δὲ, καὶ τάφος, αἰὲν ἁμαξεύοντος ὁδίτεω,
ἄξονι, καὶ τροχιῇ λιτὰ παραξέεται.
ἤδη σου καὶ πλευρὰ παρατρίψουσιν ἅμαξαι
σχέτλιε σοὶ δ' οὐδεὶς, οὐδ' ἐπὶ δάκρυ βαλεῖ.

Θεοδωρίδου.

Πέτρος ἐγὼ τὸ πάλαι γυρὴ, καὶ ἄτριπτος ἐπιβλὴς,
τὴν ἡρακλείτου ἔνδον ἔχων κεφαλήν.
αἰών μ' ἔτριψε κροκάλαις ἴσον. ἐν γὰρ ἁμάξῃ
παμφόρῳ αἰζηῶν εἰνοδίη τέταμαι.
ἀγγέλλω δὲ βροτοῖσι καὶ ἄστηλός περ ἐοῦσα,
θεῖον ὑλακτητὴν δήμου ἔχουσα κύνα.

Λεωνίδου.

Ἤδη μου τέτριπται ὑπεκκεκαλυμμένον ὀστεῦν,
ἁρμονίης ὦ νὸρ πλάξ ἔτ' ἐπικεκλιμένη.
ἤδη καὶ κωλῆνες ὑπεκ σοροῦ αὐγάζονται
ἡμετέρης. τί πλέον γῆν ἐπιγνύμεθα;
ἦ γὰρ τὴν οὕτω πρηνῆ ὁδὸν ἐτμήξαντο
ἄνθρωποι, κατ' ἐμῆς νισσόμενοι κεφαλῆς.
ἀλλ' ὦ πρὸς ἐγγαίων, Ἀϊδωνέος, Ἑρμεία τε,
καὶ νυκτὸς, ταύτης ἐκτὸς ἴτ' ἀτραπιτοῦ.

Διοσκορίδου.

Βάλλεθ' ὑπὲρ τύμβου πολιὰ κρίνα, καὶ τὰ συνήθη
τύμπαν' ἐπὶ στήλῃ ῥήσσετ' Ἀλεξιμένους.
καὶ περιδινήσασθε μακρῆς ἀνελίγματα χαίτης,
Στρυμονίην ἄφετοι θυιάδες ἀμφὶ πόλιν.
ἣ γλυκερὰ πνεύσαντος ἐφ' ὑμετέροισιν ἀδάπταις,
πολλάκι πρὸς μαλακοὺς τοῦδ' ἐχόρευσε νόμους.

Λεωνίδου.

Αὕτα ἐπὶ Κρήθωνος ἐγὼ λίθος, οὔνομα κείνου
δηλοῦσα. Κρήθων δ' ἐν χθονίοις σποδιά.
ὁ πρὶν καὶ Γύγῃ παρισεύμενος ὄλβον, ὁ πρὶν
βουπάμμων, ὁ πρὶν πλούσιος αἰπολίοις,
ὁ πρὶν, τί πλείω μυθεῦμαι; ἐπὶ πᾶσι μακαρτὸς,
φεῦ, ὅλης γαίης ὅσου ἔχει μόριον.

Καλλιμάχου.

Δαίμονα τίς δ' εὖ οἶδε τὸν αὔριον; ἡνίκα καὶ σὲ
Χαρμιτὸν ὀφθαλμοῖς χθιζὸν ἐν ἡμετέροις,
τῇ ἑτέρῃ κλαύσαντες ἐθάπτομεν οὐδὲν ἐκεῖνο
εἶδε πατὴρ Διοφῶν χρῆμ' ἀνιηρότερον.

ALEXANDRI ... ARAGONIAE ... FERDINANDI ...

Θεοφανοῦς.

Ἠρίον οὐκ ἐπὶ πατρὶ, πολυκλαύτου δ' ἐπὶ παιδὸς
Λῦσις ἔχων, κενεὴν τήνδ' ἀνέχωσε κόνιν,
οὔνομα ταρχύσας. ἐπεὶ οὐχ ὑπὸ χεῖρα τοκήων
ἤλυθε δυστήνου λείψανα Μαντιθέου.

Ἀντιπάτρου.

Κυλλήνη ὄρος ἀρκάδων ἀκούεις.
αὕτη σῆμ' ἐπίκειτ' Ἀπολλοδώρου.
Πίσηθεν μιν ἰόντα νυκτὸς ὥρῃ,
ἔκτεινεν Διόθεν πεσὼν κεραυνός.
τηλοῦ δ' Αἰγανέης τε, καὶ Βοροίης,
νικηθεὶς ὁ δρομεὺς, καθεύδει.

## ΕΙΣ ΑΡΧΑΙΟΥΣ ΤΙΝΑΣ. 7

Εἰς Κανδαύλην.

Ἀγαθίου.

Κανδαύλου τόδε σῆμα. δίκη δ' ἐμὸν οἶτον ἰδοῦσα,
οὐδὲν ἀλιτραίνειν τὴν παράκοιτιν ἔφη.
ἤθελε γὰρ δισσοῖσιν ὑπ' ἀνδράσι μὴ δὲ φανῆναι,
ἀλλ' ἢ τὸν πρὶν ἔχειν, ἢ τὸν ἐπισάμενον.
ἦν ἄρα Κανδαύλην παθέειν κακόν. οὐ γὰρ ἂν ἔτλη
δεῖξαι τὴν ἰδίην ὄμμασιν ἀλλοτρίοις.

Εἰς Σαρδανάπαλον.

Εὖ εἰδὼς ὅτι θνητὸς ἔφυς, τὸν θυμὸν ἄεξε,

ἐρπόμενος θαλίῃσι. θανόντι τοι, οὔτις ὄνησις.
καὶ γὰρ ἐγὼ σποδός εἰμι, Νίνου μεγάλης βασιλεύσας.
ταῦτ' ἔχω, ὅσσ' ἔφαγον, καὶ ἐφύβρισα, καὶ μετ' ἔρωτος
τέρπν' ἔπαθον. τὰ δὲ πολλὰ, καὶ ὄλβια κεῖνα, λέλειπται.
ἥδε σοφὴ βιότοιο παραίνεσις ἀνθρώποισι.

Εἰς Νιόβην.

Ὁ τύμβος οὗτος, ἔνδον οὐκ ἔχει νεκρόν.
ὁ νεκρὸς οὗτος, ἐκτὸς οὐκ ἔχει τάφον,
ἀλλ' αὐτὸς αὐτοῦ νεκρός ἐστι, καὶ τάφος.

Εἰς τὴν αὐτήν.

Ἀντιπάτρου

Γνῶναι σὺν τέκνοις νεκυοστόλε δέξομε πορθμεῦ
ταῦ λάλον. ἀρκεῖ σοι φόρτος ὁ Ταντάλιδος.
πληρώσει γαστὴρ μία σὸν σκάφος. εἴσι δὲ κοῦροι,
καὶ κοῦραι, Φοίβου σκῦλα, καὶ Ἀρτέμιδος.

Εἰς τὸ αὐτό. Λεωνίδου.

Πέτρος ἔτ' ἐν σιπύλῳ Νιόβη, θρήνοισιν ἀιάζει,
ἑπτὰ δὶς ὠδίνων μυρομένη θάνατον.
ἥξει δ' οὐδ' αἰῶνι γόου. τί δ' ἀλαζόνα μῦθον
φθέγξατο, τὸν ζωῆς ἅρπαγα καὶ τεκέων;

Εἰς Ἡρώ, καὶ Λέανδρον.

Ἀντιπάτρου.

Οὗτος ὁ Λειάνδροιο διάπλοος, οὗτος ὁ πόντου
πορθμὸς, ὁ μὴ μούνῳ τῷ φιλέοντι βαρύς.
ταῦθ' Ἡροῦς τὰ πάροιθεν ἐπαύλια. τοῦτο τὸ πύργου
λείψανον. ὁ προδότης ὧδ' ἐπέκειτο λύχνος.
κοινὸς δ' ἀμφοτέρους ὅδ' ἔχει τάφος, εἰσέτι καὶ νῦν
κείνῳ τῷ φθονερῷ μεμφομένους ἀνέμῳ.

ALEXANDER PP VI VALENTINUS FERDINANDUS REX ARAGONUM

Μελεάγρου εἰς Δάφνιν.

Οὐκ ἔθ' ὁμοῦ χιμάροισιν ἔχειν βίον, οὐκ ἔτι ναίειν
ὁ τραγόπους ἐθέλω Πὰν ὀρέων κορυφάς.
τί γλυκύ μοι; τί ποθεινὸν ἐν οὔρεσιν; ὤλετο Δάφνις,
Δάφνις, ὃς ἡμετέρῃ πῦρ ἔτεκε κραδίῃ.
ἄστυ τόδ' οἰκήσω. θηρῶν δέ τις ἄλλος ἐπ' ἄγρην
στελλέσθω. τὰ πάροιθ' οὐκ ἔτι Πανὶ φίλα.

Εἰς Τίμωνα τὸν μισάνθρωπον.

Ἐνθάδ' ἀπορρήξας ψυχὴν βαρυδαίμονα, κεῖμαι.
οὔνομα δ' οὐ πεύσεσθε. κακοὶ δὲ, κακῶς ἀπόλοισθε.

Λεωνίδου εἰς τὸν αὐτόν.

Τὴν ἐπ' ἐμοῦ στήλην παραμείβεο, μήτ' ἐμὲ χαίρειν
εἰπὼν, μήθ' ὅς τις, μὴ τίνος ἐξετάσας.
ἢ μὴ, τὴν, αὔεις, τελέσαις ὁδόν. ἢν δὲ παρέλθῃς
σιγῇ, μηδ' οὕτως ἣν ἀνύεις τελέσαις.

Πτολεμαίου εἰς τὸν αὐτόν.

Μὴ πόθεν εἰμὶ μάθῃς, μὴ δ' οὔνομα. πλὴν ὅτι θνήσκειν
τοὺς παρ' ἐμὴν στήλην ἐρχομένους ἐθέλω.

Καλλιμάχου εἰς τὸ αὐτό.

Τίμων, οὐ γὰρ ἔτ' ἐσσί, τί τοι φάος, ἢ σκότος ἐχθρόν;
τὸ σκότος. ὑμέων γὰρ πλείονες εἰν ἀΐδῃ.

Ἡγησίππου εἰς τὸ αὐτό.

Ὀξεῖαι πάντῃ περὶ τὸν τάφον εἰσὶν ἄκανθαι,
καὶ σκόλοπες. βλάψεις τοὺς πόδας ἢν προσίῃς.
Τίμων μισάνθρωπος ἐνοικέω. ἀλλὰ πάρελθε.
οἰμώζειν εἴπας πολλὰ, πάρελθε μόνον.

Ἀντιπάτρου σιδωνίου εἰς τὸν βασιλέα Πτολεμαῖον.

Μυρία τοι Πτολεμαῖε πατὴρ, ἐπὶ μυρία μάτηρ
τειρομένα, θαλεροὺς ἥκισαν πλοκάμους.

πολλὰ τιθηνητὴρ ὀλοφύρατο χερσὶν ἀμύξας,
ἀνδρομάχοις δνοφερὰν κρατὸς ὕπερθε κόνιν.
ἁ μεγάλα δ' Αἴγυπτος ἑὰν διετίλατο χαίταν,
καὶ πλατὺς Εὐρώπας ἐστονάχησε δόμος.
καὶ δ' αὐτὰ διὰ πένθος ἀμαυρωθεῖσα σελάνα,
ἄστρα, καὶ οὐρανίας ἀτραπιτοὺς ἔλιπεν.
ὤλεο γὰρ διὰ λοιμὸν ὅλας θοινήτορα χέρσου,
πρὶν πατέρων νεαρᾷ σκᾶπτρον ἑλεῖν παλάμᾳ.
οὐδέ σε νὺξ ἐκ νυκτὸς ἐδέξατο. δὴ γὰρ ἄνακτας
τοίους, οὐκ αΐδης, ζεὺς δ' εἰς ὄλυμπον ἄγει.

Ὁμήρου

Χαλκῆ παρθένος εἰμί. Μίδα δ' ἐπὶ σήματι κεῖμαι.
εὖτ' ἂν ὕδωρ τε νάῃ, καὶ δένδρεα μακρὰ τεθήλῃ.
ἠέλιός τ' ἀνιὼν λάμπῃ, λαμπρά τε σελήνη,
αὐτοῦ τῇδε μένουσα πολυκλαύτῳ ἐπὶ τύμβῳ,
ἀγγελέω παριοῦσι, Μίδας ὅτι τῇδε τέθαπται.

Ἀδήλου.

Τρηχεῖαν κατ' ἐμοῦ ψαφαρὴ κόνι, ῥάμνον ἑλίσσοις
πάντοθεν, ἢ σκολιῆς ἄγρια κῶλα βάτου.
ὡς ἐπ' ἐμοὶ μηδ' ὄρνις ἐν εἴαρι κοῦφον ἐρείδοι
ἴχνος. ἐρημάζω δ' ἥσυχα κεκλιμένος.
ἦ γὰρ ὁ μισάνθρωπος, ὁ μηδ' ἀστοῖσι φιληθεὶς
Τίμων, οὐδ' ἀΐδῃ γνήσιός εἰμι νέκυς.

Μὴ χαίρειν εἴπῃς με κακὸν κέαρ, ἀλλὰ πάρελθε.
ἶσον ἐμοὶ χαίρειν ἐστὶ, τὸ μή σε γελᾶν.

Καὶ νέκυς ὢν Τίμων, ἄγριος. σὺ δὲ δεινὲ πυλωρὲ
Πλούτωνος τάρβει Κέρβερε, μή σε δάκῃ.

Ὅστις με τριόδοισι μέσαις τάρχυσε θανόντα,
λυγρὰ παθὼν τύμβου μηδ᾽ ὀλίγαιο τύχοι.
πάντες ἐπεὶ Τίμωνα νέκυν καλέουσιν ὁδῖται,
καὶ μόρος ἄμμι μόνοις ἄμμορος ἡσυχίης.

Ἰουλιανοῦ.

Ἰουλιανὸς μετὰ Τίγριν ἀγαῤῥόον ἐνθάδε κεῖται,
ἀμφότερον, βασιλεύς τ᾽ ἀγαθὸς, κρατερός τ᾽ αἰχμητής.

Γαιτουλίου.

Παίδων Μηδείης οὗτος τάφος, οὓς ὁ πυρίπνους
ζῆλος τῶν Γλαύκης θῦμ᾽ ἐποίησε γάμων.
οἷς αἰεὶ πέμπει μειλίγματα Σισυφὶς αἶα,
μητρὸς ἀμειλίκτου θυμὸν ἱλασκομένη.

Θεοδώρου τοῦ αὐτοῦ εἰς μῖμον.

Νηλεὴς ἀίδης ὠθεῖ σοὶ δ᾽ ἐγέλασσε θανόντι
Τίτυρε, καὶ νεκύων θῆκέ σε μιμολόγον.

Παύλου.

Σιγᾷς χρυσοτόμαλε τὸ χάλκεον. οὐκ ἔτι δ᾽ ἡμῖν
εἰκόνας ἀρχεγόνων ἐκτελέεις μερόπων,
νεύμασιν ἀφθόγγοισι. τεὴ δ᾽ ὄλβισε σιωπὴ
νῦν στυγερὴ τελέθει, τῇ, πρὶν ἐθελγόμεθα.

## ΕΙΣ ΑΥΛΗΤΑΣ. 8

Ἀδήλου.

Ὀρφεὺς μὲν κιθάρᾳ πλεῖστον γέρας εἵλετο θνητῶν,
Νέστωρ δὲ γλώσσης ἡδυλόγου σοφίῃ.
τεκτοσύνῃ δ᾽ ἐπέων, πολυΐστωρ θεῖος Ὅμηρος.
Τηλεφάνης δ᾽ αὐλοῖς, οὗ τάφος οὗτος ὅδε.

Ἀδεσπότου.

Ἑλλὰς μὲν, Θήβας προτέρας προὔκρινεν ἐν αὐλοῖς.
Θῆβαι δὲ, Πρόνομον παῖδα τὸν Οἰνιάδου.

Ἀρχίου.

Αἰωρῇ θήρειον ἱμασσόμενος δέμας αὔραις
τλᾶμον ἀορτηθεὶς ἐκ λασίας πίτυος,
αἰωρῇ. Φοίβου γὰρ ἀνάρσιον εἰς ἔριν ἔστης,
πρῶνα Κελαινίτην ναιετάων Σάτυρε.
σεῦ δὲ βοὰν αὐλοῖο μελίβρομον, οὐκ ἔτι νύμφαι
ὡς πάρος ἐν Φρυγίοις οὔρεσι πευσόμεθα.

ΕΙΣ ΒΡΕΦΗ. Ποσειδίππου. 9

Τὸν τριετῆ παίζοντα ποτὶ φρέαρ Ἀστυάνακτα,
εἴδωλον μορφᾶς κωφὸν ἐπεσπάσατο.
ἐκ δ' ὕδατος τὸν παῖδα διάβροχον ἥρπασε μάτηρ,
σκεπτομένα ζωᾶς εἴ τινα μοῖραν ἔχει.
νύμφας δ' οὐκ ἐμίηνεν ὁ νήπιος, ἀλλ' ἐπὶ γούνων
ματρὸς κοιμηθεὶς, τὸν βαθὺν ὕπνον ἔχει.

Λουκιανοῦ.

Παῖδά με πενταέτηρον ἀκηδέα θυμὸν ἔχοντα,
νηλειὴς Ἀΐδης ἥρπασε Καλλίμαχον.
ἀλλά με μὴ κλαίοις. καὶ γὰρ βιότοιο μετέχον
παύρου, καὶ παύρων τῶν βιότοιο κακῶν.

Ἀδήλου.

Ἀδη ἀλιτάνευτε, καὶ ἄτροπε, τίπτε τὸν οὕτω
Κάλλαισχρον ζωᾶς νήπιον ὠρφάνισας;
ἔσται μὲν οὗτος παῖς ἐνὶ δώμασι Φερσεφονείας
παίγνιον. ἀλλ' οἴκοι λυγρὰ λέλοιπε πάθη.

Μακεδονίου.

Γαῖα, καὶ Εἰλείθυια, σὺ μὲν τέκες, ἡ δὲ καλύπτεις,
χαίρετον. ἀμφοτέραις ἤνυσα τὸ στάδιον.
εἶμι δὲ μὴ νοέων πόθι νείσομαι. οὐδὲ γὰρ ὑμέας
ἢ τίνος, ἢ τίς ἐών, οἶδα πόθεν μετέβην.

Ἀγαθίου.

Ἄβαλε, μὴ δ' ἐγένοντο γάμοι, μὴ νύμφια λέκτρα·
  οὐ γὰρ ἂν ὠδίνων ἐξεφάνη πρόφασις.
νῦν δ' ἡ μὲν τριτάλαινα γυνὴ τίκτουσα, κάθηται·
  γαστρὶ δὲ δυσκόλπῳ νεκρὸν ἔνεστι τέκος.
τριστὴ δ' ἀμφιλύκη δρόμον ἤνυσεν, ἐξότε μίμνει
  τὸ βρέφος, ἀπρήκτοις ἐλπίσι τικτόμενον.
κούφη σοι τελέθει γαστὴρ τέκος ἀντὶ κονίης.
  αὐτὸ γάρ σε φέρει, καὶ χθονὸς οὐ χατέεις.

Ἀντιπάτρου.

Τὸν μικρὸν Κλεόδημον ἔτι ζώοντα γάλακτι,
  ἴχνος ὑπὲρ τοίχων νηὸς ἐρεισάμενον,
ὁ θρῆιξ ἐτύμως Βορέης βάλεν εἰς ἁλὸς οἶδμα.
  κῦμα δ' ἀπὸ ψυχὴν ἔσβεσε νηπιάχου.
Ἰνοῖ, ἀνοικτίρμων τις ἔφυς θεὸς, ἣ Μελικέρτεω
  ἥλικος οὐκ ἀΐδην πικρὸν ἀπηλάσαο.

Διοδώρου.

Κλίμακος ἐξ ὀλίγης, ὀλίγον βρέφος ἐν Διοδώρου
  κάππεσεν, ἐκ δ' ἐάγη καίριον ἀστράγαλον,
δινηθεὶς προκάρηνος. ἐπεὶ δ' ἴδε θεῖον ἄνακτα
  ἀντόμενον, παιδνὰς αὐτίκ' ἔτεινε χέρας.
ἀλλὰ σὺ νηπιάχου δμωὸς κόνι, μήποτε βρίθειν
  ἰσέα, τοῦ διετοῦς φειδομένη κόρακος.

ΕΙΣ ΓΕΡΟΝΤΑΣ. Ἀδεσπότου. 10

Ἐξηκοντούτης Διονύσιος ἐνθάδε κεῖμαι,
  ταρσεὺς, μὴ γήμας· αἴθε δὲ μηδ' ὁ πατήρ.

Ἐπὶ τῷ ἑαυτὸν θάψαντι πρὸ τελευτῆς.

Γήραϊ καὶ πενίῃ τετρυμένος, οὐδ' ὀρέγοντος
  οὐδενὸς ἀνθρώπου δυστυχίης ἔρανον,

τοῖς τρομεροῖς

τοῖς προμόροις κώλοισιν ὑπήλυθον ἠρέμα τύμβον.
εὗρον δ' ἰξυροῦ τέρμα μόλις βιότου.
ἠλλάχθη δ' ἐπ' ἐμοὶ νεκύων νόμος. οὐ γὰρ ἔθνησκον
πρῶτον, ἔπειτ' ἐτάφην, ἀλλὰ ταφεὶς, ἔθανον.

Λεωνίδου.

Η γραῦς Νικὼ, Μελίτης τάφον ἐστεφάνωσε
παρθενικῆς. Ἀΐδη, τοῦθ' ὁσίως κέκρικας;

Ἀδέσποτον.

Εγὼ Φιλαινὶς ἡ 'πίβωτος ἀνθρώποις,
ἐνταῦθα γήρᾳ τῷ μακρῷ κεκοίμημαι.
μή μ' ὦ μάταιε ναῦτα τὴν ἄκραν κάμπτων,
χλεύην τε ποιοῦ, καὶ γέλωτα, καὶ λέσχην.
οὐ γὰρ μὰ τὸν Ζῆν', οὐ μὰ τοὺς κάτω κούρους,
οὐκ ἦν ἐς ἄνδρας μάχλος, οὐδὲ δημώδης.
Πολυκράτης δὲ, τὴν γονὴν ἀθηναῖος,
λόγων τι παιπάλημα, καὶ κακὴ γλῶσσα,
ἔγραψεν οἷ' ἔγραψεν. αὐτὴ δ' οὐκ οἶδα.

Ἀντιφίλου.

Νεκροδόκον κλιντῆρα φίλων ὁ πρέσβυς ἀείρων
ἔνδοθεν, ὄφρα λάβοι μισθὸν ἐφημέριον,
σφάλματος ἐξ ὀλίγοιο πεσὼν, θάνεν. ἦν γὰρ ἑτοῖμος
εἰς Ἀΐδην. ἕκαλεν δ' ἡ πολιὴ πρόφασιν.
ὃν δ' ἄλλοις ἐφόρει νεκυοστόλον, αὐτὸς ἐφ' αὑτῷ
ἀσκάντην ὁ γέρων ἀχθοφορῶν ἔλαθεν.

Ἀδέσποτον.

Τρεῖς ἐτέων δεκάδας, τριάδας δύο, μέτρον ἔθηκαν
ἡμετέρης βιοτῆς μάντιες αἰθέριοι.
ἀρκοῦμαι τούτοισιν. ὁ γὰρ χρόνος, ἄνθος ἄριστον
ἡλικίης. ἔθανεν χὠ τρὶ γέρων Πύλιος.

R

ALEXAND … ARAGONVM

## ΕΙΣ ΓΕΩΡΓΟΥΣ. ΙΙ

Αδήλου.

Οὕτω πᾶς ἀπόλωλε γεωπόνε, βῶλος ἀρότροις.
ἤδη καὶ τύμβους νωτοβατοῦσι βόες.
ὕννις δ᾽ ἐν νεκύεσσι. τί τὸ πλέον; ἢ πόσος οὗτος
πυρός, ὃν ἐκ τέφρης, κοὐ χθονὸς ἁρπάσετε;
οὐκ αἰεὶ ζήσεσθε. καὶ ὑμέας ἄλλος ἀρόσσει,
τοίης ἀρξαμένους πᾶσι κακοσπορίης.

## ΕΙΣ ΓΥΝΑΙΚΑΣ. Ι2

Λεωνίδου.

Τίς, τίνος εὖσα γύναι, παρίην ὑπὸ κίονα κεῖσαι;
Πρηξώ, Καλλιτέλους. καὶ ποδαπή; Σαμίη.
τίς δέ σε καὶ κτερέϊξε; Θεόκριτος, ᾧ με γονῆες
ἐξέδοσαν. θνήσκεις δ᾽ ἐκ τίνος; ἐκ τοκετοῦ.
εὖσα πόσων ἐτέων; δύο, κεἴκοσιν. ἦ ῥά γ᾽ ἄτεκνος;
οὐκ, ἀλλὰ τριετῆ Καλλιτέλην ἔλιπον.
ζώοι σοι κεῖνός γε, καὶ ἐς βαθὺ γῆρας ἵκοιτο.
καὶ σοὶ ξεῖνε πόροι πάντα τύχη τὰ καλά.

Διοσκορίδου οἱ δὲ Νικάρχου.

Τὴν γοεραῖς πνεύσασαν ἐν ὠδίνεσσι Λαμίσκην
ὕστατα, Νικαρέτης παῖδα, καὶ Εὐπόλιδος,
σὺν βρέφεσιν διδύμοις, Σαμίην γένος αἱ παρὰ Νείλῳ
κρύπτουσιν Λιβύης κόνιες εἰκοσέτιν.
ἀλλὰ κόραι τῇ παιδὶ λεχώϊα δῶρα φέρουσαι,
θερμὰ κατὰ ψυχροῦ δάκρυα χεῖτε τάφου.

Τοῦ αὐτοῦ, οἱ δὲ Ἑκαταίου Θασίου.

Αρχέλεώ με δάκρυματα Πολυξείνην Θεοδέκτου
παῖδα, καὶ αἰνοπαθοῦς ἔννεπε Δημαρέτης.

ὅσσον ἐπ᾽ ὠδίσιν, καὶ μητέρα. παῖδα τε δαίμων
 ἔφθασεν, οὐδ᾽ αὐτὴν εἴκοσι κελίων.
ὀκτωκαιδεκέτις δ᾽ αὐτὴ θάνον, ἄρτι τεκοῦσα,
 ἄρτι δὲ καὶ νύμφη, πάντ᾽ ὀλιγοχρόνιος.

Εἰς τὴν πέραν κωνσταντινουπό-
λεως δάμαλιν.

Ιναχίης οὐκ εἰμὶ βοὸς τύπος, οὐδ᾽ ἀπ᾽ ἐμεῖο
 κλήζεται ἀντωπὸν βοσπόριον πέλαγος.
κείνην γὰρ τοπάροιθε βαρὺς χόλος ἤλασεν ἥρης
 ἐς φάρον, ἥδε δ᾽ ἐγὼ κεκροπίς εἰμι νέκυς.
εὐνέτις ἦν δὲ Χάρητος. ἔπλων δ᾽ ὅτ᾽ ἔπλωεν ἐκεῖνος
 τῇδε, φιλιππείων ἀντίπαλος σκαφέων.
βοΐδιον δ᾽ ἤκουον ἐγὼ τότε, νῦν δὲ Χάρητος
 εὐνέτις, ἠπείροις τέρπομαι ἀμφοτέραις.

Μελεάγρου.

Οὐ γάμον, ἀλλ᾽ ἀΐδην ἐπινυμφίδιον Κλεαρίστη
 δέξατο, παρθενίης ἅμματα λυομένη.
ἄρτι γὰρ ἑσπέριοι νύμφης ἐπὶ δικλίσιν ἤχευν
 λωτοί, καὶ θαλάμων ἐπλαταγεῦντο θύραι.
ἠῷοι δ᾽ ὀλολυγμὸν ἀνέκραγον. ἐκ δ᾽ ὑμέναιος
 σιγαθεὶς, γοερὸν φθέγμα μεθαρμόσατο.
αἱ δ᾽ αὐταὶ καὶ φέγγος ἐδᾳδούχουν παρὰ παστῷ
 πεῦκαι, καὶ φθιμένᾳ νέρθεν ἔφαινον ὁδόν.

Φιλίππου.

Αρτι μὲν ἐν θαλάμοις νικιππίδος, ἡδὺς ἐπήχει
 λωτὸς, καὶ γαμικοῖς ὕμνος ἔχαιρε κρότοις.
θρῆνος δ᾽ εἰς ὑμέναιον ἐκώμασεν. ἡ δὲ τάλαινα,
 οὔπω πάντα γυνὴ, καὶ νέκυς ἐβλέπετο.
δακρυόεις ἀΐδη, τί πόσιν νύμφης διέλυσας,
 αὐτὸς ἐφ᾽ ἁρπαγίμοις τερπόμενος λεχέεσιν;



ALEXANDRI · ARAGONIAM · FERDINANDI

Ἀντιπάτρου σιδωνίου,
εἰς Λαΐδα.

Τὴν καὶ ἅμα χρυσῷ, καὶ ἁλουργίδι, καὶ σὺν ἔρωτι
θρυπτομένην, ἁπαλῆς Κύπριδος ἀβροτέραν
Λαΐδ' ἔχω, πολιῆτιν ἁλιζώνοιο κορίνθου,
πειρήνης λευκῶν φαιδροτέρην λιβάδων,
τὴν θνητὴν κυθέρειαν, ἐφ' ᾗ μνηστῆρες ἀγαυοὶ
πλείονες, ἢ νύμφης εἵνεκα τυνδαρίδος,
δρεπτόμενοι χαρίτας τε, καὶ ὠνητὴν ἀφροδίτην.
ἧς καὶ ὑπὸ εὐώδει τύμβος ὄδωδε κρόκῳ.
ἧς ἔτι κυώεντι μύρῳ τὸ διάβροχον ὀστεῦν,
καὶ λιπαραὶ θυόεν ἆσθμα πνέουσι κόμαι.
ἧς ἔπι, καλὸν ἄμυξε κατὰ ῥέθος ἀφρογένεια,
καὶ γοερὸν λύζων ἐστονάχησεν ἔρως.
εἰ δ' οὐ πάγκοινον δούλην θέτο κέρδεος εὐνήν,
ἑλλὰς ἄν, ὡς ἑλένης τῆσδ' ὕπερ, ἔσχε πόνον.

Πομπηΐου νεωτέρου εἰς τὸ αὐτό.

Ἡ τὸ καλόν, καὶ πᾶσιν ἐράσμιον ἀνθήσασα,
ἡ μόνη χαρίτων λείρια δρεψαμένη,
οὐκ ἔτι χρυσοχάλινον ὁρᾷ δρόμον ἠελίοιο
Λαΐς, ἐκοιμήθη δ' ὕπνον ὀφειλόμενον,
κώμους, καὶ τὰ νέων ζηλώματα, καὶ τὰ ποθεύντων
κνίσματα, καὶ μύστην λύχνον ἀπειπαμένη.

Ἀγαθίου σχολαστικοῦ εἰς τὸ αὐτό.

Ἔρπων εἰς ἐφύρην, τάφον ἔδρακον ἀμφικέλευθον
Λαΐδος ἀρχαίης, ὡς τὸ χάραγμα λέγει.
δάκρυ δ' ἐπιπροϊείσας, χαίροις γύναι. ἐκ γὰρ ἀκοῆς
οἰκτείρω σε ἔφην, ἣν πάρος οὐκ ἴδομην.
ὦ πόσον ἠιθέων νόον ἤκαχες. ἀλλ' ἴδε λήθην
ναίεις, ἀγλαΐην ἐν χθονὶ κατθεμένη.

Ἀδεσπότου.

Ἐκμαίη πρὸς ἔρωτα, καὶ ἡδέα Κύπριδος ἔργα
Πατροφίλα, κανθὸς σοῦ γλυκερὸς ἔμυσεν.
ἐσβέσθη δὲ τὰ φίλτρα τὰ κωτίλα, χὼ μετ' ἀοιδῆς
ψαλμὸς, καὶ κυλίκων αἱ λαμυραὶ προπόσεις.
ᾅδη δυσκίνητε, τί τὴν ἐπέραστον ἑταίρην
ἥρπασας; ἢ καὶ σὴν Κύπρις ἔμηνε φρένα;

Φιλοδήμου.

Ἐνθάδε τῆς τρυφερῆς μαλακὸν ῥέθος, ἐνθάδε κεῖται
Τρυγόνιον, σαβακῶν ἄνθεμα σαλμακίδων.
ᾗ καλύβη, καὶ δῶμος ἐνέπρεπεν, ᾗ φιλοπαίγμων
στωμυλίη, μήτηρ ἣν ἐφίλησε θεῶν.
ἡ μόνη ἔρξασα τὰ Κύπριδος ἀμφὶ γυναικῶν
ὄργια, καὶ φίλτρων Λαΐδος ἁψαμένη,
φῦε κατὰ στήλης ἱερὴ κόνι τῇ φιλοβάκχῳ
μὴ βάτον, ἀλλ' ἁπαλὰς λευκοΐων κάλυκας.

Θυίλλου.

Ἡ κροταλὶς ὀρχηστρὶς Ἀρίστιον, ἡ ποδὶ πεύκαις,
καὶ κυβέλης πλοκάμους ῥῖψαι ἐπισταμένη,
ἡ λωτῷ κερόεντι φορευμένη, ἡ τρὶς ἐφεξῆς
εἰδυῖ' ἀκρήτου χειλοποτεῖν κύλικας,
ἐνθάδ' ὑπὸ πτελέαις ἀναπαύεται, οὐκ ἔτ' ἔρωτι,
οὐκ ἔτι παννυχίδων τερπομένη καμάτοις.
κῶμοι καὶ μανίαι, μέγα χαίρετε. κεύθεται ᾅδῃ,
ἡ τὸ πρὶν στεφάνων ἄνθεσι κρυπτομένη.

Ἀδεσπότου.

Εἴκοσι Καλλικράτεια, καὶ ἐννέα τέκνα τεκοῦσα,
οὐδενὸς οὐδὲ μιῆς ἐδρακόμην θάνατον,
ἀλλ' ἑκατὸν καὶ πέντε διηνυσάμην ἐνιαυτοὺς,
σκήπωνι τρομερὰν οὐκ ἐπιθεῖσα χέρα.

Ἅδ' ἐγὼ ἡ περίβωτος, ὑπὸ πλακὶ τῇδε τέθαμμαι,
μούνῳ ἐνὶ ζώναν ἀνέρι λυσαμένη.

Διοσκορίδου εἰς τὰς Λυκαμβίδας.

Οὐ μὰ τόδε φθιμένων σέβας ὅρκιον, αἵδε Λυκάμβεω,
αἳ λάχομεν στυγερὴν κληδόνα θυγατέρες,
οὔτε τι παρθενίην ᾐσχύναμεν, οὔτε τοκῆας,
οὔτε Πάρον, νήσων αἰπυτάτην ἱερῶν,
ἀλλὰ καθ' ἡμετέρης γενεῆς ῥιγηλὸν ὄνειδος,
φήμην τε στυγερὴν ἔφλυσεν Ἀρχίλοχος.

Ἀδέσποτον εἰς τὸ αὐτό.

Ἀρχίλοχον μὰ θεοὺς, καὶ δαίμονας, οὔτ' ἐν ἀγυιαῖς
εἴδομεν, οὔθ' Ἥρης ἐν μεγάλῳ τεμένει.
εἰ δ' ἦμεν μάχλοι, καὶ ἀτάσθαλοι, οὐκ ἂν ἐκεῖνος
ἤθελεν ἐξ ἡμέων γνήσια τέκνα τεκεῖν.

Ἄδηλον εἰς τὸ αὐτό.

Δεξιτερὴν Ἀΐδαο θεοῦ χέρα, καὶ τὰ κελαινὰ
ὄμνυμεν ἀρρήτου δέμνια Φερσεφόνης,
παρθένοι ὡς ἔτυμον, καὶ ὑπὸ χθονί. πολλὰ δ' ὁ πικρὸς
αἰσχρὰ καθ' ἡμετέρης ἔφλυσε παρθενίης
Ἀρχίλοχος. ἐπέων δὲ καλὴν φάτιν, οὐκ ἐπὶ καλὰ
ἔργα, γυναικεῖον δ' ἔτραπεν εἰς πόλεμον.
Πιερίδες, τί κόρῃσιν ἐφυβριστῆρας ἰάμβους
ἐτράπετ', οὐχ ὁσίῳ φωτὶ χαριζόμεναι;

Ἀντιπάτρου.

Τὰν μὲν ἀεὶ πολύμυθον, ἀεὶ λάλον ὦ ξένε κίσσα
φάσει. τὰν δὲ μέθας σύντροφον, ἅδε κύλιξ.
τὰν κρῆσσαν δὲ, τὰ τόξα. τὰ δ' εἴρια, τὴν φιλεργόν.
αὔδημα δ' αὖ μίτρας, τὴν πολιοκρόταφον.
τοιάνδε σταλοεργὸς ὅδ' ἔκρυφε Βιτίδα τύμβος,
τὰν Ζμελαγαύλου νυμφιδίαν ἄλοχον.

ἀλλ' ὤνερ, καὶ χαῖρε. καὶ οἰχομένοισιν ἐς ἄδαν
ταὐτὰμ μύθων αὖθις ὄπαζε χαίρειν.

Ἀλκαίου εἰς γυναῖκα, ἥτις ἐκαλεῖτο Φιδίς.

Δίζημαι κατὰ θυμὸν ὅτου χάριν ἀπαροδῖτις
διοσάκι φῖ μοῦνον γράμμα λέλογχε λίθος,
λαοτύποις σμίλαις κεκολαμμένον. ἦ ῥα γυναικὶ
τᾷ χθονὶ κευθομένᾳ χιλιὰς ἦν ὄνομα;
τοῦτο γὰρ ἀγγέλλει κορυφούμενος εἰς ἓν ἀριθμός.
ἢ τὸ μὲν εἰς ὀρθὰν ἀτραπὸν οὐκ ἔμολεν,
ἡ δ' οἰκτρὸν ναίουσα τόδ' ἠρίον, ἔπλετο Φιδίς.
νῦν σφιγγὸς γρίφους Οἰδίπος ἐφρασάμην.
αἰνετὸς ὁ ἐκ διοσοῖο καμὼν αἴνιγμα τύποιο,
φέγγος μὲν ξυνετοῖς, ἀξυνέτοις δ' ἔρεβος.

Λεωνίδου.

Αὐτὰ Τιμόκλει', αὐτὰ Φιλώ, αὐτὰ Ἀριστώ,
αὐτὰ Τιμαιθώ, παῖδες Ἀριστοδίκου,
πᾶσαι ὑπ' ὠδῖνος πεφονευμέναι. αἷς ἔπι, τοῦτο
σᾶμα πατὴρ στάσας, κάτθαν' Ἀριστόδικος.

Ἀγαθίου σχολαστικοῦ ἐπὶ τῇ ἰδίᾳ μητρὶ
κειμένῃ ἐν Βυζαντίῳ.

Ὦ ξένε, τί κλαίεις; διὰ σὸν μόρον. οἶσθα τίς εἰμι;
οὐ μὰ τόν. ἀλλ' ἔμπης οἰκτρὸν ὁρῶ τὸ τέλος.
ἐσσὶ δὲ τίς; Περίκλεια. γυνὴ τίνος; ἀνδρὸς ἀρίστου
ῥήτορος, ἐξ Ἀσίης, οὔνομα Μεμνονίου.
πῶς δέ σε Βοσπορίη κατέχει κόνις; εἴρεο μοίρας,
ἥ μοι τῆλε πάτρης ξεῖνον ἔδωκε τάφον.
παῖδα λίπες; τριέτηρον, ὃς ἐν μεγάροισιν ἀλύων,
ἐκδέχεται μαζῶν ἡμετέρων σταγόνα.
αἴθε καλῶς ζώοι. ναὶ ναὶ φίλος, εὔχεο κείνῳ,
ὄφρα μοι ἡβήσας, δάκρυ φίλον σταλάσοι.

Μελεάγρου.

Δάκρυά σοι καὶ νέρθεν ὑπὸ χθονὸς Ἡλιοδώρα
 δωροῦμαι, στοργᾶς λείψανον εἰς ἀΐδην,
δάκρυα δυσδάκρυτα. πολυκλαύτῳ δ' ἐπὶ τύμβῳ
 σπένδω μνᾶμα πόθων, μνᾶμα φιλοφροσύνας.
οἰκτρὰ γάρ, οἰκτρὰ φίλαν σε καὶ ἐν φθιμένοις Μελέαγρος
 αἰάζω, κενεὰν εἰς ἀχέροντα χάριν.
αἶ, αἶ, ποῦ τὸ ποθεινόν ἐμοὶ θάλος; ἅρπασεν ἅδας;
 ἅρπασεν. ἀκμαῖον δ' ἄνθος ἔφυρε κόνις.
ἀλλά σε γουνοῦμαι γᾶ πάντροφε, τὰν πανόδυρτον
 ἠρέμα σοῖς κόλποις μᾶτερ ἐναγκάλισαι.

Τύμνεω.

Μή σοι τοῦτο Φιλαινί, λίην ἀποκαίριον ἔστω,
 εἰ μὴ πρὸς νείλῳ γῆς μορίης ἔτυχες.
ἀλλά σ' ἐλευθερίης ὅδ' ἔχει τάφος. ἔστι γὰρ ἴση
 πάντοθεν εἰς ἀΐδην ἐρχομένοισιν ὁδός.

Σαπφοῦς.

Τιμάδος ἅδε κόνις. τὰν δὴ πρὸ γάμοιο θανοῦσαν,
 δέξατο Φορσεφόνας κυάνεος θάλαμος.
ἇς καὶ ἀποφθιμένας, πᾶσαι νεοθηγεῖ χαλκῷ
 ἄλικες, ἱμερτὰν κρατὸς ἔθεντο κόμαν.

Καλλιμάχου.

Τιμονόη, τίς δ' ἐσσί; μὰ δαίμονας, οὔ σ' ἂν ἐπέγνων,
 εἰ μὴ Τιμοθέου πατρὸς ἐπῆν ὄνομα
στήλη, καὶ μίθυμνα τεὴ πόλις; ἦ μέγα φημὶ
 χῆρον ἀνιᾶσθαι σὸν πόσιν Εὐθυμένη.

Ἰωάννου ποιητοῦ τοῦ
Βαρβουκάλου.

Εἰς πόσιν ἀθρήσασα παρ' ἐσχατίης λίνα μοίρης,
 ἤνεσα καὶ χθονίας, ἤνεσα καὶ ζυγίας.

τοῦ μὲν, ὅτι ζωὸν λίπον ἀνέρα. τοὺς δ' ὅτι τοῖον.
ἀλλὰ πατὴρ μίμνοι παισὶν ἐφ' ἡμετέροις.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Τοῦτο σαοφροσύνας ἀντάξιον εὕρεο Νοσώ,
δάκρυα σοι γαμέτας ἀπεῖσε καταφθιμένᾳ.

Κύρου ποιητοῦ.

Τρεῖς ἐτέων δεκάδες, μαίης χρόνος, ἣν τρία δ' ἄλλα
ἔτρεχεν. ἀλλ' ἀΐδης πικρὸν ἔπεμψε βέλος.
θηλυτέρην δ' ἥρπαξε ῥόδων καλύκεσιν ὁμοίην,
πάντ' ἀπομαξαμένην ἔργα τὰ Πηνελόπης.

Ἰουλιανοῦ αἰγυπτίου.

Αὐτὴν Θεοδότην ὁ ζωγράφος. αἴθε δὲ τέχνης
ἤμβροτε, καὶ λήθην δῶκεν ὀδυρομένοις.

Λεοντίου σχολαστικοῦ.

Σῆμα Ῥόδης. τυρίη δὲ γυνὴ πέλεν. ἀντὶ δὲ πάτρης,
ἵκετο τήνδε πόλιν, κηδομένη τεκέων.
αὐτὴ ἀειμνήστοιο λέχος κόσμησε Γεμέλλου,
ὃς πάρος εὐνομίης ἴδμονα θῆκε πόλιν.
γήραϊ μὲν μόρον εὗρεν. ὄφελλε δὲ μυρία κύκλα
ζώειν. τῶν ἀγαθῶν οὐ δεχόμεθα κόρον.

Ἀγαθίου εἰς τὴν ἀδελφὴν αὐτοῦ Εὐγενίαν.

Τὰν πάρος ἀνθήσασαν ἐν ἀγλαΐῃ καὶ ἀοιδαῖς,
τὰν πολυκυδίστου μνάμονα θεσμοσύνας,
Εὐγενίαν κρύπτει χθονίη κόνις. ἀμφὶ δὲ τύμβῳ
κείραντο πλοκάμους, μοῦσα, θέμις, Παφίη.

Ἰουλιανοῦ αἰγυπτίου.

Οὔνομα μὲν Καλή. φρεσὶ δὲ πλέον, ἠὲ προσώπῳ
κάτθανε. φεῦ, χαρίτων ἐξαπόλωλεν ἔαρ.
καὶ γὰρ ἔην Παφίῃ πανομοίιος. ἀλλὰ σαοφροσύνα
μούνῳ. τοῖς δ' ἑτέροις Π[illegible]ς ἐρυμνοτάτη.

Μελεάγρου.

Δάκρυά σοι καὶ νέρθεν ὑπὸ χθονὸς ἡλιοδώρα
δωροῦμαι, στοργᾶς λείψανον εἰς ἀΐδην,
δάκρυα δυσδάκρυτα. πολυκλαύτῳ δ᾽ ἐπὶ τύμβῳ,
σπένδω μνᾶμα πόθων, μνᾶμα φιλοφροσύνας.
οἰκτρὰ γάρ, οἰκτρὰ φίλαν σε καὶ ἐν φθιμένοις Μελέαγρος
αἰάζω, κενεὰν εἰς ἀχέροντα χάριν.
αἶ, αἶ, ποῦ τὸ ποθεινόν ἐμοὶ θάλος; ἅρπασεν ἅδας;
ἅρπασεν. ἀκμαῖον δ᾽ ἄνθος ἔφυρε κόνις.
ἀλλά σε γουνοῦμαι γᾶ πάντροφε, τὰν πανόδυρτον
ἠρέμα σοῖς κόλποις μᾶτερ ἐναγκάλισαι.

Τύμνεω.

Μή σοι τοῦτο φιλαινί, λίην ἀποκαίριον ἔστω,
εἰ μὴ πρὸς νείλῳ γῆς μορίης ἔτυχες.
ἀλλά σ᾽ ἐλευθορίης ὅδ᾽ ἔχει τάφος. ἔστι γὰρ ἴση
πάντοθεν εἰς ἀΐδην ἐρχομένοισιν ὁδός.

Σαπφοῦς.

Τιμάδος ἅδε κόνις. τὰν δὴ πρὸ γάμοιο θανοῦσαν,
δέξατο Φερσεφόνας κυάνεος θάλαμος.
ἇς καὶ ἀποφθιμένας, πᾶσαι νεοθηγεῖ χαλκῷ
ἅλικες, ἱμερτὰν κρατὸς ἔθεντο κόμαν.

Καλλιμάχου.

Τιμονόη, τίς δ᾽ ἐσσί; μὰ δαίμονας, οὔ σ᾽ ἂν ἐπέγνων,
εἰ μὴ Τιμοθέου πατρὸς ἐπῆν ὄνομα
στήλῃ, καὶ μίθυμνα τεὴ πόλις; ἦ μέγα φημὶ
χῆρον ἀνιᾶσθαι σὸν πόσιν Εὐθυμένη.

Ιωάννου ποιητοῦ τοῦ
Βαρβουκάλλου.

Εἰς πόσιν ἀθρήσασα παρ᾽ ἐσχατίης λίνα μοίρης,
ἤνεσα καὶ χθονίους, ἤνεσα καὶ ζυγίους.

ALEXANDER PP VI VALENTINUS FERDINAND

τοῦ μὲν, ὅτι ζωὸν λίπον ἀνέρα. τοὺς δ᾽ ὅτι τοῖον.
ἀλλὰ πατὴρ μίμνοι παισὶν ἐφ᾽ ἡμετέροις.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Τοῦτο σαοφροσύνας ἀντάξιον εὕρεο Νοσσώ,
δάκρυά σοι γαμέτας ἀπεῖσε καταφθιμένᾳ.

Κύρου ποιητοῦ.

Τρεῖς ἐτέων δεκάδες, μαίης χρόνος, ὧν τρία δ᾽ ἄλλα
ἔτρεχον. ἀλλ᾽ ἀΐδης πικρὸν ἔπεμψε βέλος.
θηλυτέρην δ᾽ ἥρπαξε ῥόδων καλύκεσσιν ὁμοίην,
πάντ᾽ ἀπομαξαμένην ἔργα τὰ Πηνελόπης.

Ἰουλιανοῦ αἰγυπτίου.

Αὐτὴν Θεοδότην ὁ ζωγράφος. αἴθε δὲ τέχνης
ἤμβροτε, καὶ λήθην δῶκεν ὀδυρομένοις.

Λεοντίου σχολαστικοῦ.

Σῆμα Ῥόδης. Τυρίη δὲ γυνὴ πέλεν. αὐτὶ δὲ πάτρης,
ἵκετο τήνδε πόλιν, κηδομένη τεκέων.
αὕτη ἀειμνήστοιο λέχος κόσμησε Γεμέλλου,
ὃς πάρος εὐνομίης ἴδμονα θῆκε πόλιν.
γρηῦς μὲν μόρον εὗρεν. ὄφελλε δὲ μυρία κύκλα
ζώειν. τῶν ἀγαθῶν οὐ δεχόμεθα κόρον.

Ἀγαθίου εἰς τὴν ἀδελφὴν αὐτοῦ Εὐγενίαν.

Ταν πάρος ἀνθήσασαν ἐν ἀγλαΐῃ, καὶ ἀοιδᾷ,
τὰν πολυκυδίστου μνάμονα θεσμοσύνας,
Εὐγενίαν κρύπτει χθονίη κόνις. ᾇ δ᾽ ἐπὶ τύμβῳ
κείραντο πλοκάμους, μοῦσα, θέμις, Παφίη.

Ἰουλιανοῦ αἰγυπτίου.

Οὔνομα μὲν Καλή. φρεσὶ δὲ πλέον, ἠὲ προσώπῳ
κάτθανε. φεῦ, χαρίτων ἐξαπόλωλεν ἔαρ.
καὶ γὰρ ἔην Παφίῃ πανομοίιος. ἀλλὰ συνεύνῳ
μούνῳ. τοῖς δ᾽ ἑτέροις, Π[illegible]ς ἐρυμνοτάτη.

τίς λίθος οὐκ ἐγόησεν, ὅτ᾽ ἐξήρπασεν ἐκείνην
 θυγατέρα αἴδης ἀνδρὸς ἀπ᾽ ἀγκαλίδων;

Τοῦ αὐτοῦ πωθαστικόν.

Σοὶ σορὸν ἐυλαΐγγα Ροδοῖ, καὶ τύμβον ἐγείρει,
 ῥύσιά τε ψυχῆς δῶρα πρὶν κοι νέμει
αὐτ᾽ ὀυδρ γνσίης γλυκερὸς πόσις. ὅττι θανοῦσα
 ὠκύμορος, κείνῳ δῶκας ἐλευθερίην.

Παλλαδᾶ.

Ψύλλα πρεσβυγενὴς τοῖς κληρονόμοις φθονέουσα,
 αὐτὴ κληρονόμος τῶν ἰδίων γέγονεν.
ἀλλομένη δὲ τάχος, κατέβη δόμον εἰς ἀΐδαο,
 ταῖς δαπάναις τὸ ζῆν σύμμετρον εὑραμένη.
πάντα φαγοῦσα βίον, συναπώλετο ταῖς δαπάναισιν.
 ἥλατο δ᾽ εἰς ἀΐδην ὡς ἀπεκαρμάτισεν.

Εὐτολμίου.

Υἱέος ὠκυμόρου θάνατον πενθοῦσα Μενίππη,
 κωκυτῷ μεγάλῳ πνεῦμα συνεξέχεεν.
οὐδ᾽ ἔχεν παλίνορσον ἀναπνεύσασα γοῆσαι,
 ἀλλ᾽ ἅμα καὶ θρήνου παύσατο, καὶ βιότου.

Αδέσποτον.

Υστάτιον ἐθρήνησε τὸν ὠκύμορον Κλεαρίστη
 παῖδα, καὶ ἀμφὶ τάφῳ πικρὸν ἔπαυσε βίον.
κωκύσασα γὰρ ὅσσον ἐχάνδανε μητρὸς ἀϋτή,
 οὐκ ἔτ᾽ ἀθιστρέψαι πνεύματος ἔσχε τόνους.
Θηλύτεραι τί τοσοῦτον ἐμετρήσασθε τάλαιναι
 θρήνων, ἵνα κλαύσητ᾽ ἄχρι καὶ εἰς ἀΐδεω;

Παλλαδᾶ.

Ηρπασέ τις νύμφην. καὶ τὸν γάμον ἥρπασε δαίμων,
 ψυχῶν συλήσας τερπομένων ἀγέλην.

ALEXANDER PP VI VALENTINUS FERDINANDUS

εἷς γάμος, εἰκοσι τῶν τε τάφους ἔπλησε θανόντων.
πάνδημος δὲ νεκρῶν εἷς γέγονεν θάλαμος.
νύμφη Πενθεσίλεια πολύστονε, νυμφίε, Πενθεῦ.
ἀμφοτέρων ὁ γάμος πλούσιος ἐν θανάτοις.

Αἰμιλιανοῦ.

Ἕλκε τάλαν παρὰ μητρὸς, ὃν οὐκ ἔτι μαζὸν ἀμέλξεις.
ἕλκυσον ὑστάτιον νᾶμα καταφθιμένης.
ἤδη γὰρ ξιφέεσσι λιπόπνοος. ἀλλὰ τὰ μητρὸς
φίλτρα, καὶ εἰν ἀΐδῃ παιδοκομεῖν ἔμαθον.

Ἄδηλον.

Ὑστάτιον φώκαια κλυτὴ πόλι τοῦτο Θεανὼ
εἶπεν ἐς ἀτρύγετον νύκτα κατερχομένη,
οἴμοι ἐγὼ δύστηνος, ἀπέλλιχε ποῖον ὅμευνε,
ποῖον ἐπ' ὠκείῃ νηὶ περᾷς πέλαγος;
αὐτὰρ ἐμεῦ σχεδόθεν μόρος ἵσταται. ὡς ὄφελόν γε
χειρὶ φίλην τὴν σὴν χεῖρα λαβοῦσα, θανεῖν.

Ἄδηλον.

Τίπτε μάτην γοόωντες, ἐμῷ παραμίμνετε τύμβῳ;
οὐδὲν ἔχω θρήνων ἄξιον ἐν φθιμένοις.
λῆγε γόων, καὶ παῦε πόσις. καὶ παῖδες ἐμεῖο
χαίρετε, καὶ μνήμην σώζετ' ἀμαζονίης.

Ἀδέσποτον.

Ἄλκηστις νέη εἰμὶ, θάνον δ' ὑπὲρ ἀνέρος ἐσθλοῦ
Ζήνωνος. τὸν μοῦνον ἐνὶ στέρνοις ἐδεδέγμην,
ὃν φωτὸς, γλυκερῶν τε τέκνων, προὔκειν' ἐμὸν ἦτορ.
οὔνομα Καλλικράτεια, βροτοῖς πάντεσσιν ἀγαστή.

Ἄδηλον.

Εὐχέσθω τις ἔπειτα γυνὴ τόκον, εἶπε Πολυξὼ,
γαστέρ' ὑπὸ τρισσῶν ῥηγνυμένη τεκέων.

μαίης δ' ἐν παλάμῃσι χύθη νέκυς. οἱ δ' ἤδη γαῖαν
ὤλισθον, κοίλων ἄρσενος ἐκ λαγόνων,
μητέρος ἐκ νεκρῆς ζωὸς γόνος. εἷς ἄρα δαίμων
τῆς μὲν ἄπο ζωὴν εἵλετο, τοῖς δ' ἔπορεν.

Ἀσκληπιάδου.

Ἀρχεάνασσαν ἔχω τὴν ἐκ Κολοφῶνος ἑταίραν,
ἇς καὶ ἐπὶ ῥυτίδων ὁ γλυκὺς ἕζετ' ἔρως.
ἦν νέον ἡβώσαν ἀποδρέψαντες ἐρασταὶ
πρωτοβόλοι, διὰ σῆς ἤλθετε πυρκαϊῆς.

Ἀδήλου.

Μὴ δὲ καταχθονίοις μετὰ δαίμονος ἄμμορος εἴης
ἡμετέρων δώρων, ὧν σ' ἐπέοικε τυχεῖν,
Ἀμμία, οὕνεκα Νικόμαχος, θυγάτηρ τε Διώνη,
τύμβον, καὶ στήλην, σὴν ἐθέμεσθα χάριν.

Ἀδήλου.

Μή με θοῶς κύδιστε παρέρχεο τύμβον ὁδῖτα,
σοῖσιν ἀκοιμήτοις ποσὶ κελευθοπόρε.
δερκόμενος δ' ἐρέεινε, τίς εἶ, πόθεν. ἁρμονίαν γὰρ
γνώσεαι. ἧς γενεὴ λάμπεται ἐν μερόποις.
πάντα γὰρ ὅσα βροτοῖσι φέρει κλέος, ἣν ἐνιδέσθαι,
εὐγενίην, ἐρατὴν ἤθεα, σωφροσύνην.
τοίης τύμβον ἄθρησον. ἐς οὐρανίας γὰρ ἀταρπὸς
ψυχὴ παπταίνει, σῶμ' ἀποδυσαμένη.

Ἀδήλου.

Νικόπολιν Μαραθῶνος ἐθήκατο τῇ δ' ἐνὶ πέτρῃ
ὀμβρίσας δακρύοις λάρνακα μαρμαρέην.
ἀλλ' οὐδὲν πλέον ἔχε. τί γὰρ πλέον ἀνέρι κήδευς
μούνῳ ὑπὲρ γαίης, οἰχομένης ἀλόχου;

Ἐρυκίου.

Ἀτθὶς ἐγώ. κείνη γὰρ ἐμὴ πόλις. ἐκ δέ μ' Ἀθηνῶν
λυγρὸς Ἄρης Ἰταλῶν πρίν ποτ' ἐληΐσατο,
καὶ θέτο Ῥωμαίων πολιῆτιδα. νῦν δὲ θανούσης,
ὀστέα νησαίη Κύζικος ἠμφίεσεν.
χαίροις ἡ θρέψασα, καὶ ἡ μετέπειτα λαχοῦσα
χθών με. καὶ ἡ κόλποις ὕστατα δεξαμένη.

Ἀγαθίου.

Ναὶ λίτομαι παροδῖτα, φίλῳ κατάλεξον ἀκοίτῃ
εὖτ' ἂν ἐμὴν λεύσσῃς πατρίδα Θεσσαλίην,
κάτθανε σὴ παράκοιτις. ἔχει δέ μιν ἐν χθονὶ τύμβος,
αἲ, αἲ, Βοσπορίης ἐγγύθεν ἠϊόνος.
ἀλλά μοι αὐτόθι τεῦχε κενήριον ἐγγύθι σεῖο,
ὄφρ' ἀναμιμνήσκῃ τῆς ποτε κουριδίης.

Ἄδηλον.

Ὁρᾷς πρόσωπον κοσμίης τῆς σώφρονος;
εἰ καὶ τέθνηκε, ταῖς ἀρεταῖς γνωρίζεται.
ψυχῆς τὸ κάλλος μᾶλλον, ἢ τοῦ σώματος.

Ἀδέσποτον.

Τῇ δέ ποτ' ἀντερέϊσον ἐδέξατο γαῖα χανοῦσα
Λαοδίκην, δηΐων ὕβριν ἀλευομένην.
σῆμα δ' ἀμαλδυνάντος ἀνωΐστοιο χρόνοιο,
Μάξιμος ἔκδηλον θῆκ' ἀσίης ὕπατος.
καὶ κούρης χάλκειον ἐπεὶ τύπον ἔφρασε τ' ἄλλα
κείμενον ἀκλειῶς, τῷ δ' ἐπέθηκε κύκλῳ.

Κριναγόρου.

Ὑμνίδα τὴν Εὐάνδρου ἐράσμιον, αἰὲν ἄθυρμα
οἰκογενὲς, κούρην αἱμύλον εἰνάετιν,
ἥρπασας ὦ Ἀΐδη τί, πρόωρον ἐφιεὶς
μοῖραν, τὴν πάντως βιό ποτ' ἐσσομένην.

Ἀντιπάτρου.

Οὐχὶ βαθυζώνων ἱππαρχία, ἔργα γυναικῶν,
τῶν δὲ κυνῶν ἑλόμαν ῥωμαλέον βίοτον.
οὐδέ μοι ἀμπεχόναι περονήτιδες, οὐ βαθύπελμος
εὐμαρὶς, οὐ λιπόων εὔαδε κεκρύφαλος,
οὐλὰς δὲ σκίπωνι συνέμπορος, ἅτε συνῳδὸς
δίπλαξ, καὶ κοίτας βλῆμα χαμαιλεχέος.
ἄμμι δὲ μαιναλίας κρέσσων βίος ἦν ἀταλάντας
τόσσον, ὅσον σοφία κρέσσον ὀρειδρομίας.

Καλλιμάχου.

Κρηθίδα τὴν πολύμυθον, ἐπισταμένην καλὰ παίζειν,
δίζονται σαμίων πολλάκι θυγατέρες,
ἡδίστην συνέριθον, ἀεὶ λάλον. ἡ δ' ἀποβρίζει
ἐνθάδε, τὸν πάσαις ὕπνον ὀφειλόμενον.

Αδηλα.

Εὐήθης Τρύτωνος, ὅτ' ἐπ' ἀγαθαῖς ἐλοχεύθη
κληδόσιν. οὐ γὰρ ἂν ὧδ' ὤλετο δαιμονίη
ἀρτιτόκος. τὰ δὲ πολλὰ κατήγαγεν ἓν βρέφος ἄδην,
σὺν κείνῃ. δεκάτην δ' οὐχ ὑπερῆρεν ἕω.

Ἀντιπάτρου.

Ἤπου σε χθονίας ἀρετημιὰς ἐξ ἀκάτοιο
κωκυτοῦ θεμέναι ἴχνος ἐπ' ἠιόνι,
οἰχόμενον βρέφος ἄρτι νέῳ φορέουσαν ἀγοστῷ,
ᾤκτειραν θαλεραὶ δωρίδες εἰν ἀΐδᾳ,
πευθόμεναι τέο κῆρα. σὺ δὲ ξαίνουσα παρειὰς,
δάκρυσιν ἐξεῖπες φεῦ ἀνιαρὸν ἔπος,
διπλόον ὠδίνασα φίλοι τέκον. ἄλλο μὲν ἀνδρὶ
εὔφρονι καλλιπόμαν, ἄλλο δ' ἄγω φθιμένοις.

Ἡρακλείδου.

Ἀκόνις, ἀρτίσκαπτος. ὑπὸ στάλας δὲ μετώπῳ
σεύονται φύλλων ἡμιθανεῖς στέφανοι.
γράμμα διακρίναντες ὁδοιπόρε, πέτρον ἴδωμεν.
λυγρὰ περιστέλλειν ὀστέα φαμὲν τίνος.
ξεῖν', ἀρετημιάς εἰμι. πάτρα κνίδος. Εὔφρονος ἦλθον
ἐς λέχος. ὠδίνων οὐκ ἄμορος γενόμαν.
δισσὰ δ' ὁμοῦ τίκτουσα, τὸ μὲν, λίπον ἀνδρὶ ποδηγὸν
γήρως. ὃν δ' ἀπάγω μναμόσυνον πόσιος.

Θεοδωρίδου.

Εὐρύσορον περὶ σῆμα τὸ Φαιναρέτης ποτὲ κοῦραι
κείραντο ξανθοὺς θεσσαλίδες πλοκάμους,
πρωτοτόκον, καὶ ἄποτμον ἀτυζόμεναι περὶ νύμφην.
λάρισαν δὲ φίλην ἤκαχε, καὶ τοκέας.

ΕΙΣ ΔΟΥΛΟΥΣ. Διοσκορίδου. 13

Δοῦλος ἐγώ. ναὶ δοῦλος. ἐλευθερίῳ δέ με τύμβῳ
δέσποτα Τιμάνθη τὸν σὸν ἔθου τροφέα.
ζωαίων, ἀσινῆ τείνοις βίον. ἢν δ' ὑπὸ γήρως
πρός με μόλῃς, σὸς ἐγὼ δέσποτα κἠν ἀΐδῃ.

Ἀδέσποτον.

Σοὶ καὶ νῦν ὑπὸ γῆν ναὶ δέσποτα πιστὸς ὑπάρχω,
ὡς πάρος, εὐνοίης οὐκ ἐπιληθόμενος.
ὅς με τὸν ἐκ νόσου τρὶς ἐπ' ἀσφαλὲς ἤγαγες ἴχνος,
καὶ νῦν ἀρκούσῃ τῇδ' ὑπέθου καλύβῃ.
Μάνην ἀγγείλας πέρσην γένος. εὖ δέ με ῥέξας,
ἕξεις σοὶ χρείῃ δμῶας ἑτοιμοτέρους.

Δαμασκίου.

Ζωσίμη, ἡ πρὶν ἐοῦσα μόνῳ τῷ σώματι δούλη,
καὶ τῷ σώματι νῦν εὗρεν ἐλευθερίην.

Διοσκορίδου.

Εὐφράτην μὴ καῖε Φιλώνυμε, μὴ δὲ μιήνῃς
πῦρ ἐπ' ἐμοί. πέρσης εἰμὶ, καὶ ἐκ πατέρων
πέρσης αὐθιγενής. ναὶ δέσποτα. πῦρ δὲ μιῆναι,
ἡμῖν τοῦ χαλεποῦ πικρότερον θανάτου.
ἀλλὰ περιστείλας με, δίδου χθονί. μηδ' ἐπὶ νεκρῷ
λουτρὰ χέῃς. σέβομαι δέσποτα καὶ ποταμούς.

Ἀπολλωνίδου.

Ἠλλάχθη θανάτοιο τεὸς μόρος. ἀντὶ δὲ σεῖο
δέσποτα, δοῦλος ἐγὼ ξυγνὸν ἔπλησα τάφον,
ἡνίκα σοῦ δακρυτὰ κατὰ χθονὸς ἠρία τεύχων,
ὡς ἂν ἀποφθιμένου κεῖθι δέμας κτερίσω.
ἀμφὶ δέ μ' ὤλισθε ξυνὴ κόνις. οὐ βαρὺς ἡμῖν
ἐς ἀΐδης. ζήσω τὸν σὸν ὑπ' ἠέλιον.

Ἀδήλου.

Μάνης οὗτος ἀνὴρ ἦν ζῶν ποτε. νῦν δὲ τεθνηκώς,
ἶσον Δαρείῳ τῷ μεγάλῳ δύναται.

## ΕΙΣ ΗΡΩΑΣ. εἰς Λαέρτην. 14

Ἀδέσποτον.

Ψήχει καὶ πέτρην ὁ πολὺς χρόνος, οὐδὲ σιδήρου
φείδεται, ἀλλὰ μιῇ πάντ' ὀλέκει δρεπάνῃ
ὡς καὶ Λαέρταο τόδ' ἠρίον. ὃ σχεδὸν ἀκτῆς
βαιὸν ἄπο, ψυχρῶν λείβεται ἐξ ὑετῶν.
οὔνομα μὴν ἥρωος ἀεὶ νέον. οὐ γὰρ ἀοιδὰς
ἀμβλύνειν αἰὼν κἢν ἐθέλῃ, δύναται.

Βιάνορος εἰς Ἐτεοκλέα, καὶ
Πολυνείκην.

Οἰδίποδος παίδων, Θήβη τάφος. ἀλλ' ὁ πανώλης
τύμβος, ἔτι ζώντων αἰσθάνεται δοράτων

κείνους

κείνους δ' ἀΐδης ἐδαμάσσατο. καὶ ἀχέροντι
μάρνανται. κείνων χὼ τάφος ἀντίπαλος.
καὶ πυρὶ πῦρ ἤλεγξαν ἐναντίον. ὦ ἐλεεινοὶ
παῖδες, ἀκοιμήτων ἀψάμενοι δοράτων.

Ἀντιφίλου εἰς Πρωτεσίλαον.

Θεσσαλὲ Πρωτεσίλαε, σὲ μὲν πολὺς ᾄσεται αἰὼν,
τροίᾳ ὀφειλομένου πτώματος ἀρξάμενον.
σῶμα δέ τοι πτελέῃσι συνηρεφὲς ἀμφικομοῦσι
νύμφαι ἀπεχθομένης ἰλίου ἀντιπέραν.
δένδρεα δυσμήνιτα, καὶ ἤν ποτε τεῖχος ἴδωσι
τρώϊον, αὐαλέαν φυλλοχοοῦντι κόμην.
ὅσσος ἐν ἡρώεσσι τότ' ἦν χόλος, οὗ μέρος ἀκμὴν
ἐχθρὸν ἐν ἀψύχοις σώζεται ἀκρεμόσιν.

Εἰς ἀχιλλέα.

Τύμβος ἀχιλλῆος ῥηξήνορος, ὅν ποτ' ἀχαιοὶ
δώμησαν, τρώων δεῖμα καὶ ἐσσομένων.
αἰγιαλῷ δὲ νένευκεν, ἵνα στοναχῆσι θαλάσσης
κυδαίνοιτο πάϊς τῆς ἁλίας Θέτιδος.

Εἰς ἀχιλλέα, καὶ Πάτροκλον.

Ἄνδρε δύω φιλότητι, καὶ ἐν τεύχεσιν ἀρίστω,
Χαίρετον. αἰακίδη, καὶ σὺ μενοιτιάδη.

Εἰς αἴαντα. Ἀσκληπιάδου.

Ἅδ' ἐγὼ ἁ τλάμων ἀρετὰ παρὰ τῷδε κάθημαι
Αἴαντος τύμβῳ, κειραμένα πλοκάμους,
θυμὸν ἄχει μεγάλῳ βεβολημένα, οὕνεκ' ἀχαιοῖς
ἁ δολόφρων ἀπάτα, κρεῖσσον ἐμοῦ κέκριται.

Ἀντιπάτρου εἰς τὸ αὐτό.

Σῆμα παρ' αἰάντειον ἐπὶ ῥοιτηΐσιν ἀκταῖς
θυμοβαρὴς ἀρετὰ μύρομαι ἑζομένα,

ἁπλόκαμος, πινόεσσα, διὰ κρίσιν. ὅττι πελασγῶν
οὐκ ἀρετὰ νικᾶν ἔλλαχεν, ἀλλὰ δόλος.
τεύχεα δ' ἂμ λέξειεν Ἀχιλλέος, ἄρσενος ἀκμᾶς.
οὐ σκολιῶν μύθων ἄμμιν ἐφιέμεθα.

Ἀρχίου εἰς τὸ αὐτό.

Μοῦνος ἐν αἰρομένοισιν ὑπέρμαχον ἀσπίδα τείνας
νηυσί, βαρὺν Τρώων αἰὲν ἔμεινας Ἄρη.
οὐδέ σε χερμαδίων ὦσε κτύπος, οὐ νέφος ἰῶν,
οὐ πῦρ, οὐ δοράτων, οὐ ξιφέων πάταγος,
ἀλλ' αὔτως προβλής τε, καὶ ἔμπεδος ὥς τις ἐρίπνη
ἱδρυνθείς, ἔτλης λαίλαπα δυσμενέων.
εἰ δέ σε μὴ τεύχεσσιν Ἀχιλλέος ὥπλισεν Ἑλλάς,
ἄξιον αὐτ' ἀρετᾶς ὅπλα πόρουσα γέρας,
μοιράων βουλῆσι τάδ' ἤμπλακεν, ὡς ἂν ὑπ' ἐχθρῶν
μή τινος, ἀλλὰ τεῇ πότμον ἕλῃς παλάμῃ.

Εἰς τὸ αὐτό. Ἀδέσποτον.

Σῆμα τόδ' Αἴαντος Τελαμωνίου, ὃν κτάνε μοῖρα,
αὐτοῦ χρησαμένη καὶ χερὶ καὶ ξίφει.
οὐδὲ γὰρ ἐν θνητοῖσι δυνήσατο καὶ μεμαυῖα
εὑρέμεναι Κλωθὼ τῷδ' ἕτερον φονέα.

Λεοντίου εἰς τὸ αὐτό.

Κεῖται ἐνὶ Τροίῃ Τελαμώνιος, ὅς τινι δ' ἔμπης
ἀντιβίων ὀπάσσας εὖχος ἑοῦ θανάτου.
τόσσης γὰρ χρόνος ἄλλον ἐπάξιον ἀνέρα τόλμης
οὐχ εὑρὼν, παλάμῃ θῆκεν ὑπ' αὐτοφόνῳ.

Τοῦ αὐτοῦ εἰς τὸν
αὐτόν.

Αἴας ἐν Τροίῃ μετὰ μυρίων εὖχος ἀέθλων
μέμφεται, οὐχ ἐχθροῖς κείμενος, ἀλλὰ φίλοις.

Εἰς τὸ αὐτό.

Ἕκτωρ Αἴαντι ξίφος ὤπασεν, Ἕκτορι δ' Αἴας
ζωστῆρ'· ἀμφοτέρων ἡ χάρις εἰς θάνατον.

Εἰς τὸ αὐτό.

Πικρὴν ἀλλήλοις Ἕκτωρ χάριν, ἠδὲ φέρασπις
Αἴας, ἐκ πολέμου μνῆμ' ἔπορον φιλίης.
Ἕκτωρ γὰρ ζωστῆρα λαβὼν, ξίφος ἔμπαλι δῶκεν.
τὴν δὲ χάριν δώρων, πείρασαν ἐν θανάτῳ.
τὸ ξίφος εἷλ' Αἴαντα μεμηνότα. καὶ πάλι ζωστὴρ,
εἵλκυσε Πριαμίδην δίφρεια συρόμενον.
οὕτως ἐξ ἐχθρῶν αὐτοκτόνα πέμπεται δῶρα,
ἐν χάριτος προφάσει μοῖραν ἔχοντα μόρου.

Ἀντιπάτρου εἰς Πρίαμον.

Ἥρωος Πριάμου βαιὸς τάφος, οὐχ ὅτι τοίου
ἄξιος, ἀλλ' ἐχθρῶν χερσὶν ἐχωννύμεθα.

Ἀκηράτου γραμματικοῦ, εἰς τὸν αὐτόν.

Ἕκτωρ, ὁμηρείῃσιν ἀεὶ βεβοημένε βίβλοις,
θειοδόμου τείχους ἕρκος ἐρυμνότερον,
ἐν σοὶ Μαιονίδης ἀνεπαύσατο. σοῦ δὲ θανόντος
Ἕκτορ, ἐσιγήθη καὶ σελὶς Ἰλιάδος.

Ἀδέσποτον εἰς Ἕκτορα.

Μή με τάφῳ σύγκρινε τὸν Ἕκτορα, μηδ' ἐπὶ τύμβῳ
μέτρει τὸν πάσης Ἑλλάδος ἀντίπαλον.
Ἰλιὰς, αὐτὸς Ὅμηρος ἐμοὶ τάφος, Ἑλλὰς, Ἀχαιοὶ
φεύγοντες. τούτοις πᾶσιν ἐχωννύμεθα.
εἰ δ' ὀλίγην ἀθρεῖς ἐπ' ἐμοὶ κόνιν, οὐκ ἐμὸν αἶσχος,
Ἑλλήνων ἐχθραῖς χερσὶν ἐχωννύμεθα.

Ἀρχίου εἰς τὸν αὐτόν.

Καὶ γενέταν τοι νέρθε, καὶ οὔνομα, καὶ χθόνα φώνει
στάλα, καὶ ποίᾳ κηρὶ δαμεὶς ἔθανεν.



ALEXANDRI ... ARAGONVM ... FERDINANDI

γεννήτωρ, Πρίαμος. γαῖα δ᾽, ἴλιον. οὔνομα δ᾽, ἕκτωρ.
ὦ ξεῖν᾽, ὑπὲρ πάτρας δ᾽ ὤλετο μαρνάμενος.

Εἰς τὸν αὐτόν.

Εἴ τινα πώποτ᾽ ἄκουσας ἐνυαλίου φίλον υἱόν,
καὶ κρατερὸν δυνάμει, καὶ θαρσαλέον πολεμίζειν,
ἕκτορα τὸν Πριάμοιο νόει μοῦνον γεγενῆσθαι.
ὅν ποτε μαρνάμενον Διομήδης ἔκτανεν ἀνήρ.
αἴας πρὸ τρώων, δαναοῖσι μάχης προφέροντα.
ὃν καὶ τῇδε θανόντα, τάφος ὅδε ἀμφικαλύπτει.

Εἰς Ἀλέξανδρον τὸν μακεδόνα.

Ἕκτορι μὲν τροίη συγκάτθανεν, οὐδ᾽ ἔτι χεῖρας
ἀντῆρεν δαναῶν παισὶν ἐπερχομένοις.
πέλλα δ᾽ Ἀλεξάνδρῳ συναπώλετο. πατρίδες ἄρα
ἀνδράσιν, οὐ πάτραις ἀνδρῶν ἀγαλλόμεθα.

Παρμενίωνος εἰς τὸν αὐτόν.

Φθίσθαι Ἀλέξανδρον, ψευδὴς φάτις, εἴπερ ἀληθὴς
Φοῖβος. ἀνικήτων ἅπτεται οὐδ᾽ ἀΐδης.

Γεμίνου.

Χείρ με Πολυκλείτου θάσιος κάμεν. εἰμὶ δ᾽ ἐκεῖνος
Σαλμωνεὺς, βρονταῖς ὃς Διὸς ἀντεμάνην.
ὃς με καὶ εἰν ἀΐδῃ πορθεῖ πάλι, καί με κεραυνοῖς
βάλλει, μισῶν μου κὴ λαλέοντα τύπον.
ἴσχε Ζεῦ πρηστῆρα. μέθου χόλον. εἰμὶ γὰρ ἄπνους
ὁ σκοπός. ἀψύχοις εἰκόσι μὴ πολέμει.

## ΕΙΣ ΙΑΤΡΟΥΣ. Θεοσεβίας. ις

Εἶδεν ἀκεστορίη τρία πρὶν θέα. κείρατο χαίτην
πρῶτον ἐφ᾽ ἱπποκράτει, καὶ δεύτερον ἀμφὶ Γαληνῷ.
καὶ νῦν ἀβλαβίου γοερῷ περὶ σήματι κεῖται,
αἰδομένη μετὰ κεῖνον ἐν ἀνθρώποισι φανῆναι.

Ἄδηλον.

Θεσσαλὸς ἱπποκράτης, κῷος γένος, ἐνθάδε κεῖται,
φοίβου ἀπὸ ῥίζης ἀθανάτου γεγαώς,
πλεῖστα τρόπαια νόσων στήσας ὅπλοις ὑγιείης,
δόξαν ἑλὼν πολλὴν οὐ τύχῃ, ἀλλὰ τέχνῃ.

Ἄδηλον.

Παυσανίαν ἰητρὸν ἐπώνυμον, ἀγχίτεω υἱόν,
τόνδ' ἀσκληπιάδην πατρὶς ἔθαψε κόνις.
ὃς πλείστους κρυεραῖσι μαραινομένους ὑπὸ νούσοις
φῶτας, ἀπέστρεψεν περσεφόνας θαλάμων.

ΕΙΣ ΙΞΕΥΤΑΣ. Ἀντιπάτρου σιδωνίου. ις

Ὁ πρὶν ἐγὼ καὶ θῆρα, καὶ ἁρπάκτειραν ἐρύκων.
ἀσπέρματος ὑψιπετῆ βιστονίαν γέρανον,
ῥινοῦ χορδὰ μαστῆρος ἐΰστροφα κῶλα τιταίνων,
ἀλκιμένης πλανῶν εἶργον ἄπωθε νέφος.
καί με τὶς οὐτήτειρα παρὰ σφυρὰ διψὰς ἔχιδνα
σαρκὶ τὸν ἐκ γενύων πικρὸν ἐνεῖσα χόλον,
ἠελίου χήρωσεν. ἴδ' ὡς τὰ κατ' αἰθέρα λεύσσων,
τὸν ποσὶν οὐκ ἐδάην πῆμα κυλινδόμενον.

Ἰσιδώρου.

Ἰξῷ, καὶ καλαμοισιν ἀπ' ἠέρος αὑτὸν ἔφερβεν
εὔμηλος λιτῶς, ἀλλ' ἐν ἐλευθερίῃ.
οὔποτε δ' ὀθνείην ἔκυσεν χέρα γαστρὸς ἕκητι.
τοῦτο τρυφὴν κείνῳ, τοῦτ' ἔφερ' εὐφροσύνην.
τρὶς δὲ τριηκοστὸν ζήσας ἔτος, ἐνθάδ' ἰαύει,
παισὶ λιπὼν ἰξὸν, καὶ πτερὰ, καὶ καλάμους.

Μνασάλκου.

Ἀμπαύσει καὶ τῇδε θοὸν πτερὸν ἱερὸς ὄρνις
τᾶσδ' ὑπὸ ἀδείας ἑζόμενος πλατάνου.



ALEXANDER ARAGONIUM DEL GRAN FERDINANDO SANTO

ὤλετο γὰρ Ποίμανδρος ὁ μάλλιος, οὐδ' ἔτι κεῖται
ἰξὸν ἐπ' ἀγρευτῇ χευάμενος καλάμῳ.

## ΕΙΣ ΙΧΘΥΑΣ. Ἄδηλον. 17

Κύματα, καὶ τρηχύς με κλύδων ὧδε χέρσον ἔσυραν
δελφῖνα, ξείνοις κοινὸν ὅραμα τύχης.
ἀλλ' ὧδε μὲν γαίης, ἐλέου τόπος· οἱ γὰρ ἰδόντες,
εὐθύς με πρὸς τύμβον ἔστεφον εὐσεβέες.
νῦν δὲ τεκοῦσα θάλαττα, διώλεσε. τίς παρὰ πόντῳ
πίστις, ὃς οὐδ' ἰδίης φείσατο συντροφίης;

## ΕΙΣ ΚΙΘΑΡΩΔΟΥΣ. 18

Λεοντίου σχολαστικοῦ.

Ὀρφέος οἰχομένου, τάχα τίς ποτε λείπετο μοῦσα.
σοῦ δὲ Πλάτων φθιμένου, παύσατο καὶ κιθάρη.
ἦν γὰρ ἔτι προτέρων μελέων ὀλίγη τις ἀπορρὼξ,
ἐν σαῖς σωζομένη καὶ φρεσὶ, καὶ παλάμαις.

Ἰουλιανοῦ ἀπὸ ὑπάρχων αἰγυπτίου.

Ἡ γλυκερὸν μέλψασα, καὶ ἄλκιμον, ἡ θρόον αὐδῆς
μούνη θηλυτέροις στήθεσι ῥηξαμένη,
κεῖται σιγαλέη. τόσον ἔσθενε νήματα μοίρης,
ὡς λιγυρὰ κλεῖσαι χείλεα Καλλιόπης.

Τοῦ αὐτοῦ.

Οὔτι φύσις θήλεια, καὶ οὐ πολιοῖο καρήνου
ἀδρανίη, φωνῆς σῆς κατέλυσε βίην.
ἀλλὰ μόλις ξυνοῖσι νόμοις εἴξασα τελευτῆς,
φεῦ, φεῦ, Καλλιόπη, σὴν κατέλυσας ὄπα.

Ἀγαθίου σχολαστικοῦ.

Φεῦ, φεῦ, τὴν δεκάτην Ἑλικωνίδα, τὴν λυραοιδὸν
ῥώμης, καὶ φαρίης, ἥδε κέκευθε κόνις.

ὤλετο φορμίγγων τερετίσματα. λῆξαν ἀοιδαὶ
ὥσπερ ἰωάννᾳ πάντα συνολλύμενα.
καὶ τάχα θεσμὸν ἔθηκαν ἐπάξιον ἐννέα μοῦσαι
τύμβον ἰωάννας αὖθ' ἑλικῶνος ἔχειν.

ΕΙΣ ΚΥΝΗΓΟΥΣ. Ἀδήλου. 19

Αἰέτοι ἀρχίου μὲ περίκλεες ἀλιθίνα γῶ
ἔστηκα στάλα, μνᾶμα κυνηγεσίας.
πάντα δ' ἔτοι περὶ σῆμα τετεύχαται, ἵπποι, ἄκοντες,
αἵ κύνες, αἵ στάλικες δίκτυ' ὑπὲρ σταλίκων.
αἴ, αἴ, λάϊνα πάντα. περὶ τροχάουσι δὲ θῆρες.
αὐτὸς δ' εἰκοσέτης νήγρετον ὕπνον ἔχεις,

Ἀγαθίου.

Τὸν κρατερὸν πανόπηα, τὸν ἀγρευτῆρα λεόντων,
τὸν λασιοστέρνων καί τορα παρδαλίων,
τύμβος ἔχει. γλαφυρῆς γὰρ ἀπὸ χθονὸς ἔκτανε δεινὸς
σκορπίος, οὐτήσας ταρσὸν ὀρεσιβάτην.
αἰγανέη δὲ τάλαινα, σίγυνά τε πὰρ χθονὶ κεῖται,
αἴ, αἴ, θαρσαλέων παίγνια δορκαλίδων.

Ἀδήλου.

Εἶχε κορωνόβολον πενίης λιμηρὸν ἀρίστων
ὄργανον, ᾧ πτηνὰς ἠκροβόλιζε κίχλας
ἦκα παραστείχων δολίην ὁδόν. οἷος ἐκεῖνος
ψεύσασθαι λοξοῖς ὄμμασι φερβομένας.
νῦν δ' ὁ μὲν, εἰν ἀΐδῃ. τὸ δέ οἱ βέλος, ὀρφανὸν ἤχου,
καὶ χερός. ἡ δ' ἄγρη, τύμβον ὑπερπέτεται.

ΕΙΣ ΜΕΘΥΣΟΥΣ. Ἀδήλου. 20

Μορτάδα τὴν ἱεραῖς με Διωνύσου παρὰ ληνοῖς
ἄφθονον ἀκρήτου σπασαμένην κύλικος,

οὐ κεύθει φθιμένην βαιὴ κόνις. ἀλλὰ πίθος μοι
σύμβολον εὐφροσύνης, τερπνὸς ἔπεστι τάφος.

Ἀντιπάτρου σιδωνίου

Τῆς πολιῆς τόδε σῆμα μαρωνίδος. ἧς ὕπερ τύμβου
γλυπτὴν ἐκ πέτρης αὐτὸς ὁρῇς κύλικα.
ἡ δὲ φιλάκρητος, καὶ ἀεὶ λάλος, οὐχ ὑπὲρ τέκνοις
μύρεται, οὐ τεκέων ἀκτεάνῳ πατέρι,
ἓν δὲ τόδ' αἰάζει καὶ ὑπ' ἠρίον, ὅτι τὸ Βάκχου
ἄρμενον, οὐ Βάκχου πλῆρες ἔπεστι τάφῳ.

Ἀργεντάριου.

Η Βρόμιον στέρξασα πολὺ πλέον, καὶ τροφὸς ἰνοῦς,
ἡ λάλος ἀμπελίνη γρηῢς ἀριστομάχη,
ἡνίκα τὴν ἱερὴν ὑπὸ γῆν ὑπέδυ χθόνα, πᾶν δ' ἐμαράνθη
πνεῦμα, πάρος κυλίκων πλεῖστον ἐπαυρομένη,
εἶπε τάδε Μίνοϊ πάλαι, φέρε κάλπιν ἐλαφρήν.
οἴσω κυάνεον τοῦ ἀχέροντος ὕδωρ.
καὐτὴ παρθενίην γὰρ ἀπώλεσα. τοῦτο δ' ἔλεξε
ψεύδες, ἵν' αὐγάζῃ καὶ φθιμένοισι πίθον.

Ἀντιπάτρου.

Οὐκ οἶδ' εἰ Διόνυσον ὀνόσσομαι, ἢ Διὸς ὄμβρον
μέμψομ'. ὀλισθηροὶ δ' εἰς πόδας ἀμφότεροι.
ἀγρόθε γὰρ κατιόντα πολύξενον ἔκποτε δαιτὸς,
τύμβος ἔχει γλίσχρων ἐξερπόντα λόφων.
κεῖται δ' αἰολίδος σμύρνης ἑκάς. ἀλλά τις ὄρφνης
δειμαίνοι μεθύων ἀτραπὸν ὑετίην.

Λεωνίδου.

Μαρωνὶς ἡ φίλοινος, ἡ πίθων σποδὸς
ἐνταῦθα κεῖται γρηῢς, ἧς ὑπὲρ τάφου,
γνωστὴ πρόκειται πᾶσιν ἀττικὴ κύλιξ.
στένει καὶ γῆς νέρθεν οὐχ ὑπὲρ τέκνων,

οὐκ ἀνδρὸς οὗς λέλοιπεν ἐνδεεῖς βίου,
ἓν δ' ἀντὶ πάντων, οὕνεχ' ἡ κύλιξ κενή.

Διοσκορίδου.

Τὴν τίτθην Ἱέρων Σειληνίδα, τὴν ὅτε πίνοι
ζωρὸν ὑπ' οὐδεμιῆς θλιβομένην κύλικος,
ἀγρῶν ἐντὸς ἔθηκεν, ἵν' ἡ φιλάκρητος ἐκείνη
καὶ φθιμένη, ληνῶν γείτονα τύμβον ἔχῃ.

Ἀδήλου.

Τὴν ἱλαρὰν φωνὴν καὶ τίμιον ὦ παριόντες,
τῷ χρηστῷ χαίρειν εἴπατε Πραξιτέλει.
ἦν δ' ὡνὴρ μουσῶν ἱκανὴ μερὶς, ἠδὲ παρ' οἴνῳ
κρήγυος, ὦ χαίροις ἄνδριε Πραξίτελες.

ΕΙΣ ΜΟΙΧΟΥΣ. Ἀγαθίου σχολαστικοῦ. 21

Οὐχ ὁσίοις λεχέεσσιν ἐτέρπετο λάθριος ἀνὴρ,
λέκτρον ὑποκλέπτων ἀλλοτρίης ἀλόχου.
ἐξαπίνης δὲ δόμων ὀροφὴ πέσε. τοὺς δὲ κακούργους
ἔσκεπεν, ἀλλήλοις εἰσέτι μισγομένους.
ξυνὴ δ' ἀμφοτέρους κατέχει παγίς. ἐν ἑνὶ δ' ἄμφω
κεῖνται, συζυγίης οὐκ ἔτι παυόμενοι.

ΕΙΣ ΝΑΥΑΓΗΣΑΝΤΑΣ. 22

Ἀνακρέοντος.

Καὶ σὲ Κλεηνορίδη πόθος ὤλεσε πατρίδος αἴης
θαρσήσαντα νότου λαίλαπι χειμερίῃ.
ὥρη γάρ σε πέδησεν ἀνέγγυος. ὑγρὰ δὲ τὴν σὴν
κύματ' ἀμφ' ἱμερτὴν ἔκλυσεν ἡλικίην.

Λεωνίδου.

Εἴη ποντοπόρῳ πλόος οὔριος. ἢν δ' ἄρ' ἀήτης
ὡς ἐμὲ, τοῖς Ἀΐδεω προσπελάσῃ λιμέσι,

μεμφέσθω μὴ λαῖτμα κακόξενον, ἀλλ᾽ ἕο τόλμαν,
ὅς τις ἀφ᾽ ἡμετέρου πείσματ᾽ ἔλυσε τάφου.

Πλάτωνος.

Ναυηγοῦ τάφος εἰμί, ὁ δ᾽ ἀντίον ἐστὶ γεωργοῦ,
ὡς ἁλὶ καὶ γαίῃ ξυνὸς ὕπεστ᾽ ἀΐδης.

Λεωνίδου.

Ναυηγοῦ τάφος εἰμὶ Διοκλέος. οἱ δ᾽ ἀνάγονται,
φεῦ τόλμης, ἀπ᾽ ἐμοῦ πείσματα λυσάμενοι.

Ποσειδίππου.

Ναῦται, ἐγγὺς ἁλὸς τί με θάπτετε; πολλὸν ἄνευθεν
χῶσαι ναυηγοῦ τλήμονα τύμβον ἔδει.
φρίσσω κύματος ἦχον, ἐμὸν μόρον. ἀλλὰ καὶ οὕτως,
χαίρετε, Νικήτην οἵτινες οἰκτείρετε.

Πλάτωνος.

Ναυηγόν με δέδορκας. ὃν ἡ κτείνασα θάλαττα,
γυμνῶσαι πυμάτου φάρεος ᾐδέσατο.
ἄνθρωπος παλάμῃσιν ἀταρβήτοις μ᾽ ἀπέδυσεν,
τόσσον ἄγος τόσσου κέρδεος ἀράμενος.
κεῖνό γε ἐνδύσαιτο, καὶ εἰν ἀΐδαο φέροιτο,
καί μιν ἴδοι Μίνως τοὐμὸν ἔχοντα φάρος.

Τοῦ αὐτοῦ.

Πλωτῆρες, σώζοισθε καὶ εἰν ἁλὶ, καὶ κατὰ γαῖαν.
ἴστε δὲ ναυηγοῦ σῆμα παρερχόμενοι.

Σιμωνίδου.

Τούς δέ ποτ᾽ ἐκ Σπάρτας ἀκροθίνια Φοίβῳ ἄγοντας,
ἓν πέλαγος, μία νύξ, ἓν σκάφος ἐκτέρισεν.

Καλλιμάχου.

Ὤφελε μηδ᾽ ἐγένοντο θοαὶ νέες. οὐ γὰρ ἂν ἡμεῖς
παῖδα Διοκλείδου Σώπολιν ἐστένομεν.

νῦν δ' ὁ μὲν, εἰν ἁλὶ πᾶς φέρεται νέκυς. ἀντὶ δ' ἐκείνου,
ὄνομα, καὶ κενεὸν σᾶμα παρερχόμεθα.

Τοῦ αὐτοῦ.

Νάξιος οὐκ ἐπὶ γῆς ἔθανεν Λύκος, ἀλλ' ἐνὶ πόντῳ
ναῦν ἅμα, καὶ ψυχὴν εἶδεν ἀπολλυμένην,
ἔμπορος αἰγίνηθεν ὅτ' ἔπλεε. χὠ μὲν ἐν ὑγρῇ
νεκρός. ἐγὼ δ' ἄλλως ὄνομα τύμβος ἔχων,
κηρύσσω πανάληθες ἔπος τόδε, φεῦγε θαλάττῃ
συμμίσγειν, ἐρίφων ναυτίλε δυομένων.

Λεωνίδου.

Εὔρου με τρηχεῖα, καὶ αἰπήεσσα καταιγίς,
καὶ νὺξ, καὶ δνοφερῆς κύματα πανδυσίης
ἔβλαψ' ὠρίωνος. ἀπώλισθον δὲ βίοιο
κάλλαισχρος, λιβυκοῦ μέσσα θέων πελάγους.
κἀγὼ μὲν πόντῳ δινεύμενος, ἰχθύσι κύρμα
οἴχημαι. ψεύστης δ' οὗτος ἔπεστι λίθος.

Γετουλλίκου.

Ἀ πελοπόννησος, καὶ δύσπλοος ὤλεσε κρήτας,
καὶ μαλέου τυφλαὶ καμπτομένου σπιλάδες.
λάμιδος ἀστυδάμαντα κυδώνιον ἀλλ' ὁ μὲν ἤδη
ἔπλησεν θηρῶν νηδύας εἰναλίων.
τὸν ψεύσταν δέ με τύμβον ἐπὶ χθονὶ θέντο. τί θαῦμα,
κρῆτες ὅπου ψεῦσται, καὶ Διός ἐστι τάφος.

Ἀδεσπότου.

Παῦσαι νηὸς ἐρετμὰ, καὶ ἔμβολα τῷδ' ἐπὶ τύμβῳ,
αἰὲν ἐπὶ ψυχρῇ ζωγραφέων σποδιῇ.
ναυαγοῦ τὸ μνῆμα. τί τῆς ἐνὶ κύμασι λώβης
αὖθις ἀναμνῆσαι τὸν κατὰ γῆς ἐθέλεις;

Ἰσιδώρου αἰγεάτου, ἀπὸ ναυηγοῦ πρὸς γεηπόνον.

Τὸ χῶμα, τύμβος ἐστίν. ἀλλὰ τὼ βόε
ἐπίσχες οὗτος, τὴν ὕννιν τ' ἀνάσπασον.
κινεῖς σποδὸν γάρ. ἐν δὲ τοιαύτην κόνιν,
μὴ σπέρμα πυρῶν, ἀλλὰ χεῦε δάκρυα.

Ἀντιπάτρου.

Οὐδετέρης ὅλος εἰμὶ θανὼν νέκυς, ἀλλὰ θάλασσα,
καὶ χθὼν, τὴν ἀπ' ἐμεῦ μοῖραν ἔχουσιν ἴσην.
σάρκα γὰρ ἐν πόντῳ φάγον ἰχθύες. ὀστέα δ' αὖτε
βέβρασται ψυχρῇ τῇδε παρ' ἠϊόνι.

Τοῦ αὐτοῦ.

Ἄνθεα τὸν ναυηγὸν ὅθι στόμα Πηνειοῖο
νυκτὸς ὑπὲρ βαιῆς νηξάμενον σανίδος,
μουνιὸς ἐκ θάμνοιο θορὼν λύκος, ἄσκοπον ἄνδρα
ἔκτανεν. ὦ γαίης κύματα πικρότερα.

Στατυλλίου φλάκ-
κου.

Λαίλαπα καὶ μανίην, ὀλοῆς προφυγόντα θαλάσσης,
ναυηγὸν λιβυκαῖς κείμενον ἐν ψαμάθοις,
οὐχ ἑκὰς ἠϊόνων, πυμάτῳ βεβαρυμένον ὕπνῳ,
γυμνὸν, ἀπὸ στυγερῆς ὡς κάμε ναυφθορίης,
ἔκτανε λυγρὸς ἔχις. τί μάτην πρὸς κύματ' ἐμόχθει,
τὴν ἐπὶ γῆς φεύγων μοῖραν ὀφειλομένην;

Ἰσιδώρου.

Οὐ χεῖμα νικόφημον, οὐκ ἄστρων δύσις
ἁλὸς λιβύσσης κύματος κατέκλυσεν,
ἀλλ' ἐν γαλήνῃ φεῦ τάλας ἀνηνέμῳ
πλόῳ πεδηθεὶς, ἐφρύγη δίψης ὕπο.

καὶ τοῦτ' ἀήτεων ἔργον. ἆ πόσον κακὸν
ναύτῃσιν, ἢ πνέοντες, ἢ μεμυκότες;

Στατυλλίου.

Γριπέα τὸν πρέσβυν, τὸν ἁλίτρυτον ἀπὸ κύμβης
ζῶντα, τὸν ἀγκύστροις, καὶ μογέοντα λίνοις,
ἐκ δεινοῦ τρηχεῖα νότου κατέλυσε θάλασσα.
ἔβρασε δ' εἰς κροκάλην πρώϊον ἠϊόνα,
χεῖρας ἀποβρωθέντα. τίς οὖν νόον ἰχθύσιν εἴποι
ἔμμεναι; οἱ μούνας αἷς ὀλέκοντο, φάγον;

Λεωνίδου ταραντίνου.

Θῆριν τὸν τριγέροντα, τὸν εὐάγρων ἀπὸ κύρτων
ζῶντα, τὸν αἰθυίης πλείονα νηξάμενον,
ἰχθύσι ληϊστῆρα σαγηνέα, χηραμοδύτην,
οὐχὶ πολυσκάλμου πλώτορα ναυτιλίης,
ἔμπης οὔτ' ἀρκτοῦρος ἀπώλεσεν, οὔτε καταιγὶς
ἤλασε τὰς πολλὰς τῶν ἐτέων δεκάδας,
ἀλλ' ἔθαν' ἐν καλύβῃ σχοινίτιδι, λύχνος ὁποῖα
τῷ μακρῷ σβεσθεὶς ἐν χρόνῳ αὐτόματος.
σῆμα δὲ τοῦτ' οὐ παῖδες ἐφήρμοσαν, οὐδ' ὁμόλεκτρος,
ἀλλὰ συνεργατίνης ἰχθυβόλων θίασος.

Ἀδήλου.

Τὸν μέγαν ἀκροκόρινθον, ἀχαϊκὸν ἑλλάδος ἄστρον,
καὶ διπλῆν ἰσθμοῦ σύνδρομον ἠϊόνα,
λεύκιος ἐσυφέλιξα. δορυπτοίητα δὲ νεκρῶν
ὀστέα σωρευθεὶς εἷς ἐπέχει σκόπελος.
τοὺς δὲ δόμον Πριάμοιο πυρὶ πρήσαντας ἀχαιοὺς,
ἀκλαύστους κτερέων νόσφισαν αἰνεάδαι.

Ἀδδαίου μιτυληναίου.

Ὁ γριπεὺς Διότιμος ὁ κύμασιν ὁλκάδα πιστὴν,
κὴν χθονὶ τὴν αὐτὴν οἶκον ἔχων πενίης,

νήγρετον ὑπνώσας, τὸν ἀμείλιχον ἔκτο πρὸς ἄλλων,
αὐτερέτης ἰδίῃ νηὶ κομιζόμενος.
ἣν γὰρ ἔχε ζωῆς παραμύθιον, εἶχεν ὁ πρέσβυς
καὶ φθίμενος, πύματον πυρκαϊῆς ὄφελος.

Ἀργενταρίου.

Δύσμορος ἐκρύφθη πόντῳ νέκυς, ὃν παρὰ κῦμα
ἔκλαυσεν μήτηρ μυρία Λυσιδίκη,
ψεύδιν αὐγάζουσα κενὸν τάφον. ἀλλά με δαίμων
ἄπνοον αἰθυίαις θῆκεν ὁμορρόθιον,
Πυθαγόρην. ἔχον δὲ κατ' Αἰγαῖον ἅλα πότμον,
πρυμνούχους στέλλων ἐκ Βορέαο κάλως.
ἀλλ' οὐδ' ὧς ναύτην ἔλιπον δρόμον. ἀλλ' ἀπὸ νηὸς,
ἄλλην πὰρ φθιμένοις εἰσανέβην ἄκατον.

Ἐτρούσκου Μεσσηνίου.

Ἡ μία καὶ βιότοιο, καὶ Ἄϊδος ἤγαγεν εἴσω
ναῦς Ἱεροκλείδην, κοινὰ λαχοῦσα τέλη.
ἔτρεφεν ἰχθυβολεῦντα, κατέφλεγε τεθνειῶτα
σύμπλοος εἰς ἄγρην, σύμπλοος εἰς ἀΐδην.
ὄλβιος ὁ γριπεὺς, ἰδίῃ καὶ πόντον ἔπλει
νηί, καὶ ἐξ ἰδίης ἔδραμεν εἰς ἀΐδην.

Φιλίππου.

Ἠπείρῳ μ' ἀποδοῦσα νέκυν τρηχεῖα θάλασσα,
σύρεις καὶ τέφρης λοιπὸν ἔτι σκύβαλον.
κἠν ἀΐδῃ ναυηγὸς ἐγὼ μόνος, οὐδ' ὑπὸ χέρσου
εἰρήνην ἕξω φρικαλέης σπιλάδος.
ἢ τύμβευε κρατοῦσα καθ' ὕδατος, ἢ παραδοῦσα
γαίῃ, τὸν κείνης μηκέτι κλέπτε νέκυν.

Τοῦ αὐτοῦ.

Ἠϊόνι τόδε σῆμα βροτοῦ πανλήμονος ἄθρει,
σπαρτὸν ἁλιρραγέων ἐκχύμενον σκοπέλων.

τῇ μὲν, ἐρημομόνης κεῖται, καὶ χῆρος ὀδόντων
  κόρση· τῇ δὲ, χερῶν πενταφυεῖς ὄνυχες,
πλευρά τε σαρκολιπῆ· ταρσοί δ' ἑτέρωθεν ἄμοιροι
  νεύρων, καὶ κώλων, ἔκλυτος ἁρμονίη.
οὗτος ὁ πουλυμερὴς, εἰς ἦν ποτε. φεῦ, μακαριστοί,
  ὅσσοι ἀπ' ὠδίνων οὐκ ἴδον ἠέλιον.

Βιάνορος.

Ἰχθύσι, καὶ ποταμῷ, Κλειτώνυμον ἐχθρὸς ὅμιλος
  ὦσεν, ὅτ' εἰς ἄκρον ἦλθε τυραννοφόνος.
ἀλλὰ δίκη μιν ἔθαψεν· ἀποσπασθεῖσα γὰρ ὄχθη,
  πᾶν δέμας ἐν κορυφὴν ἐκ ποδὸς ἐκτέρισεν.
κεῖται δ' οὐχ ὑδάτεσσι διάβροχος· αἰδομένη δὲ
  γῆ, κεύθει τὸν ἑῆς ὅρμον ἐλευθερίης.

Ἡρακλείδου σινωπέως.

Λαῖλαψ, καὶ πολὺ κῦμα, καὶ αὐγολαὶ ἀρκτούροιο,
  καὶ σκότος, αἰγαίου τ' οἶδμα κακὸν πελάγευς,
ταῦθ' ἅμα πάντα κύκησεν ἐμὴν νέα. ῥιχθὰ δὲ κλασθεὶς
  ἱστὸς, ὁμοῦ φόρτῳ κἀμὲ κάλυψε βυθῷ.
ναυηγὸν κλαίοιτε παρ' αἰγιαλοῖσι γονῆες
  Τλησιμένη, κωφὸν στησάμενοι λίθακα.

Ἐρυκίου.

Οὐχ ὅδε δειλαίου σατύρου τάφος, οὐδ' ὑπὸ ταύτῃ
  ὡς λόγος εὔνασται πυρκαϊῇ σάτυρος,
ἀλλ' εἴπου τινὰ πόντον ἀκούετε πικρὸν ἐκεῖνον,
  τὸν πέλας αἰγονόμου κλυζόμενον μυκάλης,
κείνῳ δινήεντι, καὶ ἀτρυγέτῳ ἔτι κεῖμαι
  ὕδατι μαινομένῳ, μεμφόμενος Βορέην.

Θεαιτήτου.

Ναυτίλοι ὦ πλώοντες, ὁ κυρηναῖος ἀρίστων
  πάντας ὑπὲρ ξενίου λίσσεται ὔμμε Διὸς,

εἰπεῖν πατρὶ Μύλωνι, παρ' ἰκαρίαις ὅτι πέτραις
κεῖται, ἐν αἰγαίῳ θυμὸν ἀφεὶς πελάγει.

Ἀσκληπιάδου.

Ὦ παρ' ἐμὸν στείχων κενὸν ἠρίον εἰπὸν ὁδῖτα,
εἰς Χίον εὖτ' ἂν ἵκῃ πατρὶ Μελησαγόρῃ,
ὡς ἐμὲ μὲν, καὶ νῆα, καὶ ἐμπορίην, κακὸς εὖρος
ὤλεσεν. Εὐίππου δ' αὐτὸ λέλειπτ' ὄνομα.

Πέρσου.

Εὔρου χειμέριαί σε καταιγίδες ἐξεκύλισαν
Φίλλι πολυκλαύτῳ γυμνὸν ἐπ' ἠϊόνι,
οἰνηρῆς Λέσβοιο παρὰ σφυρόν. αἰγίλιπος δὲ
πέτρου ἁλιβρέκτῳ κεῖσαι ὑπὸ πρόποδι.

Νικαινέτου.

Ἠρίον εἰμὶ Βίτωνος ὁδοιπόρε. εἰ δὲ Τορώνην
λείπων, εἰς αὐτὴν ἔρχεαι Ἀμφίπολιν,
εἰπεῖν Νικαγόρᾳ, παίδων ὅτι τὸν μόνον αὐτῷ,
στρυμονίη ἐρίφων ὤλεσε πανδυσίη.

Λεωνίδου.

Ἀρχαίης ὦ θινὸς ἐπεσκλωμένον ἄχθος,
εἴποις ὅντιν' ἔχεις, ἢ τίνος, ἢ ποδαπόν,
Φύντων, ἑρμιονῆα, Βαθυκλέος, ὃν πολὺ κῦμα
ὤλεσεν, ἀρκτούρου λαίλαπι χρησάμενον.

Τοῦ αὐτοῦ.

Πάρμις ὁ Καλλιγνώτου ἐπάκτιος, ὃς καλαμευτὴς
ἄκρος, καὶ κίχλης, καὶ σκάρου ἰχθυβολεὺς,
καὶ λάβρου πέρκης δελεάρπαγος, ὅσσά τε κοίλας
σήραγγας, πέτρας τ' ἐμβυθίους νέμεται,
ἄγρης ἐκ πρώτης, ὅτ' ἰουλίδα πετρήεσσαν
δακνάζων, ὀλεθρίην ἐξ ἁλὸς ἀράμενος.

ἔφθιτ'-

ἔφθιτ'. ὀλισθηρὴ γὰρ ὑπ' ἐκ χερὸς ἀΐξασα,
ᾤχετ' ἐπὶ στεινὸν παλλομένη φάρυγα.
χὼ μὲν, μηρίνθων καὶ δόνακος, ἀγκίστρων τε
ἐγγὺς, ἀπὸ πνοιὴν ἧκε κυλινδόμενος,
νήματ' ἀναπλήσας ἐπιμοίρια. τοῦ δὲ θανόντος
Γρίπωνος, γριπεὺς τοῦτον ἔχωσε τάφον.

Φλάκκου.

Ἕβρου χειμερίοις ἀταλὸς κρυμοῖσι πεδηθεὶς
κοῦρος, ὀλισθηροῖς ποσσὶν ἔθραυσε πάγον.
τοῦ, παρασυρομένοιο, τὰ νέρθ' ἀγὲς αὐχέν' ἔκοψε
βηγαλέου ποταμοῦ Βιστονίοιο ῥόος.
καὶ τὸ μὲν, ἡρπάσθη δίναις μέρος. ἡ δὲ τεκοῦσα,
λειφθὲν ὕπερθε τάφου μοῦνον ἔθηκε κάρα.
μυρομένη δὲ τάλαινα, τέκος, τέκος, εἶπε, τὸ μὲν, σου
πυρκαϊὴ, τὸ δὲ, σου πικρὸν ἔθαψεν ὕδωρ.

Ἀδέσποτον.

Πάντα τὶς ἀρήσαιτο φυγεῖν πλόον, ὁππότε καὶ σὺ
Θεύγενες ἐν λιβυκῷ τύμβον ἔθευ πελάγει,
ἡνίκα σοι κεκμηὼς ἐπέπτατο φορτίδι νηῒ
οὖλον ἀνηρίθμων κεῖνο νέφος γεράνων.

Λεωνίδου.

Ναυηγὸς γλαυκοῖο φυγὼν τρίτωνος ἀπειλὰς,
αὖθις φθιώτην οὐ φύγεν αἰνόλυκον.
πηνειοῦ παρὰ χεῦμα γὰρ ὤλετο. φεῦ τάλαν, ὅς τις
νηρεΐδων νύμφας ἔχθου ἀπιστοτέρας.

Ἰουλιανοῦ.

Χαῖρέ μοι ὦ ναυηγέ. καὶ εἰς ἀΐδαο περήσας,
μέμφεο μὴ πόντου κύμασιν, ἀλλ' ἀνέμοις.
κεῖνοι μὲν σ' ἐδάμασσαν. ἁλὸς δέ σε μείλιχον ὕδωρ,
εἰς χθόνα, καὶ πατέρων ἐξεκύλισε τάφους.

Τοῦ αὐτοῦ.

Πλώεις, ναυηγόν με λαβών· καὶ σήματι χώσας,
πλῶε, Μαλειάων ἄκρα φυλασσόμενος.
αἰεὶ δ' εὐπλοΐην μεθέποις φίλος. ἢν δέ τι ῥέξῃ
ἄλλο τύχη, τοίων ἀντιάσαις χαρίτων.

Τοῦ αὐτοῦ.

Οὔτι σε πόντος ὄλεσσε, καὶ οὐ πνείοντες ἀῆται,
ἀλλ' ἀκόρητος ἔρως φορτίδος ἐμπορίης.
εἴ μοι γαίης ὀλίγος βίος· ἐκ δὲ θαλάσσης,
ἄλλοισιν μελέτω κέρδος ἀελλομάχον.

Τοῦ αὐτοῦ.

Χθών σε τέκεν· πόντος δὲ διώλεσε. δέκτο δὲ θῶκος
πλούτωνος· κεῖθεν δ' οὐρανὸν εἰσανέβης.
οὐχ ὡς ναυηγὸς δὲ βυθῷ θάνες, ἀλλ' ἵνα πάντων
κλήρους ἀθανάτων παμφίλε κόσμον ἄγῃς.

Τοῦ αὐτοῦ.

Ὑπατίου τάφος εἰμί· νέκυν δ' οὔ φημι καλύπτειν,
τόσσου τόσσος ἐὼν Αὐσονίων προμάχου.
γαῖα γὰρ αἰδομένη λιτῷ μέγαν ἀνέρα χῶσαι
σήματι, τῷ πόντῳ μᾶλλον ἔδωκεν ἔχειν.

Ἀντιφίλου.

Ἤδη που πάτρης πελάσας σχεδὸν, αὔριον εἶπον,
ἡ μακρὴ κατ' ἐμοῦ δυσπλοΐη κοπάσει.
οὔπω χεῖλος ἔμυσε· καὶ ἦν ἴσος Ἅιδι πόντος,
καί με κατέτρυχεν κεῖνο τὸ κοῦφον ἔπος.
πάντα λόγον πεφύλαξο τὸν αὔριον· οὐδὲ τὰ μικρὰ
λήθει τὴν γλώττης ἀντίπαλον νέμεσιν.

Ἀπολλωνίδου.

Ἢν ἄρα Μιλήτου φοιβήιον ὅρμον ἵκησθε,
λέξατε Διογένει πένθιμον ἀγγελίην,

παῖς ὅτι οἱ ναυηγὸς, ὑπὸ χθονὶ κεύθεται ἀνδρὸς
Δίφιλος, αἰγαίου κῦμα πιὼν πελάγους.

Ἀντιπάτρου.

Πᾶσα θάλασσα, θάλασσα. τί κυκλάδας, ἢ στενὸν ἕλλης
κῦμα, καὶ ὀξείας ἠλεὰ μεμφόμεθα;
ἄλλως τοὔνομ᾽ ἔχουσιν. ἐπεὶ τί με τὸν προφυγόντα
κεῖνα, σκαρφαιεὺς ἀμφεκάλυψε λιμήν.
νόστιμον εὔπλοιαν ἀρᾶτό τις. ὡς τά γε πόντου,
πόντος. ὁ τυμβευθεὶς οἶδεν ἀρισταγόρης.

Φακέλλου.

Φεῦγε θαλάσσια ἔργα, βοῶν δ᾽ ἐπιβάλλευ ἐχέτλῃ,
εἴ τί τοι ἡδὺ μακρῆς πείρατ᾽ ἰδεῖν βιοτῆς.
ἠπείρῳ γὰρ ἔνεστι μακρὸς βίος. εἰν ἁλὶ δ᾽ οὔπως
εὐμαρὲς εἰς πολιὴν ἀνδρὸς ἰδεῖν κεφαλήν.

Λεωνίδου.

Οὐδ᾽ εἴ μοι γελόωσα κατασορέσειε γαλήνη
κύματα, καὶ μαλακὴν φρῖκα φέροι ζέφυρος,
νηὶ βατὴν ὄψεσθε. δέδοικα γὰρ οὓς πάρος ἔτλην
κινδύνους, ἀνέμοις ἀντικορυσσόμενος.

Τοῦ αὐτοῦ.

Ἄτρομος ἐκ τύμβου λῦε πείσματα ναυηγοῖο.
χἠμῶν ὀλλυμένων ἄλλος ἐνηοπόρει.

Ἀδήλου.

Ἐμπορίης λήξαντα φιλόκριτον, ἄρτι δ᾽ ἀρότρου
γευόμενον, ξείνη μέμφις ἔκρυψε τάφῳ.
ἔνθα δραμὸν νείλοιο πολὺς ῥόος ὕδατι λάβρῳ,
τἀνδρὸς τὴν ὀλίγην βῶλον ἀπημφίασε.
καὶ ζωὸς μὲν ἔφευγε πικρὴν ἅλα, νῦν δὲ καλυφθεὶς
κύμασι ναυηγὸν σχέτλιος ἔσχε τάφον.



ALEXANDER PP VII ... ARAGONUM ... SANTI FERDINANDI

Ηρακλείδου.

Απισχ' ἄπισχε χεῖρας ὦ γεωπόνε.
μὴ δ' ἀμφίταμνε τὰν ἐν ἠρίῳ κόνιν.
αὐτὰ κέκλαυται βῶλος. ἐκκεκλαυμένας
δ' οὔτοι κόματος ἀναβαλ στεται στάχυς.

Γλαύκου.

Οὐ κόνις, οὐδ' ὀλίγου πέτρας βάρος, ἀλλ' ἐρασίππου
ἣν ἐσορᾷς, αὕτη πᾶσα θάλασσα τάφος.
ὤλετο γὰρ σὺν νηί. τὰ δ' ὀστέα ποῦ ποτ' ἐκείνου
πύθεται, αἰθυίαις γνωστὰ μόναις ἐνέπειν.

Αντιπάτρου.

Δύσμορε Νικάνωρ, πολιῷ μεμορημένε πόντῳ,
κεῖσαι δὴ ξείνῃ γυμνὸς ἐπ' ἠιόνι,
ἢ σύγε πρὸς πέτρῃσι. τὰ δ' ὄλβια κεῖνα μέλαθρα
φροῦδα τε, καὶ πάσης ἐλπὶς ὄλωλε Τύρου.
οὐδέ τί σε κτεάνων ἐρρύσατο. φεῦ ἐλεεινέ.
ὤλεο μοχθήσας ἰχθύσι, καὶ πελάγει.

Θεοκρίτου.

Ανθρωπε, ζωῆς περιφείδεο, μὴ δὲ παρ' ὥρην
ναυτίλος ἴσθι, ὡς οὐ πολὺς ἀνδρὶ βίος.

Θεοδωρίδου.

Κλήιδες πόντου σε, καὶ ἐσχατιαὶ Σαλαμῖνος
Τίμαρχ', ὕβρισθης τ' ὤλεσε λὶψ ἄνεμος.

Ονέστου.

Οὔνομα κηρύσσω Τιμοκλέος, εἰς ἅλα πικρὴν
πάντῃ σκεπτομένη ποῦ ποτ' ἄρ' ἐστὶ νέκυς.
αἰ, αἰ, τὸν δ' ἤδη φάγον ἰχθύες. ἡ δὲ περισσὴ
πέτρος ἐγὼ, τὸ μάτην γράμμα τυπωθὲν ἔχω.

ALEXANDER PP VI ... ACADEMIAM ... SANCTI FERDINANDI

Ἀδήλου.

Ναυτίλε, μὴ πεύθου τίνος ἐνθάδε τύμβος ὅδ᾽ εἰμί,
ἀλλ᾽ αὐτὸς πόντου τύγχανε χρηστοτέρου.

Διοδώρου.

Ἔῤῥοις ἰονίοιο πολυπλοίκτε θάλασσα
νηλειὴς, ἀΐδεω πορθμὲ κελαινοτάτου,
ἣ τόσσους κατέδεξο. τίς ἂν τεὰ κάμμορε λέξαι
αἴσυλα, δυσζώων αὖσαν ὀπιζόμενος,
ἄλγεα, καὶ Βλαβέων ὅσσον ὠκυμόροισιν ἑταίροις,
νηΐτε σὺν πάσῃ, βεῦξας ἁλιῤῥοθίῃ.

Ἀργενταρίου.

Οὗτος ὁ Καλλαίσχρου κενεὸς τάφος, ὃν βαθὺ χεῦμα
ἔσφηλεν λιβυκῶν ἐνδρομέοντα πόρων.
συρμὸς ὅτ᾽ ὠρίωνος ἀνεστρώφησε θαλάσσης
βένθος, ὑπὸ συγκρῆς οἴδματα πανδυσίης.
καὶ τὸν μὲν δαίσαντο κυκώμενον εἰν ἁλὶ θῆρες.
κωφὸν δὲ στήλη γράμμα λέλογχε τόδε.

Ξενοκρίτου.

Χαῖται σου στάζουσιν ἔθ᾽ ἁλμυρὰ δύσμορε κούρη
ναυηγοῦ φθιμένης εἰν ἁλὶ Λυσιδίκη.
ἦ γὰρ ὀρινομένου πόντου, δείσασα θαλάσσης
ὕβριν, ὑπὸ κοίλου δούρατος ἐξέπεσες.
καὶ σὸν μὲν φωνεῖ τάφος οὔνομα. καὶ χθόνα ταρσόν.
ὀστέα δὲ ψυχρῷ κλύζετ᾽ ἐπ᾽ αἰγιαλῷ,
πικρὸν ἀριστομάχῳ γενέτῃ κακόν. ὅς σε κομίζων
οὐ γάμον, οὔτε κόρην ἤγαγεν, οὔτε νέκυν.

Ζωνᾶ.

Ψυχρὰν σου κεφαλὰς ἐπιμάσσομαι αἰγιαλῖτιν
θῖνα κατὰ κρυεροῦ χευάμενος νέκυος.

οὐ γάρ σευ μήτηρ ἐπιτύμβια κωκύουσα,
οἶδεν ἀλεξαύτη σὸν μόρον εἰνάλιον,
ἀλλά σ' ἐρημαῖοί τε, καὶ ἄξεινοι πλαταμῶνες
δέξονται γαίης, γείτονες ἠϊόνος,
ὥστ' ἐχέμεν ψαμάθου μόριον βραχύ. πουλὺ δὲ δάκρυ
ξεῖν', ἐπεὶ εἰς ὀλοὴν ἔδραμες ἐμπορίην.

Ἀλκαίου.

Στυγνὸς ἐπ' ἀρκτούρῳ ναύταις πλόος. ἐκ δὲ βαρείης
λαίλαπος, ἀσπασίῳ πικρὸν ἔτευξε μόρον,
οὗ στείχεις παρὰ τύμβον ὁδοιπόρε. σῶμα δὲ πόντος
ἔκρυψ', αἰγαίῳ ῥαινόμενον πελάγει.
ἠϊθέων δακρυτὸς μόρος. ἐν δὲ θαλάττῃ,
πλεῖστα πολυκλαύτου κήδεα ναυτιλίης.

Λεωνίδου.

Ἠχήεσσα θάλαττα, τί τὸν Τιμάρεος οὕτω
πλώοντ' οὐ πολλῇ νηῒ Τελευταγόρην,
ἄγρια χειμήνασα κατεπρηνώσαο πόντῳ
σὺν φόρτῳ, λάβρον κῦμ' ἐπιχευαμένη;
χὠ μὲν που καύηξιν, ἢ ἰχθυβόροις λαρίδεσσι
τεθρήνητ' ἄπνους εὑρεῖ ἐν αἰγιαλῷ.
τιμάρης δὲ κενὸν τέκνου κεκλαυμένον ἀθρῶν
τύμβον, δακρύει παῖδα Τελευταγόρην.

Ἀθηνοδώρου.

Ἐν πόντῳ Σώδαμις ὁ Κρὴς θάνεν ὦ φίλε Νηρεῦ,
δίκτυα, καὶ τὸ σὸν ἦν κεῖνο σύνηθες ὕδωρ.
ἰχθυβολεὺς ὁ περισσὸς ἐν ἀνδράσιν· ἀλλὰ θάλαττα,
οὔτι διακρίνει χείματος οὐδ' ἁλιεῖς.

Ἀντιπάτρου.

Δᾶμις ὁ νικαιεὺς ἐλαχὺ σκάφος ἔκ ποτε πόντου
ἰονίου ποτὶ γᾶν ναυσολέων Πέλοπος,

φορτίδα μὲν καὶ πάντα νεὼς ἐπιβήτορα λαὸν
κύματι, καὶ συρμῷ πλαζομένους ἀνέμων,
ἀσκηθεῖς ἐσάωσε. καθιεμένης δ' ἤδη πέτραις
ἀγκύρης, ψυχρῶν κάτθανεν ἐκ νιφάδων,
ἠμύσας ὁ πρέσβυς. ἴδ' ὡς λιμένα γλυκὺν ἄλλοις
δοὺς ξένε, τὸν λήθης αὐτὸς ἔδυ λιμένα.

Παγκρατίου.

Ὤλεσεν αἰγαίου διὰ κύματος ἄγριος ἀρθεὶς
λὶψ ἐπικρείδην ὕασι δυομέναις,
αὐτῇ οἱ σὺν νηΐ, καὶ ἀνδράσιν. ὧ τόδε σῆμα
δακρύσας κενεὸν παιδὶ πατὴρ ἔκαμεν.

Λεωνίδου.

Αἰεὶ λῃσταὶ, καὶ ἁλιφθόροι, οὐδὲ δίκαιοι
κρῆτες. τίς κρητῶν οἶδε δικαιοσύνην;
ὡς καὶ ἐμὲ πλώοντα σὺν οὐκ ἐπίσοι φόρτῳ
κρηταιεῖς ὦσαν Τιμόλυτον καθ' ἁλός.
δείλαιον. κἠγὼ μὲν ἁλιζώοις λαρίδεσσιν
κέκλαυμαι. τύμβῳ δ' οὐχ ὕπο Τιμόλυτος.

Τοῦ αὐτοῦ.

Κὴν γῇ, κὴν πόντῳ κεκρύμμεθα. τοῦτο περισσὸν
ἐκ μοιρέων Θάρσυς Χαρμίδου ἠνύσατο.
ἢ γὰρ ἐπ' ἀγκύρης ἔνοχον βάρος εἰς ἅλα δύων,
ἰόνιόν θ' ὑγρὸν κῦμα κατερχόμενος,
τὴν μὲν ἔσωσ'. αὐτὸς δὲ μετάστροπος ἐκ βυθοῦ ἐῤῥων
ἤδη καὶ ναύταις χεῖρας ὀρεγνύμενος,
ἐβρώθην. τοῖόν μοι ἐπάγριον οὐ μέγα κῆτος
ἦλθεν. ἀπέβρυξεν δ' ἄχρι ἐπ' ὀμφαλίου.
χἤμισυ μὲν ναῦται ψυχρὸν βάρος ἐξ ἁλὸς ἡμῶν
ἦρανθ', ἥμισυ δὲ πρίστις ἀπεκλάσατο.

κόνι δ' ἐν ταύτῃ κακὰ λείψανα Θάρσυος ὧνπερ
ἔκρυψαν. πάτρην δ' οὐ πάλιν ἱκόμεθα.

Τοῦ αὐτοῦ.

Τετρηχυῖα θάλασσα, τί μ' οὐκ ὀϊζυρὰ παθόντα,
τηλόσ' ἀπὸ ψιλῆς ἔπλυσας ἠϊόνος;
ὡς σεῦ μὴ δ' αἴδαο κακὴν ἐπιειμένος ἀχλὺν,
Φιλλεὺς ἀμφιμένους ἆσσον ἐγειτόνεον.

Ἀσκληπιάδου.

Ὀκτώ μου πήχεις ἀπέτρεχε τρηχεῖα θάλασσα,
καὶ κύμαινε. βόα θ' ἡλίκα σοι δύναμις.
ἢν δὲ τὸν Εὐμάρεω καθέλῃς τάφον, ἄλλο μὲν οὐδὲν
χρήγυον, εὑρήσεις δ' ὀστέα καὶ σποδιήν.

Σιμωνίδου.

Σῶμα μὲν ἀλλοδαπὴ κεύθει κόνις. ἐν δέ σε πόντῳ
Κλείσθενες, Εὐξείνῳ κὴρ ἔκιχεν θανάτου,
πλαζόμενον. γλυκεροῦ δὲ μελίφρονος οἴκαδε νόστου
ἤμβροτες. οὐδ' ἵκευ χίον ἐς ἀμφιρύτην.

Τοῦ αὐτοῦ.

Φῆ ποτε Τίμαρχος πατρὸς περὶ χεῖρας ἔχοντος,
ἡνίκ' ἀφ' ἱμερτὴν ἔπνεεν ἡλικίην,
ὦ Τιμηνορίδη, παιδὸς φίλου οὔποτε λήσῃ,
οὔτ' ἀρετὴν ποθέων, οὔτε σαοφροσύνην.

Ἀντιπάτρου.

Καὶ νέκυν ἀπρήκτως ἀνιήσει με θάλασσα
Λῦσιν ἐρημαίῃ κρυπτὸν ὑπὸ σπιλάδι,
στρηνὲς ἀεὶ φωνεῦσα παρ' οὔατι, καὶ παρὰ κωφὸν
σῆμα. τί μ', ὤνθρωποι, τῇδε παρῳκίσατε;
ἢ πνοιῆς χήρωσε τὸν οὐκ ἐπὶ φορτίδι νηὶ
ἔμπορον, ἀλλ' ὀλίγης ναυτίλον εἰρεσίης,

θηκάμενοι ναυηγόν. ὁ δ' ἐκ πόντοιο ματεύων
ζωὴν, ἐκ πόντου καὶ μόρον εἱλκυσάμην.

Ἀρχίου.

Οὐδὲ νέκυς ναυηγὸς ἐπὶ χθόνα Θῆρις ἐλασθεὶς
κύμασιν, ἀγρύπνων λήσομαι ἠϊόνων.
ἦ γὰρ ἁλιῤῥήκτοις ποτὶ χοιράσιν ἀγχόθι πόντου
δυσμενέος, ξείνων χερσὶν ἔκυρσα τάφου.
αἰεὶ δὲ βρομέοντα καὶ ἐν νεκύεσσι θαλάσσης
ὁ τλήμων αἰῶ δοῦπον ἐπερχόμενον.
μόχθων δ' οὐδ' Ἀΐδης με κατεύνασεν, ἡνίκα μοῦνος
οὐδὲ θανὼν λείῃ κέκλιμαι ἡσυχίῃ.

Ἀντιπάτρου.

Ναυαγοῦ τάφος εἰμί. σὺ δὲ πλέε. καὶ γὰρ ὅθ' ἡμεῖς
ὠλλύμεθ', αἱ λοιπαὶ νῆες ἐποντοπόρουν.

Ἰσιδώρου.

Ἐκ γαιωμορίης ἐτεσκλέα πόντιος ἐλπὶς
εἵλκυσεν, ὀθνείης ἔμπορον ἐργασίης.
νῶτα δὲ τυρσηνῆς ἐπ' ὀδεύων ἁλός. ἀλλ' ἅμα νηὶ
πρηνιχθεὶς, κείνης ὕδασιν ἐγκατέδυ,
ἀθρόον ἐκβρίσαντος ἀήματος. οὐκ ἄρ' ἀλωὰς
ὡὐτὸς ἐπιπνείει κ' εἰς ὀθόνας ἄνεμος.

Θεοφάνους.

Οὐ προϊδὼν Θεότιμε κακὴν δύσιν ὑετίοιο
ἀρκτούρου, κρυερῆς ἥψαο ναυτιλίης.
ἥτε δ' αἰγαίοιο πολυκλήϊδι θέοντα
νηὶ, σὺν οἷς ἑτάροις ἤγαγεν εἰς ἀΐδην.
αἲ, αἲ, ἀριστοδίκη δὲ, καὶ εὔπολις, οἵ σ' ἐτέκοντο,
μύρονται, κενεὸν σῆμα περισχόμενοι.

ALEXANDER

Καλλιμάχου.

Δωδεκέτη τὸν παῖδα πατὴρ ἀπέθηκε φίλιππος
ἐνθάδε, τὴν πολλὴν ἐλπίδα, Νικοτέλην.

Αδεσπότον.

Αδης μὲν σύλησεν ἐμῆς νεότητος ὀπώρην.
κρύψε δὲ παππῴῳ μνήματι τῷδε λίθος.
οὔνομα ῥουφῖνος γενόμην, παῖς αἰθερίοιο,
μητρὸς δ' ἐξ ἀγαθῆς. ἀλλὰ μάτην γενόμην.
ἐν γὰρ ἄκρον μούσης τε, καὶ ἥβης ἄνθος ἐλάσας,
φεῦ, σοφὸς εἰς ἀΐδην, καὶ νέος εἰς ἔρεβος.
κώνυε καὶ σὺ βλέπων τάδε γράμματα μακρὸν ὁδῖτα,
δὴ γὰρ ἔφυς ζώων, ἢ παῖς, ἠὲ πατήρ.

Αγαθίου σχολα-
στικοῦ.

Θεσμοὶ μὲν μεμέληντο συνήθεες ἀγαθονίκῳ.
μοῖρα δὲ δειμαίνειν οὐ δεδάηκε νόμους.
ἀλλά μιν ἁρπάξασα, σοφῶν ἤμερσε θεμίστων,
οὔπω τῆς νομίμης ἔμπλεον ἡλικίης.
οἰκτρὰ δ' ὑπὲρ τύμβοιο κατεστονάχησαν ἑταῖροι
κείμενον, οὐ θιάσου κόσμον ὀδυρόμενοι.
ἡ δὲ κόμην τίλλουσα, γόῳ πληκτίζετο μήτηρ,
αἲ, αἲ, τὸν λαγόνων μόχθον ἐπισταμένη.
ἔμπης ὄλβιος οὗτος, ὃς ἐν νεότητι μαρανθεὶς,
ἔκφυγε τὴν βιότου θᾶσσον ἀλιτροσύνην.

Παύλου σιλεντια-
ρίου.

ALEXANDER PP VII ... FERDINANDUS

ὥριος εἷχέ σε παστὰς, ἀώριος εἷλέ σε τύμβος,
εὐθαλέων χαρίτων ἄνθος ἀναστασίη.
σοὶ γενέτης, σοὶ πικρὰ πόσις κατὰ δάκρυα λείβει,
σοὶ τάχα καὶ πορθμεὺς δακρυχέει νεκύων.
οὐ γὰρ ὅλον λυκάβαντα διήνυσας ἄγχι συνεύνου,
ἀλλὰ ἑκκαιδεκέτιν φεῦ κατέχει σε τάφος.

Ἐρατοσθένους εἰς
τὸ αὐτό.

φεῦ, φεῦ, ἀμετρήτων χαρίτων ἔαρ ἤδη μαραίνει
ἀμφὶ σοὶ ὠμοφάγων χεῖμα τὸ νερτερίων.
καὶ σὲ μὲν ἥρπασε τύμβος, ἀπ' ἠελιώτιδος αἴγλης
πέμπτον ἐφ' ἑνδεκάτῳ πικρὸν ἄγουσαν ἔτος.
σὸν δὲ πόσιν, γενέτην τε, κακαῖς ἀλάωσεν ἀνίαις.
οἷς πλέον ἠελίου λάμπες ἀναστασίη.

Ἀγαθίου σχολα-
στικοῦ.

Εὐστάθιε, γλυκερὸν μὲν ἔχεις τύπον. ἀλλά σε κηρὸν
δέρκομαι. οὐδ' ἔτι σοι κεῖνο τὸ λαρὸν ἔπος
ἕζεται ἐν στομάτεσσι. τεὴ δ' εὐάνθεμος ἥβη,
αἲ αἲ, μαψιδίη νῦν χθονός ἐστι κόνις.
πέμπτου, καὶ δεκάτου γὰρ ἐπιψαύσας ἐνιαυτοῦ,
τετράκις ἓξ μούνους ἔδρακες ἠελίους.
οὐδὲ τεοῦ πάππου θρόνος ἤρκεσεν, οὐ γενετῆρος
ὄλβος. πᾶς δὲ τεὴν εἰκόνα δερκόμενος,
τὴν ἄδικον μοῖραν καταμέμφεται, οὕνεκα τοίην
ἆ, μέγα νηλειὴς ἔσβεσεν ἀγλαΐην.

Ἰουλιανοῦ ἀπὸ ὑπάρχων
αἰγυπτίου.

Ἄγριός ἐστι χάρων; πλέον ἤπιος. ἥρπασεν ἤδη
τὸν νέον; ἀλλὰ νόῳ τοῖς πολιοῖσιν ἴσον.

ALEXANDER ... ARAGONUM ... FERDINANDUS ...

τερπωλῆς ἀπέπαυσεν· ἀπευφέλιξε δὲ μόχθων.
οὐκ ἔγνω ὅπως γάμους, οὐδὲ γάμων ὀδύνας.

Παύλου σιλεντιαρίου, ἐπὶ τῇ
ἰδίᾳ θυγατρί.

Λέκτρα σοι ἀντὶ γάμων ἐπιτύμβια παρθένε κούρη,
ἐστόρεσαν παλάμαις πενθαλέαις γονέες.
καὶ σὺ μὲν ἀμπλακίας βιότου, καὶ μόχθον ἐλευθοῦς
ἔκφυγες. οἱ δὲ, γόων πικρὸν ἔχουσι νέφος.
δωδεκέτιν γάρ ἄρουρα μακηδονική σε καλύπτει,
κάλλεσιν ὁπλοτέρην, ἤθεσι γηραλέην.

Εὐτολμίου.

Παρθενικὴν ἑλένην μετ' ἀδελφεὸν ἄρτι θανόντα,
δειλαίη μήτηρ κόψατο διπλασίως.
μνηστῆρες δ' ἐγόησαν ἴσον γόον. ἦν γὰρ ἑκάστῳ
θρηνεῖν τὴν μήπω μηδενὸς, ὡς ἰδίην.

Διογένους ἐπισκόπου.

ἀμισοῦ.

Σοὶ τόδε Διόγενες θαλερῆς μνημήϊον ἥβης
πόντῳ ἐν εὐξείνῳ θῆκατο φρὺξ γενέτης.
φεῦ, πάτρης ἑκὰς ὅσσον. ἄγεν δέ σε νεῦμα θεοῖο
πατρὸς ἀδελφειῷ πένθος ὀφειλόμενον.
ὅς σε πολυστείλας ἱερῇ παλάμῃ τε, καὶ εὐχῇ,
γείτονα τῆς μακάρων θῆκε χοροστασίης.

Κριναγόρου.

Ηὐχήσαντο καὶ ἄλλαι ἐὸν πάρος οὔνομα νῆσοι
ἀκλεές. ἐς δ' αἰγιαλὸν ἦλθον ὁ μαινομένη.
κληθεῖεν τε καὶ ἄμμες ἐρωτίδες. οὐ νέμεσίς τοι
ἔξει δὴ ταύτην κλῆσιν ἀμειψαμέναις.
παιδὶ γὰρ, ὃν τύμβῳ δίκης ὑπεθήκατε βώλου,
οὔνομα, καὶ μορφὴν αὐτὸς ἔδωκεν ἔρως.

ὦ χθὼν σηματόεσσα, καὶ ἡ παρὰ θινὶ θάλασσα,
παιδὶ σὺ μὲν, κούφη κεῖσο, σὺ δ' ἡσυχίη.

Σαμίου.

Ὕστατα δὴ τάδ' ἔειπε φίλαν ποτὶ ματέρα Γοργὼ
δακρυόεσσα, δέρης χερσὶν ἐφαπτομένα.
αὖθι μένοις παρὰ πατρί. τέκοις δ' ἐπὶ λῴονι μοίρᾳ
ἄλλαν, σῷ πολιῷ γήραϊ κηδομένην.

Λεωνίδου.

Η παῖς ᾤχετ' ἄωρος ἐν ἑβδόμῳ ἤδ' ἐνιαυτῷ
εἰς ἀΐδην πολλῆς ἡλικίης προτέρη,
Δειλαίη, ποθέουσα τὸν εἰκοσάμηνον ἀδελφὸν
νήπιον, ἀστόργου γευσάμενον θανάτου.

Τοῦ αὐτοῦ.

Αἲ, αἲ, λυγρὰ παθοῦσα Περιστορίη, ὡς ἐν ἑτοίμῳ
ἀνθρώποις δαίμων θῆκε τὰ λυγρότατα.

Σιμωνίδου.

Αἲ αἲ, νοῦσε βαρεῖα, τί δὴ ψυχαῖσι μεγαίρεις
ἀνθρώπων, ἐρατῇ πὰρ νεότητι μένειν;
ἣ καὶ Τιμάρχου γλυκερῆς αἰῶνος ἄμερσας
ἠΐθεον, πρὶν ἰδεῖν κουριδίαν ἄλοχον.

Καλλιμάχου.

Ἠῷοι Μελάνιππον ἐθάπτομεν. ἠελίου δὲ
δυομένου, Βασιλὼ κάτθανε παρθενική,
αὐτοχερί. ζώειν γὰρ ἀδελφεὸν ἐν πυρὶ θεῖσα,
οὐκ ἔτλη. δίδυμον δ' οἶκος ἐσεῖδε κακὸν,
πατρὸς ἀριστίπποιο. κατήφησε δὲ Κυρήνη
πᾶσα τὸν εὔτεκνον χῆρον ἰδοῦσα δόμον.

Βιάνορος.

Θειονόης ἔκλαιον ἐμῆς γάμον. ἀλλ' ἐπὶ παιδὸς
ἐλπίσι, κουφοτέρας ἔστενον εἰς ὀδύνας.



ALEXANDER ... FERDINANDUS ... ARAGONUM

νῦν δέ με καὶ παιδὸς φθονερή τις ἔνοσφισε μοῖρα.
φεῦ, βρέφος ἐψεύσθην καὶ σὲ τὸ λειπόμενον.
Φερσεφόνη, τόδε πατρὸς ἐπὶ θρήνοισιν ἄκουσον.
θὲς βρέφος ἐν κόλποις μητρὸς ἀποιχομένης.

Παρμενίωνος.

Παρθενικῆς τάφος εἰμὶ Ἑλένης. πρὶν θεῖ δ᾽ ἐπ᾽ ἀδελφοῦ
προφθιμένου, διπλόα μητρὸς ἔχω δάκρυα.
μνηστῆρσι δ᾽ ἔλιπον κοινὸν ἄλγεα. τὴν γὰρ ἔτ᾽ οὔπω
οὐδενός, ἡ πάντων ἐλπὶς ἔκλαυσεν ἴσως.

Ἀντιπάτρου θεσσαλο-
νικέως.

Αὐσονίη με Λίβυσσαν ἔχει κόνις. ἄγχι δὲ Ῥώμης
κεῖμαι, παρθενικὴ τῇδε παρὰ ψαμάθῳ.
ἡ δέ με θρεψαμένη Πομπηΐη, ἀντὶ θυγατρὸς
κλαυσαμένη, τύμβῳ θῆκεν ἐλευθερίῳ,
πῦρ ἕτερον σπεύδουσα. τὸ δ᾽ ἔφθασεν. οὐδὲ κατ᾽ εὐχὴν
ἡμετέρην ἧψεν λαμπάδα Φερσεφόνη.

Ἀδηλον.

Αἴ, αἴ, τοῦτο κάκιστον, ὅταν κλαίωσι θανόντα
νυμφίον, ἢ νύμφην. ἡνίκα δ᾽ ἀμφοτέρους,
Εὔπολιν, ὡς ἀγαθήν τε Γλυκέριον, ὧν ὑμέναιον
ἔσβεσεν ἐν πρώτῃ νυκτὶ πεσὼν θάλαμος,
οὐ καλῶς τόδε κῆδος ἰσόρροπον. ὡς ὁ μὲν υἱὸν
Νικίας, σὺ δ᾽ ἔκλαυσας Εὔδικε θυγατέρα.

Θεοδωρίδου.

Οὐδ᾽ ὅτε, κηδεμόνες μέγα δάκρυον εἰς σὲ θανόντα
κώκυσαν, μέλεον πυρσὸν ἀναψάμενοι,
Δηνόλινε, ζισάωρε. σὺ δ᾽ ἀντὶ γάμου τε, καὶ ἥβης,
κάλλιπες ἡδίστῃ μητρὶ γόους, καὶ ἄχη.

Παύλου σιλεντιαρίου.

Εἰ καὶ ἐπὶ ξείνοις σε Λεόντιε γαῖα καλύπτει,
εἰ καὶ ἐρικλαύτων τῆλ' ἔθανες γονέων,
πολλά σοι ἐκ βλεφάρων ἐχύθη πολυτύμβια φωτῶν
δάκρυα, δυσλήτῳ πένθει δαπτομένων.
πᾶσι γὰρ ἦσθα λίην πεφιλημένος, οἷά τε πάντων
ξυνὸς ἐὼν κοῦρος, ξυνὸς ἐὼν ἕταρος.
αἰ, αἰ, λευγαλέη, καὶ ἀμείλιχος ἔπλεο μοῖρα,
μηδὲ τεῆς ἥβης δύσμορε φεισαμένη.

Ἀδήλου.

Ἑπτά με δὶς λυκάβαντας ἔχουσαν ἀφήρπασε δαίμων,
ἣν μούνην Διδύμῳ πατρὶ θάλψα τέκνον.
ὦ μοῖραι, τί τοσοῦτον ἀπηνέες, οὐδ' ἐπὶ παστοὺς
ἠγάγετ', οὐδ' ἐρατῆς ἔργα τεκνοσπορίης;
οἱ μὲν γὰρ τοκέες με, γαμήλιον εἰς ὑμέναιον
μέλλον ἄγειν. στυγεροῦ δ' εἰς ἀχέροντος ἔβην.
ἀλλὰ θεοί, λίτομαι, μητρός τε γόους, πατέρος τε,
παύσατε, τηκομένων εἵνεκ' ἐμοῦ φθιμένης.

Διοδώρου.

Ἡμιτελῆ θάλαμόν τε, καὶ ἐγγύθι νυμφικὰ λέκτρα
κοῦρε λιπὼν, ὀλοὴν οἶμον ἔβης ἀίδου
Θύνιον. Ἀστακίην τε μέγ' ἤκαχες. ἥ σε μάλιστα
οἰκτρὰ τὸν ἡβητὴν κώκυεν ἠΐθεον,
ἐπ' ἀρχοῦ κλαίουσα κακὸν μόρον, εἴκοσι ποίας
μοῦνον ἐπεὶ βιότου πλήσαο, καὶ πίσυρας.

Ἀνύτης.

Παρθένον ἀντιβίην κατοδύρομαι. ἧς ἔπι πολλοὶ
νυμφίοι ἱέμενοι, πατρὸς ἵκοντο δόμον,
κάλλευς, καὶ πινυτῆτος ἀγακλέος. ἀλλ' ἐπὶ πάντων
ἐλπίδας οὐλομένη μοῖρ' ἐκύλισε πρόσω.

ALEXANDER PP VI ... ARAGONUM ... FERDINANDUS

Μνασάλκου.

Αἶ, αἶ, παρθενίας ὀλοόφρονος, ἃς ἄπο φαιδρὰν
ἔκλασας ἁλικίαν ἱμερόεσσα Κλεοῖ.
κὰδ δέ σ' ἀμυξάμεναι ποτὶ δάκρυσιν ἅιδ' ἐπὶ τύμβῳ
λᾶες σειρήνων ἔσταμες εἰδάλιμοι.

Ἀδηλα.

Ἀντί τοι εὐλεχέος θαλάμου, σεμνῶν θ' ὑμεναίων,
μάτηρ στᾶσε τάφῳ τῷδ' ἐπὶ μαρμαρίναν,
παρθενικὰν, μέτρον τε τεὸν, καὶ κάλλος ἔχουσαν,
Θερσίπποτι. φθεγκτὰ δ' ἔπλεο, καὶ φθιμένα.

Ὠιχόμεθ' ὦ Μίλητε φίλη πατρὶ, τῶν ἀθεμίστων
τὴν ἀνόμου γαλατῶν ὕβριν ἀναινόμεναι,
παρθενικαὶ τρισσαὶ πολιήτιδες. ὧν ὁ βιατὸς
κελτῶν εἰς ταύτην μοῖραν ἔτρεψεν ἄρης.
οὐ γὰρ ἐμείναμεν αἷμα τὸ δυσσεβὲς, οὐδ' ὑμέναιον
νυμφίον, ἀλλ' ἀΐδην κηδεμόν' εὑράμεθα.

Ἀντιπάτρου.

Οὐ νούσῳ ῥοδόπατε, καὶ ἁ γενέτειρα Βοΐσκα,
οὐδ' ὑπὸ δυσμενέων δούρατι κεκλίμεθα,
ἀλλ' αὐταὶ πάτρας ὁπότ' ἔφλεγεν ἄστυ κορίνθου.
γοργὸς ἄρης, ἀΐδαν ἄλκιμον εἱλόμεθα.
ἔκτανε γάρ μ' ὁ μάτηρ με δαϊσφακτῆρι σιδάρῳ,
οὐδ' ἰδίου φειδὼ δύσμορος ἔσχε βίου.
ἅψε δ' ἐναυχένιον δειρᾷ βρόχον. ἦν γὰρ ἀμείνων
δουλοσύνας ἄμμιν πότμος ἐλευθέριος.

ΕΙΣ ΟΡΝΙΣ. Ἀρχίου εἰς κίσσαν. 24

Ἡ πάρος ἀντίφθογγον ἀποκλάγξασα νομεῦσι
πολλάκι καὶ δρυτόμοις κίσσα, καὶ ἰχθυβόλοις,

πολλάκι δὴ κρέξασα πολύθροον, οἷά τις ἀχὼ
κέρτομον ἀντῳδοῖς χείλεσιν ἁρμονίαν,
νῦν εἰς γᾶν ἄγλωσσος, ἀναύδητός τε πεσοῦσα,
κεῖμαι, μιμητὰν ζῆλον ἀνηνναμένα.

Ἀγαθίου σχολαστικοῦ, εἰς πέρδικα.

Οὐκ ἔτι που τλῆμον σκοπέλων μετανάστρια πέρδιξ
πλεκτὸς λεπταλέοις οἶκος ἔχει σε λύγοις,
οὐδ' ὑπὸ μαρμαρυγῇ θαλερώπιδος ἠριγενείης,
ἄκρα παραιθύσσεις θαλπομένων πτερύγων.
σὴν κεφαλὴν αἴλουρος ἀπέθρισε. τἆλλα δὲ πάντα
ἥρπασε. καὶ φθονερὴν οὐκ ἐκόρεσσε γένυν.
νῦν δέ σε μὴ κούφη κρύπτοι κόνις, ἀλλὰ βαρεῖα,
μήποτε σὸν κείνη λείψανον ἐξερύσῃ.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Οἰκογενὴς αἴλουρος ἐμὴν πέρδικ' ἀνελοῦσα,
ζώειν ἡμετέροις ἔλπεται ἐν μεγάροις.
οὐ σε φίλη πέρδιξ φθιμένην ἀγέραστον ἐάσω,
ἀλλ' ἐπὶ σοὶ κτείνω τὴν σέθεν ἀντιβίην.
ψυχὴ γὰρ σέο μᾶλλον ὀρίνεται εἰσόκε ῥέξω,
ὅσσ' ἐπ' Ἀχιλλῆος Πύρρος ἔρεξε τάφῳ.

Εἰς τὸ αὐτὸ Δαμοχάριδος γραμματικοῦ.

Ἀνδροβόρων ὁμότεχνε κυνῶν αἴλουρε, κακίστη,
τῶν Ἀκταιονίδων ἐσσὶ μία σκυλάκων.
κτήτορος Ἀγαθίοιο τεοῦ πέρδικα φαγοῦσα,
λυπεῖς, ὡς αὐτὸν κτήτορα δαισαμένη.
καὶ σὺ μὲν ἐν πέρδιξιν ἔχεις νόον· οἱ δὲ μύες νῦν
ὀρχοῦνται, τῆς σῆς δραξάμενοι σπατάλης.

Εἰς τέττιγα Μελεάγρου.

Ἀχήεις τέττιξ δροσεραῖς σταγόνεσσι μεθυσθεὶς,
ἀγρονόμον μέλπεις μοῦσαν ἐρημολάλον.

καὶ τὰν μυρομέναν ὁπότ' ἀθρόος ἦλθε δαΐζων,
ἤριπεν ἐχαρίου λάβρον ἐπ' ἆσθμα πυρός.
καὶ θάνεν ἠλιτόεργος. ἴδ' ὡς Ἥφαιστος ἀμύντωρ,
τὰν ἀπ' Ἐριχθονίου παιδὸς ἔσωσε γονάν.

Φαέννου.

Δαμοκρίτῳ μὲν ἐγὼ λιγυρὰν ὄκα μοῦσαν ἀγείρειν,
ἀκρὶς ἀπὸ πτερύγων, τὸν βαθὺν ὕπνον ἄγων.
Δαμόκριτος δ' ἐπ' ἐμοὶ τὸν ἐοικότα τύμβον ὁδῖτα
ἐγγύθεν ὠρωποῦ χεῦεν ἀποφθιμένᾳ.

Λεωνίδου.

Εἰ καὶ μικρὸς ἰδεῖν καὶ ἐπ' οὔδεος ὦ παροδῖτα,
λᾶας ὁ τυμβίτης ἄμμιν ἐπικρέμαται.
αἰνοίης ὤνθρωπε Φιλαινίδα. τὴν γὰρ ἀοιδὸν
ἀκρίδα, τὴν εὖσαν τόπριν ἀκανθοβάτιν,
διπλοῦς ἐν λυκάβαντας ἐφίλατο. καί με θανοῦσαν
κάτθετ', ἐφυπνιδίων χηραμένην λαλαγῶν.
καὶ μ' οὐδὲ φθιμένην ἀπανήνατο. τοῦτο δ' ἐφ' ἡμῖν
τὸ λίγον ὤρθωσεν σῆμα πολυτροπίης.

Τύμνεω.

Ὄρνεον ὦ χάρισιν μεμελημένον, ὦ παρόμοιον
ἀλκυόσιν τὸν σὸν φθόγγον ἐσωσάμενον,
ἡρπάσθης φιλέλαιε. σὰ δ' ἤθεα, καὶ τὸ σὸν ἡδὺ
πνεῦμα, σιωπηραὶ νυκτὸς ἔχουσιν ὁδοί.

Παμφίλου.

Οὐκ ἔτι δὴ χλωροῖσιν ἐφεζόμενος πετάλοισιν
ἡδεῖαν μέλπων ἐκπροχέεις ἰαχάν,
ἀλλά σε γαρύοντα κατώκρον ἀχέτα τέττιξ,
παιδὸς ἀπ' ἠϊθέου χεὶρ μεταπτάμενον.

Σιμμίου.

οὐκ ἔτ' ἀν' ὑλῆεν δρυὸς εὔσκιον ἀγρότα πέρδιξ,
ἠχήσεις ἐνιεὶς γῆρυν ἀπὸ στόματος,
θηρεύων ἀγρίους συννομήλικας ἐν νόμῳ ὕλης.
ᾤχεο γὰρ πυμάταν εἰς ἀχέροντος ὁδόν.

Μελεάγρου.

τὸν ταχύπουν ἔτι παῖδα συναρπασθέντα τεκούσης
ἄρτι μ' ἀπὸ στέρνων οὐατόεντα λαγών,
ἐν κόλποις στέργουσα διέτρεφεν ἁ γλυκερόχρως
Φανίον, εἰαρινοῖς ἄνθεσι βοσκόμενον.
οὐδέ με μητρὸς, ἔτ' εἶχε πόθος. θνήσκω δ' ὑπὸ θοίνης
ἀπλήστου, πολλῇ δαιτὶ παχυνόμενος.
καί μου πρὸς κλισίαις κρύψαι νέκυν, ὡς ἐν ὀνείροις
αἰὲν ὁρᾶν, κοίτης γειτονόεντα τάφον.

Μνησάλκου.

Αἰθυίης ξένε τόνδε ποδήνεμον ἔννεπε τύμβον,
τᾶς ποτ' ἐλαφροτάταν χέρσος ἔθρεψε γόνυ.
πολλαῖς γὰρ ναέτεσιν ἰσόδρομον ἤνυσε μᾶκος.
ὄρνις ὅπως δολιχὰν ἐκπονέουσα τρίβον.

## ΕΙΣ ΠΟΙΗΤΑΣ. 25

Ἀλκαίου μεσσηνίου. Εἰς ὅμηρον.

Ἡρώων τὸν ἀοιδὸν ἴῳ ἔνι παῖδες ὅμηρον
ἤκαχον, ἐκ μουσέων γρῖφον ὑφηνάμενοι.
νέκταρι δ' εἰνάλιαι νηρηΐδες ἐχρίσαντο,
καὶ νέκυν ἀκταίῃ θῆκαν ὑπὸ σπιλάδι,
ὅττι θέτιν κύδηνε, καὶ υἱέα, καὶ μόθον ἄλλων
ἡρώων, ἰθακοῦ τ' ἔργματα λαρτιάδεω.
ὀλβίστη νῆσος ποντῴοις, ὅττι κέκευθε
βαιὴ, μουσάων ἀστέρα, καὶ χαρίτων.

Ἀντιπάτρου σιδωνίου εἰς
τὸν αὐτόν.

Ταν μερόπων πειθὼ, τὸ μέγα στόμα, τὰν ἴσα μούσαις
φθεγξαμέναν κεφαλὰν ὦ ξένε μαιονίδεω,
ἀδ' ἔλαχον νασῖτις ἴου σπιλάς. οὐ γὰρ ἐν ἄλλᾳ
ἱρὸν, ἀλλ' ἐν ἐμοὶ πνεῦμα θανὼν ἔλιπεν.
ὦ νεῦμα κρονίδαο τὸ παγκρατὲς, ὦ καὶ ὄλυμπον
καὶ τὰν αἴαντος ναύμαχον εἶπε βίαν,
καὶ τὸν ἀχιλλείοις φαρσαλίσιν ἕκτορα πώλοις
ὀστέα δαρδανικῷ δρυπτόμενον πεδίῳ,
εἰ δ' ὀλίγα κρύπτω τὸν τηλίκον, ἴσθ' ὅτι κεύθει
καὶ θέτιδος γαμέταν ἁ βραχύβωλος ἴκος.

Εἰς τὸν αὐτόν.

Ἐνθάδε τὴν ἱερὰν κεφαλὴν κατὰ γαῖα καλύπτει
ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον.

Παύλου σιλεντιαρίου εἰς
τὸν αὐτόν.

Ἐνθάδε πιερίδων τὸ σοφὸν στόμα θεῖον ὅμηρον,
κλεινὸς ἐπ' ἀγχιάλῳ τύμβος ἔχει σκοπέλῳ.
εἰ δ' ὀλίγη γεγαυῖα τόσον χάδεν ἀνέρα νῆσος,
μὴ τόδε θαμβήσῃς ὦ ξένε δερκόμενος.
καὶ γὰρ ἀλητεύουσα κασιγνήτη ποτὲ δῆλος,
μητρὸς ἀπ' ὠδίνων δέξατο λητοΐδην.

Εἰς τὸν αὐτόν.

Οὐδ' εἴ με χρύσειον ἀπὸ ῥαιστῆρος ὁμήρου
στήσοιτε φλογέαις ἐν Διὸς ἀστεροπαῖς,
οὐκ εἴμ', οὐδ' ἔσομαι σαλαμίνιος, οὐδ' ὁ μέλητος
Δημαγόρου. μὴ ταῦτ' ὄμμασιν ἑλλὰς ἴδοι.
ἄλλον ποιητὴν βασανίζετε. τὰμὰ δὲ, μοῦσαι,
καὶ χίος, ἑλλήνων παισὶν ἀείσετ' ἔπη.

Ἀντιπάτρου εἰς τὸν αὐτόν.

Ἡρώων κάρυκ' ἀρετᾶς, μακάρων δὲ προφήταν,
ἑλλάνων βιοτᾶ δεύτερον ἀέλιον,
μουσῶν φέγγος ὅμηρον, ἀγήρατον στόμα κόσμου
παντὸς, ἁλιρρόθια ξεῖνε κέκευθε κόνις.

Εἰς τὸν αὐτόν.

Ἐνθάδε θεῖος ὅμηρος, ὃς ἑλλάδα πᾶσαν ἄεισε,
θήβης ἐκγεγαὼς τῆς ἑκατονταπύλου.

Ἀντιπάτρου εἰς ὀρφέα.

Οὐκ ἔτι θελγομένας ὀρφεῦ δρύας, οὐκ ἔτι πέτρας
ἄξεις, οὐ θηρῶν αὐτονόμους ἀγέλας.
οὐκ ἔτι κοιμάσεις ἀνέμων βρόμον, οὐχὶ χάλαζαν,
οὐ νιφετῶν συρμοὺς, οὐ παταγεῦσαν ἅλα.
ὤλεο γάρ. σὲ δὲ πολλὰ κατωδύραντο θύγατρες
μναμοσύνας. μάτηρ δ' ἔξοχα καλλιόπα.
τί φθιμένοις στοναχεῦμεν ἐφ' υἱάσιν, ἁνίκ' ἀλαλκεῖν
τῶν παίδων ἀΐδαν οὐδὲ θεοῖς δύναμις;

Εἰς τὸν αὐτόν.

Ὀρφέα θρηικίῃσι παρὰ προμολῇσιν ὀλύμπου
τύμβος ἔχει, μούσης υἱέα καλλιόπης.
ᾧ δρύες οὐκ ἀπίθησαν. ὅτῳ σὺν ἅμ' ἕσπετο πέτρη
ἄψυχος, θηρῶν θ' ὑλονόμων ἀγέλη.
ὅς ποτε καὶ τελετὰς μυστηρίδας εὕρετο βάκχου,
καὶ στίχον ἡρώῳ ζευκτὸν ἔτευξε ποδί.
ὃς καὶ ἀμειλίκτοιο βαρὺ κλυμένοιο νόημα,
καὶ τὸν ἀκήλητον θυμὸν ἔθελξε λύρῃ.

Εἰς τὸν αὐτόν.

Καλλιόπης ὀρφῆα, καὶ οἰάγροιο θανόντα,
ἔκλαυσαν ξανθαὶ μυρία βιστονίδες.



ALEXANDER ... DEI GRATIA REX ARAGONUM ... FERDINANDI

κικτὲς δ' ἠμάξαντο βραχίονας ἀμφὶ μελαίνῃ
δευόμεναι σποδιῇ θρηΐκιον πλόκαμον.
καὶ δ' αὐταὶ στοναχεῦντι σὺν εὐφόρμιγγι λυκείῳ
ἔρρηξαν μοῦσαι δάκρυα πιερίδες,
μυρόμεναι τὸν ἀοιδόν. ἐπωδύραντο δὲ πέτραι,
καὶ δρύες, ἃς ἐρατῇ τοπρὶν ἔθελγε λύρῃ.

Εἰς ἡσίοδον.

Ελλάδος εὐρυχόρου στέφανον, καὶ κόσμον ἀοιδῆς
ἀσκραῖον γενεὴν ἡσίοδον κατέχω.

Αναθηματικὸν εἰς αὐτόν.

Ησίοδος μούσαις ἑλικωνίσι τῇ δ' ἀνέθηκα
ὕμνῳ νικήσας ἐν χαλκίδι θεῖον ὅμηρον.

Εἰς τὸν αὐτόν.

Ασκρη μὲν πατρὶς πολυλήϊος. ἀλλὰ θανόντος,
ὀστέα πληξίππων γῆ μινυῶν κατέχει
ἡσιόδου. τοῦ, πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστὶν,
ἀνδρῶν κρινομένων ἐν βασάνῳ σοφίης.

Αλκαίου εἰς αὐτόν.

Λοκρίδος ἐν νεμέϊ σκιερῷ νέκυν ἡσιόδοιο
νύμφαι κρηνιάδων λοῦσαν ἀπὸ σφετέρων,
καὶ τάφον ὑψώσαντο. γάλακτι δὲ ποιμένες αἰγῶν
ἔρραναν, ξανθῷ μιξάμενοι μέλιτι.
τοίην γὰρ καὶ γῆρυν ἀπέπνεεν ἐννέα μουσῶν
ὁ πρέσβυς, καθαρῶν γευσάμενος λιβάδων.

Εἰς ἀρχίλοχον ἰουλιανοῦ ἀπὸ
ὑπάρχων αἰγυπτίου.

Κέρβερε, δειμαλέην ὑλακὴν νεκύεσσιν ἰάλλων,
ἤδη φρικαλέον δείδιθι καὶ σὺ νέκυν.
ἀρχίλοχος τέθνηκε. φυλάσσεο θυμὸν ἰάμβων
δριμὺν, πικροχόλου τικτόμενον στόματος.

ἴσθα βοῆς κείνοιο μέγα σθένος. εὖτε λυκάμβεω
νηῦς μία σοι, δισσὰς ἤγαγε θυγατέρας.

Εἰς τὸν αὐτόν.

Νῦν πλέον ἢ τὸ πάροιθε πύλας κρατεροῖο βερέθρου
ὄμμασιν ἀγρύπνοις, τρισσὲ φύλασσε κύον.
εἰ γὰρ φέγγος ἔλιπον ἀλυσκάζουσαι ἰάμβων
ἄγριον ἀρχιλόχου φθέγμα λυκαμβιάδες,
πῶς οὐκ ἂν προλίπει σκοτίων πυλεῶνας ἐναύλων
νεκρὸς ἅπας, φεύγων τάρβος ἐπεσβολίης;

Εἰς τὸν αὐτόν.

Σῆμα τόδ' ἀρχιλόχου παραπόντιον. ὅς ποτε πικρὴν
μοῦσαν ἐχιδναίῳ πρῶτος ἔβαψε χόλῳ,
αἱμάξας ἑλικῶνα τὸν ἥμερον. οἶδε λυκάμβης
μυρόμενος τρισσῶν ἅμματα θυγατέρων.
ἠρέμα δὴ παράμειψον ὁδοιπόρε, μή ποτε τοῦδε
κινήσεις τύμβῳ σφῆκας ἐφεζομένους.

Εἰς ἱππώνακτα Λεωνίδου.

Ἀτρέμα τὸν τύμβον παραμείβετε, μὴ τὸν ἐν ὕπνῳ
πικρὸν ἐγείρητε σφῆκ' ἀναπαυόμενον.
ἄρτι γὰρ ἱππώνακτος ὁ καὶ τοκέων ἔο βαΰξας,
ἄρτι κεκοίμηται θυμὸς ἐν ἡσυχίῃ.
ἀλλὰ προμηθήσασθε. τὰ γὰρ πεπυρωμένα κείνου
ῥήματα, πημαίνειν οἶδε καὶ εἰν ἀΐδῃ.

Ἀλκαίου εἰς αὐτόν.

Οὐδὲ θανὼν ὁ πρέσβυς, ἐῷ ἐνὶ τέτροφε τύμβῳ
βότρυν ἀπ' οἰνάνθης ἥμερον, ἀλλὰ βάτον,
καὶ πυγόεσσαν ἄχερδον, ἀποσύφουσαν ὁδιτῶν
χείλεα, καὶ δίψει καρφαλέον φάρυγγα.
ἀλλά τις ἱππώνακτος ἐπὴν παρὰ σῆμα νέηται,
εὐχέσθω κνώσσειν εὐμενέοντα νέκυν.



ALEXANDER PP VI ARAGONIVM ... FERDINANDVS SANTIVS

Ἀντιπάτρου εἰς Πίνδαρον.

Πιερικὴν σάλπιγγα, τὸν εὐαγέων βαρύυμνον
χαλκευτὴν κατέχει Πίνδαρον ἅδε κόνις.
οὗ μέλος εἰσαΐων, φθέγξαιό κεν ὡς ἀπὸ μουσῶν
ἐν Κάδμου θαλάμοις σμῆνος ἀπεπλάσατο.

Λεωνίδου εἰς τὸν αὐτόν.

ἄφθογγος ἦν ξείνοισιν ἀνὴρ ὅδε καὶ φίλος ἀστοῖς
Πίνδαρος, εὐφώνων Πιερίδων πρόπολος.

Ἀντιπάτρου εἰς Αἰσχύλον.

Ὁ τραγικὸν φώνημα, καὶ ὀφρυόεσσαν ἀοιδὴν,
πυργώσας στιβαρῇ πρῶτος ἐν εὐεπίῃ
αἰσχύλος Εὐφορίωνος, ἐλευσινίης ἑκὰς αἴης
κεῖται, κυδαίνων σήματι τρινακρίην.

Ἴωνος εἰς Εὐριπίδην.

Χαῖρε μελαμπέπλοις Εὐριπίδη ἐν γυάλοισιν
πιερίας, τὸν ἀεὶ νυκτὸς ἔχων θάλαμον.
ἴσθι δ᾽ ὑπὸ χθονὸς ὢν, ὅτι σοι κλέος ἄφθιτον ἔσται,
ἶσον ὁμηρείαις ἀενάοις χάρισιν.

Εἰς τὸν αὐτόν.

Εἰ καὶ δακρυόεις Εὐριπίδη εἷλέ σε πότμος,
καί σε λυκορραῖσται δεῖπνον ἔθεντο κύνες,
τὸν σκηνῇ μελίγηρυν ἀηδόνα, κόσμον ἀθηνῶν,
τὸν σοφίῃ τραγικὴν μιξάμενον χάριτα,
ἀλλ᾽ ἔμολες πελλαῖον ὑπ᾽ ἠρίον, ὡς ἂν ὁ λάτρις
πιερίδων ναίῃς ἀγχόθι πιερίδων.

Εἰς τὸν αὐτόν.

Μνᾶμα μὲν ἑλλὰς ἅπασ᾽ Εὐριπίδου. ὀστέα δ᾽ ἴσχει
γῆ μακεδών. ἧ γὰρ δέξατο τέρμα βίου.
πατρὶς δ᾽ ἑλλάδος ἑλλὰς, ἀθῆναι. πλεῖστα δὲ μούσαις
τέρψας, ἐκ πολλῶν καὶ τὸν ἔπαινον ἔχει.

Εἰς τὸν αὐτόν.

Οὐ σὸν μνῆμα τόδ' ἐστ' Εὐριπίδη, ἀλλὰ σὺ τοῦδε·
τῇ σῇ γὰρ δόξῃ μνῆμα τόδ' ἀμπέχεται.

Εἰς τὸν αὐτόν.

Ἅπασ' Ἀχαιὶς μνῆμα σὸν γ' Εὐριπίδη·
οὔκουν ἄφωνος, ἀλλὰ καὶ λαλητέος.

Σιμωνίδου εἰς Σοφοκλῆν.

Ἐσβέσθης γηραιὲ Σοφόκλεες, ἄνθος ἀοιδῶν,
οἰνωπὸν Βάκχου βότρυν ἐρεπτόμενος.

Εἰς τὸν αὐτόν.

Ἠρέμ' ὑπὲρ τύμβοιο Σοφοκλέος, ἠρέμα κισσὲ
ἑρπύζοις, χλοεροὺς ἐκπροχέων πλοκάμους.
καὶ πέταλον πάντῃ θάλλοι ῥόδου. ἥτε φιλορρὼξ
ἄμπελος, ὑγρὰ πέριξ κλήματα χευαμένη,
εἵνεκεν εὐμαθίης πινυτόφρονος. ἣν ὁ μελιχρὸς
ἤσκησεν μουσῶν ἄμμιγα, καὶ χαρίτων.

Ἐρυκίου εἰς τὸν αὐτόν.

Αἰεί τοι λιπαρῷ ἐπὶ σήματι δῖε Σοφόκλεις,
σκηνίτης μαλακὸς κισσὸς ἄλοιτο πόδας.
αἰεί τοι βούπαισι περιστάζοιτο μελίσσαις
τύμβος, ὑμηττείῳ λειβόμενος μέλιτι.
ὥς ἂν τοι ῥείῃ μὲν ἀεὶ γάνος ἀτθίδι δέλτῳ
κηρὸς, ὑπὸ στεφάνοις δ' αἰὲν ἔχοις πλοκάμους.

Διοσκορίδου εἰς τὸν αὐτόν.

Τύμβος ὅδ' ἔστ' ὤνθρωπε Σοφοκλέος. ὃς παρὰ μουσῶν
ἱρὴν παρθενίην ἱρὸς ὢν, ἔλαχεν.
ὅς με τὸν ἐκ Φλιοῦντος ἔτι τρίβολον πατέοντα
πρίνινον, ἐς χρύσεον σχῆμα μεθηρμόσατο,
καὶ λεπτὴν ἐνέδυσεν ἁλουργίδα. τοῦ δὲ θανόντος,
εὔθετον ὀρχηστὴν τῇδ' ἀνέπαυσα πόδα.

ὄλβιος, ὡς ἀγαθὴν ἔλαχε στάσιν. ἢ δ᾽ ἐνὶ χορσὶ
κόσμιος ἐκ ποίης ἠδὲ διδασκαλίης;
εἴτε σὸν ἀντιγόνην εἰπεῖν φίλον, οὐκ ἂν ἁμαρτοις,
εἴτε καὶ ἠλέκτραν. ἀμφότεραι γὰρ ἄκρον.

Ἀντιπάτρου θεσσαλονικέως,
εἰς ἀλκμᾶνα.

Ἀνέρα μὴ πέτρῃ τεκμαίρεο. λιτὸς ὁ τύμβος
ὀφθῆναι, μεγάλου δ᾽ ὀστέα φωτὸς ἔχει.
εἰδήσεις ἀλκμᾶνα, λύρης ἐλατῆρα λακαίνης
ἔξοχον, ὃν μουσῶν ἐννέ᾽ ἀριθμὸς ἔχει.
κεῖται δ᾽ ἠπείροις διδύμαις ἔρις, εἴθ᾽ ὅγε λυδὸς,
εἴτε λάκων. πολλαὶ πατρίδες ὑμνοπόλων.

Εἰς τὸν αὐτὸν Λεω-
νίδου.

Τὸν χαρίεντ᾽ ἀλκμᾶνα, τὸν ὑμνητῆρ᾽ ὑμεναίων
κύκνον, τὸν μουσῶν ἄξια μελψάμενον,
τύμβος ἔχει σπάρτας μεγάλην χάριν. εἴθ᾽ ὅγε λυδὸς,
ἄχθος ἀποῤῥίψας, οἴχεται εἰς ἀΐδην.

Ἀντιπάτρου σιδωνίου,
εἰς ἀνακρέοντα.

Θάλλοι τετρακόρυμβος ἀνάκρεον ἀμφὶ σὲ κισσὸς,
ἁβρά τε λειμώνων πορφυρέων πέταλα.
πηγαὶ δ᾽ ἀργινόεντος ἀναθλίβοιντο γάλακτος.
εὐῶδες δ᾽ ἀπὸ γῆς ἡδὺ χέοιτο μέθυ.
ὄφρα κέ τοι σποδιή τε, καὶ ὀστέα τέρψιν ἄρηται,
εἰ δή τις φθιμένοις χρίμπτεται εὐφροσύνη.

Εἰς τὸν αὐτόν.

Ὦ τὸ φίλον στέρξας φίλε βάρβιτον, ὦ σὺν ἀοιδᾷ,
πάντα διαπλώσας, καὶ σὺν ἔρωτι, βίον.

ALEXANDER PP VI ... FERDINANDUS ...

Εἰς τὸν αὐτὸν Σιμωνίδου.

Ἥμερε πανθέλκτειρα μεθυτρόφε μῆτερ ὀπώρης
οὔλης ἣ σκολιὸν πλέγμα φύσεις ἕλικος,
Τηΐου ἡβήσειας Ἀνακρείοντος ἐπ' ἄκρῃ
στήλῃ, καὶ λεπτῷ χώματι τοῦδε τάφου.
ὡς ὁ φιλάκρητός τε, καὶ οἰνοβαρὴς φιλόκωμος,
παννύχιος κρούων τὴν φιλόπαιδα χέλυν.
κἢν χθονὶ πεπτηὼς, κεφαλῆς ἐφύπερθε φέροιτο,
ἀγλαὸν ὡραῖον βότρυν ἀπ' ἀκρεμόνων.
καί μιν ἀεὶ τέγγοι νοτερὴ δρόσος. ἧς ὁ γεραιὸς
λαρότερον μαλακῶν ἔπνεεν ἐκ στομάτων.

Τοῦ αὐτοῦ εἰς αὐτόν.

Οὗτος Ἀνακρείοντα τὸν ἄφθιτον εἵνεκα μουσῶν
ὑμνοπόλον πάτρης τύμβος ἔδεκτο Τέω.
ὃς Χαρίτων πνείοντα μέλη, πνείοντα δ' Ἐρώτων,
τὸν γλυκὺν ἐς παίδων ἵμερον ἡρμόσατο.
μοῦνος δ' εἰν Ἀχέροντι βαρύνεται, οὐχ ὅτι λείπων
ἠέλιον, Λήθης ἐνθάδ' ἔκυρσε δόμων,
ἀλλ' ὅτι τὸν χαρίεντα μετ' ἠιθέοισι Μεγιστέα,
καὶ τὸν Σμερδίεω Θρῆκα λέλοιπε πόθον.
μολπῆς δ' οὐ λήθει μελιτερπέος. ἀλλ' ἔτ' ἐκεῖνο
βάρβιτον, οὐδὲ θανὼν εὔνασεν εἰν Ἀΐδῃ.

Ἀντιπάτρου εἰς
αὐτόν.

Ξεῖνε, τάφον παρὰ λιτὸν Ἀνακρείοντος ἀμείβων,
εἴ τί τοι ἐκ βίβλων ἦλθεν ἐμῶν ὄφελος,
σπεῖσον ἐμῇ σποδιῇ, σπεῖσον γάνος, ὄφρα κεν οἴνῳ
ὀστέα γηθήσῃ τἀμὰ νοτιζόμενα.
ὡς ὁ Διωνύσου μεμελημένος οὕασι κῶμος,
ὡς ὁ φιλακρήτου σύντροφος ἁρμονίης,

ALEXANDER PP VI VALENTINUS FERDINANDUS ARAGONUM

μή σε καταφθίμενος, βάκχου δίχα τοῦτον ὑποίσω
τὸν γενεῇ μερόπων χῶρον ὀφειλόμενον.

Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.

Εἴης ἐν μακάρεσσιν ἀνάκρεον εὖχος ἰώνων,
μήτ' ἐρατῶν κώμων ἄνδιχα, μήτε λύρης.
ὑγρὰ δὲ δερκομένοισιν ἐν ὄμμασιν οὖλον ἀείδοις
αἰθύσσων λιπαρῆς ἄνθος ὑπέρθε κόμης,
ἠὲ πρὸς εὐρυπύλην τετραμμένος, ἠὲ Μεγίστην,
ἢ κίκονα θρηικὸς σμερδίεω πλόκαμον,
ἡδὺ μέθυ βλύζων, ἀμφίβροχος εἵματα βάκχῳ
ἄκρητον θλίβων νέκταρ ἀπὸ κυλίκων.
τρισσοῖς γάρ, μούσαισι, Διωνύσῳ, καὶ ἔρωτι,
πρέσβυ κατεσπείσθη πᾶς ὁ τεὸς βίοτος.

Εἰς τὸν αὐτόν.

Ὦ ξένε, τόνδε τάφον τὸν ἀνακρείοντος ἀμείβων,
σπεῖσόν μοι παριών. εἰμὶ γὰρ οἰνοπότης.

Ἀντιπάτρου σιδωνίου εἰς
τὸν αὐτόν.

Εὕδεις ἐν φθιμένοισιν ἀνάκρεον ἐσθλὰ πονήσας.
εὕδει δ' ἡ γλυκερὴ νυκτιλάλος κιθάρα,
εὕδει καὶ σμέρδις, τὸ πόθων ἔαρ. ᾧ σὺ μελίσδων,
βάρβιτ' ἀνεκρούου, νέκταρ ἐναρμόνιον.
ἠιθέων γὰρ ἔρωτος ἔφυς σκοπός. εἰς σὲ δὲ μοῦνον
τόξατε, καὶ σκολιὰς εἶχεν ἑκηβολίας.

Τοῦ αὐτοῦ, εἰς αὐτόν.

Τύμβος ἀνακρείοντος, ὁ τήιος ἐνθάδε κύκνος
εὕδει, χἡ παίδων ζωροτάτη μανίη.
ἀκμὴν οἱ λυρόεν μελίζεται ἀμφὶ βαθύλλῳ
ἵμερα, καὶ κισσοῦ λευκὸς ὄδωδε λίθος.

ἀλλ' ἀΐδης σοι ἔρωτας ἀπέσβεσεν. σὺ δ' ἀχέροντος
ὢν ὅλος, ὤδίνεις κύπριδι θερμοτέρη.

Ἰουλιανοῦ ἀπὸ ὑπάρχων αἰγυπτίου,
εἰς τὸν αὐτόν.

Πολλάκι μὲν τόδ' ἄεισα, καὶ ἐκ τύμβου δὲ βοήσω,
πίνετε, πρὶν ταύτην ἀμφιβάλησθε κόνιν.

Εἰς τὸν αὐτόν.

Πολλὰ πιὼν τέθνηκας ἀνάκρεον, ἀλλὰ τρυφήσας.
καὶ σὺ δὲ, μὴ πίνων, ἵξεαι εἰς ἀΐδην.

Εἰς Καλλίμαχον.
Ἄδηλα.

Ὦ μάκαρ ἀμβροσίῃσι συνέστιε, φίλτατε μούσαις,
χαῖρε καὶ εἰν ἀΐδεω δώμασι Καλλίμαχε.

Εἰς τὸν αὐτόν.

Ὦ μέγα Βαττιάδαο σοφοῦ περίπυστον ὄνειαρ,
ἦ ῥ' ἐτεὸν, κεράων οὐδ' ἐλέφαντος ἔφυς.
τοῖα γὰρ ἄμμιν ἔφηνας, ἅ τ' οὐ πάρος ἀνέρες ἴσμεν,
ἀμφί τε ἀθανάτους, ἀμφί τε ἡμιθέους.
εὖτέ μιν ἐκ λιβύης ἀναείρας εἰς ἑλικῶνα,
ἤγαγες ἐν μούσαις πιερίδεσσι φέρων.
αἳ δέ, οἱ εἰρομένῳ ἀμφ' ὠγυγίων ἡρώων
αἴτια, καὶ μακάρων, εἶρον ἀμειβόμεναι.

Καλλιμάχου εἰς τὸν ἑαυτοῦ,
πατέρα.

Ὅστις ἐμὸν παρὰ σῆμα φέρεις πόδα, Καλλιμάχου με
ἴσθι κυρηναίου παῖδά τε, καὶ γενέτην.
εἰδείης δ' ἄμφω κεν. ὁ μὲν, ποτὲ πατρίδος ὅπλων
ἦρξεν, ὁ δ' ἤεισεν κρείσσονα βασκανίης.
οὐ νέμεσις. μοῦσαι γὰρ ὅσους ἴδον ὄμματι παῖδας,
ἄχρι βίου πολιοὺς οὐκ ἀπέθεντο φίλους.

ALEXANDRI ET ... ARAGONUM ... FERDINANDI

Ἀντιπάτρου εἰς Ἴβυκον.

Ἴβυκε, ληϊσταί σε κατέκτανον ἔκ ποτε νήσου
Βάντ' ἐς ἐρημαίην ἄστιβον ἠϊόνα,
πόλλ' ἐπιβωσάμενον γεράνων νέφος. αἵ τοι ἵκοντο
μάρτυρες, ἄλγιστον ὀλλυμένῳ θάνατον.
οὐδὲ μάτην ἰαχήσας, ἐπεὶ ποινῆτις ἐριννὺς
τῶνδε διὰ κλαγγὴν τίσατο σεῖο φόνον,
σισυφίην κατὰ γαῖαν. ἰὼ φιλοκερδέα φῦλα
ληϊστέων, τί θεῶν οὐ πεφόβησθε χόλον;
οὐδὲ γὰρ ὁ προπάροιθε κανὼν αἴγισθος ἀοιδὸν,
ὄμμα μελαμπέπλων ἔκφυγεν εὐμενίδων.

Πινυτοῦ εἰς Σαπφώ.

Ὀστέα μὲν καὶ κωφὸν ἔχει τάφος οὔνομα Σαπφοῦς.
αἱ δὲ σοφαὶ κείνης ῥήσιες, ἀθάνατοι.

Τυλλίου Λαυρέα, εἰς τὴν αὐτήν.

Αἰολικὸν παρὰ τύμβον ἰὼν ξένε, μή με θανοῦσαν
τὰν μιτυληναίαν ἔννεπ' ἀοιδοπόλον.
τόνδε γὰρ ἀνθρώπων ἔκαμον χέρες. ἔργα δὲ φωτῶν,
ἐς ταχινὴν ἔρρει τοιάδε ληθεδόνα.
ἢν δέ με μουσάων αἰτήσῃς χάριν, ὧν ἀφ' ἑκάστης
δαίμονος, ἄνθος ἐμῇ θῆκα παρ' ἐννεάδι,
γνώσεαι ὡς ἀΐδα σκότος ἔκφυγον. οὐδέ τις ἔσται
τῆς λυρικῆς Σαπφοῦς νώνυμος ἠέλιος.

Εἰς ἤρινναν Ἀσκληπιάδου.

Ὁ γλυκὺς ἠρίννης οὗτος πόνος, οὐχὶ πολὺς μὲν
ὡς ἂν παρθενικᾶς ἐννεακαιδεκέτευς,
ἀλλ' ἑτέρων πολλῶν δυνατώτερος. εἰ δ' ἀΐδας μοι
μὴ ταχὺς ἦλθε, τίς ἂν ταλίκον ἔσχ' ὄνομα;

Ἀδέσποτον

Ἀδέσποτον εἰς αὐτήν.

Ἄρτι λοχευομένην σε μελισσοτόκων ἔαρ ὕμνων,
ἄρτι δὲ κυκνείῳ φθεγγομένην στόματι,
ἤλασεν εἰς ἀχέροντα διὰ πλατὺ κῦμα καμόντων
μοῖρα, λινοκλώστου δεσπότις ἠλακάτης.
σὸς δ' ἐπέων ἤριννα καλὸς πόνος, οὔ σε γεγωνεῖ
φθίσθαι, ἔχειν δὲ χοροὺς ἄμμιγα πιερίσιν.

Λεωνίδου εἰς αὐτήν.

Παρθενικὴν νεάοιδον ἐν ὑμνοπόλοισι μέλισσαν
ἤρινναν, μουσῶν ἄνθεα δρεπτομένην,
ἅδης εἰς ὑμέναιον ἀνήρπασεν. ἦ ῥα τόδ' ἔμφρων
εἶπ' ἐτύμως ἁ παῖς, βάσκανος ἔσσ' ἀΐδη.

Ἀντιπάτρου εἰς
αὐτήν.

Παυροεπὴς ἤριννα, καὶ οὐ πολύμυθος ἀοιδαῖς,
ἀλλ' ἔλαχον μούσας τοῦτο τὸ βαιὸν ἔπος.
τοιγάρτοι μνήμης οὐκ ἤμβροτεν, οὐδὲ μελαίνης
νυκτὸς ὑπὸ σκιερῇ κωλύεται πτέρυγι.
αἱ δ' ἀναρίθμητοι νεαρῶν σωρηδὸν ἀοιδῶν
μυριάδες, λήθῃ ξεῖνε μαραινόμεθα.
λωΐτερος κύκνου μικρὸς θρόος, ἠὲ κολοιῶν
κρωγμὸς. ἐν εἰαριναῖς κιδνάμενος νεφέλαις.

## ΕΙΣ ΑΝΩΝΥΜΟΥΣ ποιητάς. 26

Μελεάγρου.

Ἀτρέμας ὦ ξεῖν' ἔβαινε. παρ' εὐσεβέσιν γὰρ ὁ πρέσβυς
εὕδει, κοιμηθεὶς ὕπνον ὀφειλόμενον,
Εὐκράτεω Μελέαγρος, ὁ τὸν γλυκύδακρυν ἔρωτα,
καὶ μούσας, ἱλαραῖς συστολίσας χάρισιν.

ὃν θεόπαις ἤνδρωσε Τύρος, Γαδάρων δ' ἱερὴ χθών·
Κῶς δ' ἐρατὴ μερόπων, πρέσβυν ἐγηροτρόφει.
ἀλλ' εἰ μὲν σύρος ἐσσί, σαλάμ. εἰ δ' οὖν σύ γε φοίνιξ,
ναίδιος. εἰ δ' ἕλλην, χαῖρε. τὸ δ' αὐτὸ φράσον.

Εἰς τὸν αὐτόν.

Πτανέ, τί σοι σιβύνη; τί δὲ καὶ συὸς εὔαδε δέρμα;
καὶ τίς ἐών, στάλας σύμβολον ἐσσὶ τίνος;
οὐ γὰρ ἔρωτ' ἐνέπω σε. τί γὰρ νεκύεσσι πτέροικος,
ἵμερος αἰάζειν ὁ θρασὺς οὐκ ἔμαθεν;
οὐδὲ μὲν οὐδ' αὐτὸν ταχύπουν κρόνον. ἔμπαλι γὰρ δὴ
κεῖνος μὲν τριγέρων, σοὶ δὲ τέθηλε μέλη.
ἀλλ' ἄρα, ναὶ δοκέω γάρ, ὁ γῆς ὕπερθε, σοφιστὰς
ἐσσί. σὺ δ' ὁ πτερόεις τοὔνομα τοῖσδε λόγος.
ἀελίῳ δ' ἀμφῆκες ἔχεις γέρας ἔς τε γέλωτα,
καὶ σπουδάν, καὶ τὸ μέτρον ἐρωτογράφον.
ναὶ μὲν δὴ Μελέαγρον ὁμώνυμον Οἰνέος υἱῷ
σύμβολα σημαίνει ταῦτα συοκτασίης.
χαῖρε καὶ ἐν φθιμένοισιν, ἐπεὶ καὶ μοῦσαν ἔρωτι,
καὶ χάριτας, σοφίαν εἰς μίαν ἡρμόσαο.

Παύλου σιλεντιαρίου.

Δαμόχαρις μοίρης πυμάτην ὑπεδύσατο σιγήν.
φεῦ, τὸ καλὸν μούσης βάρβιτον ἠρεμέει.
ὤλετο γραμματικῆς ἱερὴ βάσις. ἀμφιρύτη κῶς,
καὶ πάλι πένθος ἔχεις, οἷον ἐφ' ἱπποκράτει.

Ἀγαθίου.

Μηδὲν ἀπαγγείλῃς ἐς ἀντιόχειαν ὁδῖτα,
μὴ πάλιν οἰμώξῃ χεύματα κασταλίης.
οὕνεκεν ἐξαπίνης εὐστόργιος ἔλλιπε μοῦσαν,
ἐτμῶν τ' αὐσονίων ἐλπίδα μαψιδίην,

ἑβδόματον, δέκατόν τε λαχὼν ἔτος. ὧν δὲ κομίζειν
ἠμείφθη κενεὴν εὔσταχυς ἡλικίην.
καὶ τὸν μὲν κατέχει χθόνιος τάφος. ἀντὶ δ' ἐκείνου,
οὔνομα, καὶ γραφίδων χρώματα δερκόμεθα.

Ἀδήλου.

Κάτθανε μὲν Θεόδωρος. ἀοιδοπόλων δὲ παλαιῶν
πληθὺς οἰχομένη, νῦν θάνεν ἀτρεκέως.
πᾶσα γὰρ ἐμπνείοντι συνέπνεε. πᾶσα δ' ἀπέσβη
σβεννυμένου. κρύφθη δ' ἐν ἑνὶ πάντα τάφῳ.

Λεωνίδου.

Πολλὸν ἀπ' Ἰταλίης κεῖμαι χθονὸς, ἔκ τε Τάραντος
πάτρης. τοῦτο δέ μοι πικρότερον θανάτου.
τοιοῦτος πλανίων ἄβιος βίος. ἀλλά με Μοῦσαι
ἔστερξαν. λυγρῶν δ' ἀντὶ μελιχρὸν ἔχω.
οὔνομα δ' οὐκ ἤμυσε Λεωνίδου. αὐτά με δῶρα
κηρύσσει Μουσέων πάντας ἐπ' ἠελίους.

Εἰς Μουσαῖον.

Εὐμόλπου φίλον υἱὸν ἔχει τὸ Φαληρικὸν οὖδας
Μουσαῖον, φθίμενον σῶμ' ὑπὸ τῷδε τάφῳ.

Εἰς Λίνον.

Ὧδε Λίνον Θηβαῖον ἐδέξατο γαῖα θανόντα,
Μούσης οὐρανίης υἱὸν ἐϋστεφάνου.

Εἰς ὀρφέα.

Θρήϊκα χρυσολύρην τῇδ' ὀρφέα Μοῦσαι ἔθαψαν,
ὃν κτάνεν ὑψιμέδων Ζεὺς ψολόεντι βέλει.

Εἰς ἀρχίλο-
χον.

Ἀρχιλόχου τόδε σῆμα. τὸν, ὃν λυσσῶντας ἰάμβους
ἤγαγε Μαιονίδῃ Μοῦσα χαριζομένη.

Εἰς ἱππώνακτα.

Ὦ ξεῖνε, φεῦγε τὸν χαλαζεπῆ τάφον,
τὸν φρικτὸν ἱππώνακτος. ὅτε χἀτέφρα
ἰαμβιάζει βουπάλειον οὐ στύγος,
μήπως ἐγείρῃς σφῆκα τὸν κοιμώμενον.
ὃς οὐδ' ἐν ᾅδῃ νῦν κεκοίμηκεν χόλον,
σκάζουσι μέτροις ὀρθὰ τοξεύσας ἔπη.

Θεοκρίτου εἰς τὸν
αὐτόν.

Ὁ μουσοποιὸς ἐνθάδ' ἱππῶναξ κεῖται.
εἰ μὲν πονηρός, μήποτ' ἔρχου τῷ τάφῳ.
εἰ δ' ἐσσὶ κρήγυός τε, καὶ παρὰ χρηστῶν
θαρσέων, καθίζευ. κἢν θέλῃς, ἀπόβριξον.

Ἀντιπάτρου, εἰς Στησίχορον.

Στησίχορον ζαπληθὲς ἀμέτρητον στόμα μούσης.
ἐκτέρισεν κατάνας αἰθαλόεν δάπεδον.
οὗ κατὰ Πυθαγόρεω φυσικὰν φάτιν, ἁ πρὶν ὁμήρου
ψυχά, ἐνὶ στέρνοις δεύτερον ᾠκίσατο.

Εἰς ἴβυκον.

Ῥήγιον ἰταλίης τεναγώδεος ἄκρον ἀείδω,
αἰεὶ θρινακίου γευομένης ὕδατος,
οὕνεκα τὸν φιλέοντα λύρην, φιλέοντα δὲ παῖδας
ἴβυκον, εὐφύλλῳ θῆκεν ὑπὸ πτελέῃ,
τῇ δέ τε πολλὰ παθόντα, πολὺν δ' ὑπὸ σήματι κισσὸν
χεύατο, καὶ λευκοῦ φυταλιὴν καλάμου.

Εἰς Σοφοκλῆν.

Τὸν σὲ χοροῖς μέλψαντα Σοφοκλέα παῖδα Σοφίλου
τὸν τραγικῆς μούσης ἀστέρα κεκρόπιον,

ἐ

πολλάκις ἐν θυμέλῃσι καὶ ἐν σκηνῇσι τεθηλὼς
βλαισὸς ἀχαρνεΐτης κισσὸς ἔρεψε κόμην,
τύμβος ἔχει, καὶ γῆς ὀλίγον μέρος. ἀλλ' ὁ περισσὸς
αἰὼν, ἀθανάτοις δέρκεται ἐν σελίσιν.

Εἰς τὸν αὐτόν.

Ἐνθάδ' ἐγὼ Σοφοκλῆς στυγερὸν δόμον ἄϊδος ἦλθον,
κάμμορος. εἰ δέ τι Σαρδῴῳ σελίνοιο γελάσημι,
ὡς μὲν ἐγών. ἕτεροι δ' ἄλλως. πάντες δέ τε πάντως.

Εἰς Εὐριπίδην.

Τὴν Εὐριπίδεω, μήτ' ἔρχεο, μήτ' ἐπιβάλλου,
δύσβατον ἀνθρώποις οἶδμον ἀοιδοθέτα.
λείη μὲν γὰρ ἰδεῖν, καὶ ἐπίρροθος. εἰ δέ τις αὐτὴν
εἰσβαίνοι, χαλεποῦ τρηχυτέρη σκόλοπος.

Εἰς τὸν αὐτόν.

Ἀμακέτις σε κέκευθε τάφου κόνις. ἀλλὰ πυρωθεὶς
Ζανὶ κεραυνέῳ, πᾶσαμ ἀπημφίασας.
τρὶς γὰρ ἀπαστράψας Εὐριπίδῃ ἐκ Διὸς αἰθὴρ,
ἥγνισε ταὶ θνηταὶ σήματος ἱστορίην.

Εἰς Αἰσχύλον.

Αἰσχύλον ἥδε λέγει ταφίη λίθος ἐνθάδε κεῖσθαι
τὸν μέγαν, οἰκείης τῆλ' ἀπὸ κεκροπίης,
λευκὰ γέλας σικελοῖο παρ' ὕδατα. τίς φθόνος ἐσθλῶν
θησείδας ἀγαθῶν ἔγκοτος αἰὲν ἔχει;

Εἰς Σαπφώ.

Οὔνομα μὲν Σαπφώ. τόσον δ' ὑπερέσχον ἀοιδᾶν
θηλειᾶν, ἀνδρῶν ὅσον ὁ μαιονίδας.

Ἀλκαίου.

Πᾶσά σοι οἰχομένῳ Πυλάδη κωκύεται Ἑλλὰς,
ἄπλεκτον χαίταμ ἐν χροῒ κειραμένα.



ALEXANDER ... ARAGO... DEI GRATIA ... FERDINANDUS

αὐ[illegible] δ' ἀτιμήτοις κόμας ἀπεθήκατο δάφνας
Φοῖβος, ἑὸν τιμῶν ἢ θέμις, ὑμνοπόλον.
μοῦσαι δ' ἐκλαύσαντο. ῥόον δ' ἔστησεν ἀκούων
ἀσωπὸς, γοερῶν ἦχον ἀπὸ στομάτων.
ἔλληξεν δὲ μέλαθρα διωνύσοιο χορείης,
εὖτε σιδηρείην οἶμον ἔβης ἀΐδεω.

Ἰουλιανοῦ.

Μνῆμα σὸν ὦ Θεόδωρε πανατρεκὲς, οὐδ' ἐνὶ τύμβῳ,
ἀλλ' ἐνὶ βιβλιακῶν μυριάσι σελίδων,
αἷσιν ἀνεζώγρησας ἀπολλυμένων ἀπὸ λήθης,
ἁρπάξας νοερῶν μόχθον ἀοιδοπόλων.

Τοῦ αὐτοῦ.

Οὔτι φύσις θήλεια, καὶ οὐ πολιοῖο καρήνου
ἀδρανίη, φωνῆς σῆς κατέλυσε βίην.
ἀλλὰ μόλις ξυνοῖσι νόμοις εἴξασα τελευτῆς,
φεῦ, φεῦ, Καλλιόπη σὴν κατέλυσεν ὄπα.

Διονυσίου.

Πρώϊος. ἀλλὰ ποθεινὸς, ὅσοι πόλιν ἠλυσίοιο
ναίομεν, εἰς λήθης πικρὸν ἔδυς πέλαγος,
δρέψ' ἀμενὸς σοφίην ὀλίγον χρόνον. ἀμφὶ δὲ τύμβῳ
σεῖο, καὶ ἄκλαυτοι γλαῦκες ἔθεντο γόον
Φαινόκριτ'. οὐδὲν ὅμοιον ἐπ' ἐσσομένοισιν ἀοιδός
φθέγξεται. ἀνθρώπους ἄχρι φέρωσι πόδες.

Τοῦ αὐτοῦ.

Οὔτε κυνῶν γένος εἷλ' εὐριπίδη, οὐδὲ γυναικὸς
οἶστρος, τὸν σκοτίης κύπριδος ἀλλότριον,
ἀλλ' ἀΐδης καὶ γῆρας ὑπέκβαλε. τῇ δ' ἀρεθούσῃ
κεῖσαι ἑταιρείῃ τίμιος ἀρχέλεω.
σοὶ δ' οὐ τοῦτον ἐγὼ τίθεμαι τάφον. ἀλλὰ τὰ βάκχου
βήματα, καὶ σκηνὰς ἔμβαλε πειθομένας.

## ΕΙΣ ΠΟΙΜΕΝΑΣ. 27

Διοτίμου, οἱ δὲ Λεωνίδου.

Αὐτόματοι δειλαὶ ποτὶ τ᾽ αὔλιον αἱ βόες ἦλθον,
ἐξ ὄρεος πολλῇ νιφόμεναι χιόνι.
αἲ, αἲ, θηρίμαχος δὲ παρὰ δρυῒ τὸν μακρὸν εὕδει
ὕπνον. ἐκοιμήθη δ᾽ ἐκ πυρὸς οὐρανίου.

Ἐρυκίου εἰς τὸν αὐτόν.

Οὐκ ἔτι συρίγγων νόμιον μέλος ἀγχόθι ταύτας
ἁρμόζῃ βλωθρᾶς θηρίμαχε πλατάνου.
οὐδέ σευ ἐκ καμάτων κεραὰ βόες, ἁδὺ μέλισμα
δέξονται, σκιερᾷ πὰρ δρυῒ κεκλιμένου.
ὤλεσε γάρ πρηστήρ σε κεραύνιος. αἱ δ᾽ ἐπὶ μάνδραν
ὀψὲ βόες νιφετῷ ἀσπερχόμεναι κατέβαν.

Καλλιμάχου.

Ἀστακίδην τὸν κρῆτα τὸν αἰπόλον, ἥρπασε νύμφη
ἐξ ὄρεος. καὶ νῦν ἱερὸς ἀστακίδης,
οἰκεῖ δικταίῃσιν ὑπὸ δρυσίν. οὐκ ἔτι δάφνιν
ποιμένες, ἀστακίδην δ᾽ αἰὲν ἀεισόμεθα.

Λεωνίδου.

Ποιμένες, οἳ ταύτην ὄρεος ῥάχιν οἰοπολεῖτε,
αἶγας κεὐμαλλοὺς ἐμβατέοντες ὄϊς,
κλειταγόρῃ πρὸς γῆς ὀλίγην χάριν, ἀλλὰ προσηνῆ
τίνοιτε, χθονίης εἵνεκα φερσεφόνης.
βληχήσαιντ᾽ ὄϊές μοι. ἐπ᾽ ἀξέστοιο δὲ ποιμὴν
πέτρης συρίζοι πρηέα βοσκομέναις.
εἴαρι δὲ πρώτῳ λειμώνιον ἄνθος ἀμέρσας
χωρίτης, στεφέτω τύμβον ἐμὸν στεφάνῳ.
καί τις ἀπ᾽ εὐάρνοιο καταχραίνοιτο γάλακτος,
οἰὸς ἀμολγαῖον μασὸν ἀνασχόμενος,



ALEXANDER PP VALENTINUS FERDINANDI ... DE ARAGONIA

κρηπῖδ' ὑγχαίνων ἐπιτύμβιον. εἰσὶ θανόντων,
εἰσὶν ἀμοιβαῖαι, καὶ φθιμένοις χάριτες.

Μυρίνου.

Θύρσις ὁ κωμήτης, ὁ τὰ νυμφικὰ μῆλα νομεύων,
Θύρσις ὁ συρίζων παιδὸς ἴσον δύνακι,
ἔνδιος, οἰνοπότης, σκιερὰν ὑπὸ τὴν πίτυν εὕδει.
φρουρεῖ δ' αὐτὸς ἑλὼν ποίμνια βάκτρον ἔρως.
ἆ, νύμφαι νύμφαι. διεγείρατε τὸν λυκοθαρσῆ
βοσκὸν, μὴ θηρῶν κύρμα γένηθ' ὁ ἔρως.

## ΕΙΣ ΠΟΛΕΙΣ. 28

Αδεσπότου.

Απάρος εὔδμητος, καὶ ἀνέμβατος ὦ λακεδαῖμον,
καπνὸν ἐπ' εὐρώτα δέρκεαι ὠλενίον,
ἄσκιος. οἰωνοὶ δὲ κατὰ χθονὸς οἰκία θέντες,
μύρονται. μήλων δ' οὐκ ἀΐουσι λύκοι.

## ΕΙΣ ΠΤΟΧΟΥΣ, Καλλιμάχου. 29

Εἶχον ἀπὸ σμικρῶν, ὀλίγον βίον, οὔτε τι δεινὸν
ῥέζων, οὔτ' ἀδικῶν οὐδένα γαῖα φίλη,
μίκυλος. εἴ τι πονηρὸν ἐπῄνεσα, μήτε σὺ κούφη
γίγνεο, μήτ' ἄλλοι δαίμονες, οἵ μ' ἔχετε.

## ΕΙΣ ΠΟΝΗΡΟΥΣ. 30

Κριναγόρου.

Τὴν δ' ὑπὸ δύσβωλον θλίβει χθόνα φωτὸς ἀλιτροῦ
ὀστέα μισητῆς τύμβος ὕπερ κεφαλῆς,
στέρνα τε πλεῖα δόλοιο. καὶ οὐκ εὔοδμον ὀδόντων
πρίονα, καὶ κώλων δούλιον οἰοπέδην,

ἄτριχα, καὶ κόρσην ξυνελίκου, ἡμιπύρωτα
λείψαν᾽, ἔτι χλωρῆς ἔμπλεα τηκεδόνος.
χθὼν ὦ δυσνύμφευτε, κακοσκήνους ἐπὶ τέφρης
ἀνδρὸς μὴ κούφη κέκλισο, μηδ᾽ ὀλίγη.

## ΕΙΣ ΡΗΤΟΡΑΣ. 31

Λεοντίου σχολαστικοῦ.

Χαιρεδίου τόδε σῆμα, τὸν ἔτρεφεν Ἀτθὶς ἄρουρα,
εἰκόνα ῥητήρων τῆς προτέρης δεκάδος,
ῥηϊδίως πείθοντα δικασπόλον. ἀλλὰ δικάζων,
οὔ ποτε τῆς ὀρθῆς οὐδ᾽ ὅσον ἐτράπετο.

Τοῦ αὐτοῦ.

Πέτρου ὁρᾷς ῥητῆρος ἀεὶ γελόωσαν ὀπωπὴν,
ἔξοχα εἰν ἀγοραῖς, ἔξοχα ἐν φιλίῃ.
ἐν δὲ Διωνύσου θυομένοις, ὤλετο μοῦνος,
ὕψοθεν ἐκ τέγεος σὺν πλεόνεσσι πεσὼν,
βαιὸν ἐπιζήσας, ὅσον ἤρκεσε. τοῦτον ἔγωγε
ἄγριον οὐ καλέω, τὸν δὲ φύσει θάνατον.

Ἰουλιανοῦ ἀπὸ ὑπάρχων
αἰγυπτίου.

Ἡ φύσις ὠδίνασα πολὺν χρόνον, ἀνέρ᾽ ἔτικτεν
ἄξιον εἰς ἀρετὴν τῶν προτέρων ἐτέων,
τὸν κρατερὸν σοφίην τε, καὶ οὔνομα, τὸν καὶ ἀνιγροῖς
κινήσαντα γόοις δάκρυον ἀντιπάλοις.
εἰ δὲ νέος τέθνηκεν, ὑπέρτερα νήματα μοίρης
μέμφεο, βουλομένης κόσμον ἄκοσμον ἔχειν.

Τοῦ αὐτοῦ.

Ὦ φθέγμα κρατεροῖο, τί σοι πλέον, εἴ γε καὶ αὐδῆς
ἔπλεο καὶ σιγῆς αἴτιον ἀντιπάλοις;

ARAGONVM · ALEXANDER PP VI · FERDINANDVS

ζωντὸς μὲν γὰρ ἅπαντες ἐφώνεον. ἐκ δὲ πλούτης
ὑμετέρης, ἰδίην αὖθις ἔδησαν ὄπα.
οὕτως γὰρ μετὰ σεῖο μόρον τέτληκε τανύσσαι
ὦτα λόγοις. κρατερῷ δ' ἐν τέλος, ἠδὲ λόγοις.

Ἄδηλα.

Ἐνθάδε τὴν ἱερὴν κεφαλὴν σορὸς ἠδὲ κέκευθεν
ἀετίου χρυσοῦ ῥήτορος εὐπρεπέος.
ἦλθεν δ' εἰς ἀΐδαο δέμας, ψυχὴ δ' εἰς ὄλυμπον.
ἀθάνατον ποιεῖ δ' ὁ λόγος, ὅτι θεός.

Ἀντιπάτρου ῥήτορος ἐγὼ τάφος. ἡλίκα δ' ἔπνει
ἔργα, πανελλήνων πεύθεο μαρτυρίης.
κεῖται δ' ἀμφίριστος, ἀθήνοθεν, εἴτ' ἀπὸ νείλου
ἦν γένος. ἠπείρων δ' ἄξιος ἀμφοτέρων.
ἄστεα καὶ δ' ἄλλως ἑνὸς αἵματος ὡς λόγος ἐστί.
κλήρῳ δ' ἡ μὲν, ἀεὶ Παλλάδος, ἠδὲ, Διός.

## ΕΙΣ ΥΙΟΥΣ, ΚΑΙ ΘΥΓΑΤΕΡΑΣ. 32

Διοτίμου.

Τί πλέον εἰς ὠδῖνα πονεῖν; τί δὲ τέκνα τεκέσθαι;
μὴ τέκοι, εἰ μέλλοι παιδὸς ὁρᾶν θάνατον.
ἠϊθέῳ γὰρ σῆμα Βιάνορι χεύατο μήτηρ.
ἔπρεπε δ' ἐκ παιδὸς μητέρα τοῦδε τυχεῖν.

Ἀδεσπότου.

Υἱῷ πατὴρ τόδε σῆμα, τὸ δ' ἔμπαλιν ἦν τὸ δίκαιον,
ἦν δὲ δικαιοσύνης ὁ φθόνος ὀξύτερος.

Λεωνίδου.

Ταὐτ' ἀλλ' ἂν ἐχάραξε Βιάνωρ οὐκ ἐπὶ ματρί,
οὐδ' ἐπὶ τῷ γενέτᾳ, τύμβον ὀφειλόμενον,
παρθενικᾷ δ' ἐπὶ παιδί. κατέσχε δ' οὐχ ὑμεναίω,
ἀλλ' ἀΐδα νύμφαν δωδεκέτιν κατ' ὄζαν.

Φιλίππου.

Λατύπος ἀρχιτέλης ἀγαθάνορι παιδὶ θανόντι
χερσὶν ὀϊζυραῖς ἡρμολόγησε τάφον,
αἲ, αἲ, πέτρον ἐκεῖνον, ὃν οὐκ ἐκόλαψε σίδηρος,
ἀλλ' ἐτάκη πυκινοῖς δάκρυσι τεγγόμενος.
φεῦ, στήλη, φθιμένῳ κούφη μένε, κεῖνος ἵν' εἴπῃ
οὕτως πατρῴη χεὶρ ἐπέθηκε λίθον.

Σιμωνίδου.

Ενθάδε Πυθώνακτα, κασιγνήτην τε κεκεύθει
γαῖ', ἐρατῆς ἥβης πρὶν τέλος ἄκρον ἰδεῖν.
μνῆμα δ' ἀποφθιμένοισι πατὴρ μέγ' ἄριστον ἔθηκεν
ἀθάνατον, θνητοῖς παισὶ χαριζόμενος.

Αδήλου.

Αἲ, αἲ, ἀριστοκράτεια, σὺ μὲν βαθὺν εἰς ἀχέροντα
οἴχεαι, ὡραίου κεκλιμένα πρὸ γάμου.
ματρὶ δὲ δάκρυα σᾷ καταλείπεται. ἃς ἐπὶ τύμβῳ
πολλάκι κεκλιμένας, κωκύει ἐκ κεφαλᾶς.

Απολλωνίδου.

Καὶ τίς, ὃς οὐκ ἔτλη κακὸν ἔσχατον υἱέα κλαύσας;
ἀλλ' ὁ Ποσειδίππου πάντας ἔξαψε δόμος,
τέσσαρας, οὓς ἀΐδαο συνηρίθμον ἥρπασεν ἦμαρ,
τὴν πολλὴν παίδων ἐλπίδα κειραμένου.
πατρὸς δ' ὄμματα λυγρὰ κατομβρηθέντα γόοισιν,
ὤλετο. κοινὴ που νὺξ μία πάντας ἔχει.

Λεωνίδου.

Αδείλ' ἀντίκλεις, δειλὴ δ' ἐγὼ ἣ τὸν ἐν ἥβης
ἀκμῇ, καὶ μοῦνον παῖδα πυρωσαμένη,
ὀκτωδεκέτης ὃς ἀπώλεο τέκνον. ἐγὼ δὲ,
ὀρφανίον κλαίω γῆρας ὀδυρομένη.

ALEXANDER PP VALENTINUS · SANCTUS FERDINANDUS · DEL GRAN REY ARAGONUM

βαίνειν εἰς ἀΐδος σκιερὸν δόμον. οὔτε μοι ἠὼς
ἡδεῖ', οὔτ' ἀκτὶς ὠκέος ἠελίου.
ἆ, δείλ' Ἀντίκλεις, μεμορημένε, πρὶν θεὸς εἴης
ἰητὴρ, ζωὴν εὖγε κομισσάμενος.

Ἀντιπάτρου.

Τοῦτό τοι Ἀρτεμίδωρε τεῷ ἐπὶ σήματι μήτηρ
ἴαχε, δωδεκέτην σὸν γοάουσα μόρον.
ὤλετ' ἐμᾶς ὠδῖνος ὁ πᾶς πόνος, εἰς πόνον, εἰς πῦρ.
ὤλετο παμμήκεος γειναμένου κάματος.
ὤλετ' ἀποδυθὴς μοι τέρψις σέθεν. οὐ γὰρ ἀκαμπτον,
οὐ τὸν ἀνόστητον χῶρον ἔβης ἐνέρων.
οὐδ' οὐ ἐφηβείην ἔλθον τέκος. ἀντὶ δὲ σεῖο,
στάλα, καὶ κωφὰ λείπεται ἄμμι κόνις.

Ἀδήλου.

Οἰκτρότατον μάτηρ σε Χαρίξενε δῶρον ὃν ᾅδαν
ὀκτωκαιδεκέτην ἐστόλισε χλαμύδι.
ἦ γὰρ δὴ καὶ πέτρος ἀνέστενεν, ἀνίκ' ἀπ' οἴκων,
ἅλικες οἰμωγᾷ σὸν νέκυν ἀχθοφόρευν.
πένθος δ', οὐχ ὑμέναιον ἀνωρύοντο γυναῖκες,
αἲ, αἲ, τὰς μαστῶν ψευδομένας χάριτας,
καὶ κενεὰς ὠδῖνας. ἰὼ κακοπάρθενε μοῖρα,
ἀπειρογόνας στοργὰν ἔπτυσας εἰς ἀνέμους.

Ἀνύτης.

Λοίσθια δὴ τάδε πατρὶ φίλῳ περὶ χεῖρε βαλοῦσα
εἶπ' Ἐρατὼ χλωροῖς δάκρυσι λειβομένα,
ὦ πάτερ, οὔ τοι ἔτ' εἰμί. μέλας δ' ἐμὸν ὄμμα καλύπτει
ἤδη ἀποφθιμένης κυάνεος θάνατος.

Τῆς αὐτῆς.

Πολλάκι τῷδ' ὀλοφυδνὰ κόρας ἐπὶ σήματι κλεινὰ
μήτηρ ὠκύμορον παῖδ' ἐβόησε, φίλαν

ψυχὰν ἀγκαλέουσα Φιλαινίδος, ἃ πρὸ γάμοιο
χλωρὸν ὑπὲρ ποταμοῦ χεῦμ' Ἀχέροντος ἔβα.

Πέρσου.

Ὤλεο δὴ πρὸ γάμοιο Φιλαίνιον, οὐδέ σε μάτηρ
Πυθιὰς ὡραίους ἤγαγεν ἐν θαλάμους
νυμφίου. ἀλλ' ἐλεεινὰ καταδρύψασα παρειὰς,
τεσσαρεσκαιδεκέτιν τῷδ' ἐκάλυψε τάφῳ.

## ΕΙΣ ΦΙΛΟΣΟΦΟΥΣ. λγ

Εἰς Σωκράτην. Ἀντιπάτρου.

Ὀχθαμαλὴν ὑπέδυς ὁ τόσος κόνιν. εἰς σέ τις ἀθρῶν
Σώκρατες Ἑλλήνων, μέμψεται ἀκρισίην.
νηλέες, οἳ τὸν ἄριστον ἀπώλεσαν, οὐδὲν ἐν ἄδυ
δόντες. τοιοῦτοι πολλάκι Κεκροπίδαι.

Εἰς Πλάτωνα.

Γαῖα μὲν ἐν κόλποις κρύπτει τόδε σῶμα Πλάτωνος,
ψυχὴ δ' ἀθανάτων τάξιν ἔχει μακάρων,
υἱοῦ Ἀρίστωνος. τόν, τις καὶ τηλόθι ναίων
τιμᾷ ἀνὴρ ἀγαθὸς, θεῖον ἰδόντα βίον.

Εἰς τὸν αὐτόν.

Αἰετὲ, τίπτε βέβηκας ὑπὲρ τάφον; ἢ τίνος εἰπὲ
ἀστερόεντα θεῶν οἶκον ἀποσκοπέεις.
Ψυχῆς εἰμὶ Πλάτωνος ἀποπταμένης ἐν Ὄλυμπον
εἰκών. σῶμα δὲ γῆ γηγενὲς Ἀτθὶς ἔχει.

Εἰς τὸν αὐτόν.

Καὶ πῶς εἰ μὴ Φοῖβος ἀν' Ἑλλάδα φῦσε Πλάτωνα,
ψυχὰς ἀνθρώπων γράμμασιν ἀκέσατο;
καὶ γὰρ ὁ τοῦδε γεγαὼς Ἀσκληπιός ἐστιν ἰητὴρ
σώματος, ὡς ψυχῆς ἀθανάτοιο Πλάτων.

ALEXANDER PP VI VALENTINUS · SANTIS FERDINANDUS DEI GRA REX ARAGONUM

Εἰς τὸν αὐτόν.

Φοῖβος ἔφυσε βροτοῖς Ἀσκληπιὸν, ἠδὲ Πλάτωνα.
τὸν μὲν, ἵνα ψυχὴν, τὸν δ᾽ ἵνα σῶμα σάοι.
δαισάμενος δὲ γάμον, πόλιν ἤλυθεν. ἥν ποθ᾽ ἑαυτῷ
ἔκτισε, καὶ δαπέδῳ Ζηνὸς ἐνιδρύσατο.

Εἰς Δημόκριτον.

Ἦν ἄρα Δημοκρίτοιο γέλως τόδε. καὶ τάχα λέξεις
οὐκ ἔλεγον γελόων, πάντα πέλουσι γέλως;
καὶ γὰρ ἐγὼ σοφίην μετ᾽ ἀπείρονα, καὶ στίχα βίβλων
τοσσατίων, κεῖμαι νέρθε τάφοιο γέλως.

Εἰς τὸν αὐτόν.

Καὶ τίς ἔφυ σοφὸς ὧδε; τίς ἔργον ἔρεξε τοσοῦτον,
ὅσσον ὁ παντοδαὴς μήνυσε Δημόκριτος;
ὃς θάνατον παρεόντα, τρί᾽ ἤματα δώμασιν ἔσχεν.
καὶ θερμοῖς ἄρτων ἄσθμασιν ἐξένισεν.

Εἰς τὸν αὐτόν.

Εἰ καὶ ἀμειδήτων νεκύων ὑπὸ γαῖαν ἀνάσσεις
Φερσεφόνη, ψυχὴν δέχνυσο Δημοκρίτου,
εὐμενέως γελόωσαν. ἐπεὶ καὶ σεῖο τεκοῦσαν
ἀχνυμένην ὦδε σοί, μοῦνος ἔκαμψε γέλως.

Εἰς Διογένη τὸν
κύνα.

Τὸν κύνα Διογένην νεκυοστόλε δέξο με πορθμεῦ,
γυμνώσαντα βίου παντὸς ἄδη σκύνιον.

Εἰς τὸν αὐτόν.

Εἰπὲ κύων, τίνος ἀνδρὸς ἐφεστὼς σῆμα φυλάσσεις;
τοῦ κυνός. ἀλλὰ τίς ἦν οὗτος ἀνὴρ ὁ κύων;
Διογένης. γένος εἰπέ; Σινωπεύς. ὃς πίθον ᾤκει;
καὶ μάλα. νῦν δὲ θανὼν, ἀστέρας οἶκον ἔχει.

Ἀντιπάτρου εἰς τὸν αὐτόν.

Διογένευς τόδε σῆμα σοφοῦ κυνός. ὅς ποτε θυμῷ
ἄρσενι, γυμνήτην ἐξεπόνει βίοτον.
ᾧ μία τίς πήρα, μία διπλοΐς, εἷς ἅμ' ἐφοίτα
σκίπων, αὐτάρκους ὅπλα σαοφροσύνης.
ἀλλὰ τάφου τοῦδ' ἐκτὸς ἴτ' ἄφρονες, ὡς ὁ σινωπεὺς
ἐχθαίρει φαύλους πάντας καὶ εἰν ἀΐδῃ.

Εἰς τὸν αὐτόν.

Βάκτρον, καὶ πήρη, καὶ διπλόον εἷμα σοφοῖο
Διογένευς, βιότου φόρτος ὁ κουφότατος.

Ὡς ἀπὸ τοῦ Διογένους.

Πάντα φέρω πορθμῆϊ. λέλειπται γὰρ οὐδὲν ὑπὲρ γῆς.
ἀλλὰ κύων σαίνοις κέρβερε τόν με κύνα.

Ὡς ἀπὸ τοῦ αὐτοῦ.

Ἀΐδος ὦ νεκυηγὲ κεχαρμένε δάκρυσι πάντων,
ὃς βαθὺ πορθμεύεις τοῦτ' ἀχέροντος ὕδωρ.
εἰ καί σοι βέβριθεν ὑπ' εἰδώλοισι καμόντων
ὁλκὰς, μὴ προλίπῃς Διογένη με κύνα.
ὄλπην καὶ σκίπωνα φέρω, καὶ διπλόον εἷμα,
καὶ πήρην, καὶ σοὶ ναυτιλίης ὀβολόν.
καὶ ζωὸς τάδε μοῦνον, ἃ καὶ νέκυς ὧδε κομίζω,
εἶχον. ὑπ' ἠελίου δ' οὔτι λέλοιπα φάει.

Διονυσίου κυζικηνοῦ εἰς Ἐρατοσθένη.

Πρηΰτερον γῆράς σε, καὶ οὐ κατὰ νοῦσος ἀμαυρὴ
ἔσβεσεν. εὐνήθης δ' ὕπνον ὀφειλόμενον,
ἄκρα μεριμνήσας ἐρατόσθενες. οὐδὲ κυρήνη
μαῖά σ' ἐπ' ἀτρύτων ἐντὸς ἔδεκτο τάφων,
ἀγλαοῦ υἱέ. φίλος δὲ καὶ ἐν ξείνῃ κεκάλυψαι
πὰρ τόδε πρωτῆος κράσπεδον αἰγιαλοῦ.

ARAGONVM · ALEXANDER PP VI · DEI GRA REX · FERDINANDVS

Ἀντιπάτρου εἰς τοὺς ἑπτὰ σοφούς.

Ἑπτὰ σοφῶν Κλεόβουλε, σὲ μὲν τεκνώσατο Λίνδος.
ἀμφὶ δὲ Σισυφίη χθὼν Περίανδρον ἔχει
Πιττακὸν, ἁ Μιτυλήνα. Βίαντα δὲ, δῖα Πριήνη.
Μίλητος δὲ Θαλῆν, ἄκρον ἔρεισμα Δίκας.
ἁ Σπάρτα Χίλωνα. Σόλωνα δὲ Κεκροπὶς αἶα.
πάντας ἀριζήλου σωφροσύνας φύλακας.

Εἰς Θαλῆν.

Τόνδε Θαλῆν Μίλητος Ἰὰς θρέψασ' ἀνέδειξεν
ἀστρολόγων πάντων πρεσβύτατον σοφίῃ.

Εἰς τὸν αὐτόν.

Ἦ ὀλίγον τὸ σῆμα. τὸ δὲ κλέος, οὐρανόμηκες
τοῦ πολυφροντίστου τοῦδε Θάλητος ὅρη.

Εἰς τὸν αὐτόν

Γυμνικὸν αὖ ποτ' ἀγῶνα θεώμενον ἠλεῖε Ζεῦ,
τὸν σοφὸν ἄνδρα Θαλῆν ἥρπασας ἐκ σταδίου.
αἰνέω ὅττι μιν ἐγγὺς ἀπήγαγες. ἦ γὰρ ὁ πρέσβυς,
οὐκ ἔθ' ὁρᾶν ἀπὸ γῆς ἀστέρας ἠδύνατο.

Εἰς Πιττακόν.

Ξεῖνος Ἀταρνείτης τις ἀνείρετο Πιττακὸν οὕτω,
τὸν Μιτυληναῖον παῖδα τὸν Ὑρραδίου.
ἄττα γέρον, δοιός με καλεῖ γάμος. ἡ μία μὲν δὴ
νύμφη, καὶ πλούτῳ καὶ γενεῇ κατ' ἐμέ.
ἡ δ' ἑτέρη, προβέβηκε. τί λώϊον; εἰ δ' ἄγε μοι σὺ
βούλευσον ποτέρην εἰς ὑμέναιον ἄγω.
εἶπεν. ὁ δὲ, σκίπωνα, γεροντικὸν ὅπλον ἀείρας,
ἠνὶ δὲ κεῖνοί σοι πᾶν ἐρέουσιν ἔπος.
οἱ δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβικας ἔχοντες,
ἔστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ.

κείνων ἔρχεο φησὶ μετ' ἴχνια. χὠ μὲν, ἐπέστη
πλησίον. οἱ δ' ἔλεγον, τὴν κατὰ σαυτὸν ἔλα.
ταῦτ' ἀΐων ὁ ξεῖνος, ἐφείσατο μείζονος οἴκου
δράξασθαι, παίδων κληδόνι συνθέμενος.
τὴν δ' ὀλίγην ὡς κεῖνος ἐς οἶκον ἐπήγετο νύμφην,
οὕτω καὶ σύ γ' ἰὼν τὴν κατὰ σαυτὸν ἔλα.

Εἰς βίαντα.

Κλεινοῖς ἐν δαπέδοισι πριήνης φύντα καλύπτει
ἥδε Βίαντα πέτρη, κόσμον ἴωσι μέγαν.

Εἰς τὸν αὐτόν.

Τῇδε Βίαντα κέκευθα, τὸν, ἀτρέμας ἤγαγεν ἑρμῆς
εἰς ἀΐδην, πολιῷ γήραϊ νιφόμενον.
εἶπε γὰρ εἶπε δίκην ἑτάρου τινός. εἶτ' ἀποκλινθεὶς,
παιδὸς ἐς ἀγκαλίδας μακρὸν ἔτεινεν ὕπνον.

Εἰς Ἀνάχαρσιν.

Ες σκυθίην ἀνάχαρσις ὅτ' ἤλυθε πολλὰ μογήσας,
πάντας ἔπειθε βιοῦν ἤθεσιν ἑλλαδικοῖς.
τὸν δ' ἔτι μῦθον ἄκραντον ἐνὶ στομάτεσσιν ἔχοντα,
πτηνὸς ἐς ἀθανάτους ἥρπασεν ὦκα δόναξ.

Πλάτωνος εἰς Δίωνα τὸν συρακούσιον.

Δάκρυα μὲν ἑκάβῃ τε, καὶ ἰλιάδεσσι γυναιξὶ
μοῖραι ἐπέκλωσαν δή ποτε γεινομέναις.
σοὶ δὲ Δίων ῥέξαντι καλὸν ἐπινίκιον ἔργον,
δαίμονες εὐρείας ἐλπίδας ἐξέχεαν.
κεῖσαι δ' εὐρυχόρῳ ἐν πατρίδι τίμιος ἀστοῖς,
ὦ ἐμὸν ἐκμήνας θυμὸν ἔρωτι Δίων.

Εἰς Θεόφραστον.

Οὐκ ἄρα τοῦτο μάταιον ἔπος μερόπων τινὶ ἐλέχθη,
ῥήγνυσθαι σοφίης τόξον ἀνιέμενον.



ALEXANDER · TARRAGONAM

ἀλλὰ γὰρ καὶ Θεόφραστος ἕως ἐπόνει μὲν, ἀπηρὸς
ἦν δέμας· εἶτ' ἀνεθεὶς, κάτθανε πηρομελής.

Εἰς Ἡρακλείδην.

Ἤθελες ἀνθρώποισι λιπεῖν φάτιν Ἡρακλείδη,
ὥς ῥα θανὼν, ἐγένου ζωὸς ἅπασι δράκων.
ἀλλὰ διεψεύσθης σεσοφισμένε. δὴ γὰρ ὁ μὲν θὴρ,
ἦν δράκων, σὺ δὲ, θὴρ οὐ σοφὸς ὤν, ἑάλως.

Εἰς Πυθαγόραν.

Οὐ μόνος ἐμψύχων ἀπέχου χέρας, ἀλλὰ καὶ ἡμεῖς.
τίς γὰρ, ὃς ἐμψύχων ἥψατο Πυθαγόρη;
ἀλλ' ὅταν ἑψηθῇ τι, καὶ ὀπτηθῇ, καὶ ἁλισθῇ,
δὴ τότε καὶ ψυχὴν μὴ ἔχον, ἐσθίομεν.

Εἰς τὸν αὐτόν.

Αἰ, αἴ, Πυθαγόρης τί τόσον κυάμους ἐσεβάσθη;
καὶ θάνε δῆτα φυτοῖς ἄμμιγα τοῖς ἰδίοις.
χωρίον ἦν κυάμων· ἵνα μὴ τούτους δὲ πατήσῃ,
ἐξ Ἀκραγαντίνων, κάτθαν' ἐνὶ τριόδῳ.

Εἰς Ἐμπεδοκλῆν.

Καὶ σύ ποτ' Ἐμπεδόκλεις, διερῇ φλογὶ σῶμα καθήρας,
πῦρ ἀπὸ κρητήρων ἔκπιες ἀθανάτων.
οὐκ ἐρέω δ' ὅτι σαυτὸν ἑκὼν βάλες ἐς ῥόον Αἴτνης,
ἀλλὰ λαθεῖν ἐθέλων, ἔμπεσες οὐκ ἐθέλων.

Εἰς τὸν αὐτόν.

Ναὶ μὴν Ἐμπεδοκλῆα θανεῖν λόγος, ὥς ποτ' ἀμάξης
ἔκπεσε, καὶ μηρὸν κλάσσατο δεξιτερόν.
εἰ δὲ πυρὸς κρητῆρας ἐσήλατο, καὶ πίε τὸ ζῆν,
πῶς ἂν ἔτ' ἐν Μεγάροις δείκνυτο τοῖο τάφος;

Εἰς Ἐπίχαρμον.

Εἴ τι παραλλάσσει φαέθων μέγας ἅλιος ἄστρων,
καὶ πόντος, ποταμῶν μείζον' ἔχει δύναμιν,

[library stamp: ...ALEXANDER PP VII ...]

φαμὶ τοσοῦτον ἐγὼ σοφίᾳ προέχειν ἐπίχαρμον,
ὃν πατρὶς ἐστεφάνωσ' ἅδε συρακοσίων.

Εἰς Φιλόλαον.

Τὴν ὑπόνοιαν πᾶσι μάλιστα λέγω θεραπεύειν.
εἰ γὰρ καὶ μὴ δρᾷς, ἀλλὰ δοκεῖς, ἀτυχεῖς.
οὕτω καὶ Φιλόλαον ἀνεῖλε κρότων ποτὲ πάτρη,
ὥς μιν ἔδοξε θέλειν δῶμα τύραννον ἔχειν.

Εἰς Ἡράκλειτον.

Πολλάκις ἡράκλειτον ἐθαύμασα, πῶς ποτε τὸ ζῆν
ὧδε διαντλήσας, δύσμορος εἶτ' ἔθανεν.
σῶμα γὰρ ἀρδεύσασα κακὴ νόσος ὕδασι, φέγγος
ἔσβεσεν ἐκ βλεφάρων, καὶ σκότον ἠγάγετο.

Εἰς τὸν αὐτόν.

Ἡράκλειτος ἐγώ. τί με ὦ κάτω ἕλκετ' ἄμουσοι;
οὐχ ὑμῖν ἐπόνουν, τοῖς δὲ μ' ἐπισταμένοις.
εἷς ἐμοὶ ἄνθρωπος, τρισμύριοι. οἱ δ' αὖ ἀριθμοὶ,
οὐδείς. ταῦτ' αὐδῶ καὶ παρὰ φερσεφόνῃ.

Εἰς Ζήνωνα τὸν
ἐλεάτην.

Ἤθελες ὦ ζήνων καλὸν, ἤθελες ἄνδρα τύραννον
κτείνας, ἐκλῦσαι δουλοσύνης ἐλέαν.
ἀλλ' ἐδάμης δὴ γάρ σε λαβὼν ὁ τύραννος, ἐν ὅλμῳ
κόψε. τί τοῦτο λέγω; σῶμα γὰρ, οὐχὶ δὲ σέ.

Εἰς Πρωτα-
γόραν.

Καὶ σὲ πρωταγόρη, φάτιν ἔκλυον, ὡς ἄρ' ἀθηνῶν
ἔκ ποτ' ἰὼν, καθ' ὁδὸν πρέσβυς ἐὼν ἔθανες.
εἵλετο γάρ σε φυγεῖν κέκροπος πόλις. ἀλλὰ σὺ μέν που
παλλάδος ἄστυ φύγες, πλούτωνα δ' οὐκ ἔφυγες.

Εἰς Κράτητα, ὁμοιόπτωτον τῷ
εἰς Σαρδανάπαλον.

Τόσσ' ἔχω, ὅσσ' ἔμαθον, καὶ ἐφρόντισα, καὶ μετὰ μουσῶν
σέμν' ἐδάην, τὰ δὲ πολλὰ, καὶ ὄλβια, τύμβος ἔμαρψεν.

Ἰουλιανοῦ εἰς Πύῤῥωνα σκεπτι-
κὸν, ἀμοιβαῖον.

Κάτθανες ὦ Πύῤῥων; ἐπέχω. πυμάτην μετὰ μοῖραν
φῂς ἐπέχειν; ἐπέχω. σκέψιν ἔπαυσε τάφος.

Εἰς Ἐπίκτητον ἰσόψηφον.

Λεωνίδου.

Δοῦλος Ἐπίκτητος γενόμην καὶ σῶμ' ἀνάπηρος.
καὶ πενίην Ἶρος. καὶ φίλος ἀθανάτοις.

εἰς Δημόκριτον.

Πλούτων δέξο μάκαρ Δημόκριτον. ὥς κεν ἀνάσσων
αἰὲν ἀμειδήτων, καὶ γελάοντα λάχοις.

Τοῦ αὐτοῦ.

Ἀΐδεω λυπηρὲ διήκονε. τοῦτ' Ἀχέροντος
ὕδωρ ὃς πλώεις πορθμίδι κυανέῃ,
δέξαι μ' εἰ καί σοι μέγα βρίθεται ὀκρυόεσσα
βάρις ἀποφθιμένων, τὸν κύνα Διογένην.
ὄλπη μοι καὶ πήρα ἐφόλκια. καὶ τὸ παλαιὸν
ἔσθος, χ' ὠφθιμένους ναυστολέων ὀβολός.
πάνθ' ὅσα κἠν ζωοῖς ἐπεπάμμεθα, ταῦτα παρ' ᾅδην
ἔρχομ' ἔχων. λεῖπον δ' οὐδὲν ὑπ' ἠελίῳ.

Καλλιμάχου.

Εἶπέ τις Ἡράκλειτε τεὸν μόρον, ἐς δέ με δάκρυ
ἤγαγεν. ἐμνήσθην δ' ὁσσάκις ἀμφότεροι
ἥλιον ἐν λέσχῃ κατεδύσαμεν. ἀλλὰ σὺ μέν που
ξεῖν' Ἁλικαρνησσεῦ τετράπαλαι σποδιή.

αἱ δὲ τεαὶ ζώουσιν ἀηδόνες· ᾗσιν ὁ πάντων
ἁρπακτὴς ἀΐδης, οὐκ ἐπὶ χεῖρα βαλεῖ.

Πλάτωνος.

Νῦν ὅτε μηδὲν, ἄλεξις ὅσον μόνον εἶφ' ὅτι καλὸς,
ὦπται. καὶ πάντη πᾶσι περιβλέπεται.
θυμὲ, τί μηνύεις κυσὶν ὀστέον; εἶτ' ἀνιήσεις
ὕστερον. οὐχ οὕτω φαῖδρον ἀπωλέσαμεν;

Ἐνθάδε γοργίου κυνικοῦ κεφαλὴ κατάκειμαι,
οὐκ ἔτι χρεμπτομένη, οὔτ' ἀπομυσσομένη.

Εἴπας ἥλιε χαῖρε Κλεόμβροτος ὡμβρακιώτης,
ἥλατ' ἀφ' ὑψηλοῦ τείχεος εἰς ἀΐδην,
ἄξιον οὐδὲν ἰδὼν θανάτου κακὸν, ἀλλὰ πλάτωνος
ἓν τὸ περὶ ψυχῆς γράμμ' ἀναλεξάμενος.

Σπευσίππου.

Σῶμα μὲν ἐν κόλποις κατέχει τόδε γαῖα πλάτωνος.
ψυχὴ δ' ἰσοθέων τάξιν ἔχει μακάρων.

ΤΕΛΟΣ ΤΟΥ ΤΡΙΤΟΥ
ΤΜΗΜΑΤΟΣ.

# ΑΡΧΗ ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΤΜΗΜΑΤΟΣ.

Ἐν τῷδε τῷ τετάρτῳ τμήματι, ἐπιγράμματα εἰς θεῶν ἀγάλματα ἔχοντι, καὶ ἀνδρῶν στήλας, καὶ ζώων μορφάς, καὶ ἔτι εἰς τόπους; περιέχεται κεφάλαια τάδε.

## Εἰς εἰκόνας.


| | | | |
|---|---|---|---|
| Ἀνδρῶν ἀγαθῶν. | 1 | Λίθους. | 18 |
| Ἀθλητῶν. | 2 | Λουτρά. | 19 |
| Βακχῶν. | 3 | Ναούς. | 20 |
| Βασιλέων. | 4 | Νίκης. | 21 |
| Γυναικῶν. | 5 | Ξενοδοχεῖα. | 22 |
| Ζωγράφων. | 6 | Οἴκους. | 23 |
| Ζώων. | 7 | Ὅπλα. | 24 |
| Ἡρώων. | 8 | Ὀρχηστρίδων. | 25 |
| Ἡρωΐδων. | 9 | Πηγάς. | 26 |
| Ἤχους. | 10 | Ποιητῶν. | 27 |
| Θαλάττης. | 11 | Πόλεις. | 28 |
| Θεῶν. | 12 | Ποταμούς. | 29 |
| Ἰατρῶν. | 13 | Προάστεια. | 30 |
| Καιροῦ. | 14 | Ῥητόρων. | 31 |
| Κήπους. | 15 | Σκηνή. | 32 |
| Κιθαρῳδῶν. | 16 | Φιλοσόφων. | 33 |
| Κίονας. | 17 | Ὡρολόγια. | 34 |

# ΕΙΣ ΕΙΚΟΝΑΣ ΑΝΔΡΩΝ

## ΑΓΑΘΩΝ. Ι

Εἰς εἰκόνα Γαβριήλου ὑπάρχου ἐν Βυζαντίῳ.

Λεοντίου σχολαστικοῦ.

Αἱ Φαέθων γραφίδεσσιν ἔχει τύπον, ἀλλὰ χαράσσει
κ ἠέλιον τέχνη, κρυπτομένων φαέων.
καὶ σὲ σοφὲ πολίαρχε γράφει Γαβριήλιε τέχνη,
ἐκτὸς σῶν ἀρετῶν. ἐκτὸς ὅλων καμάτων.

Θεαιτήτου.

Τοῦτον Ἰουλιανὸν νομικῆς φάος, εἶπον ἰδοῦσαι
ῥώμη καὶ βορόη. πάντα φύσις δύναται.

Εἰς εἰκόνα Καλλινίκου κουβικουλαρίου. Λεοντίου σχολαστικοῦ.

Κάλλει μὲν νικᾷς κραδίης τόσον, ὅσσον ὀπωπῆς.
τῆς γὰρ ἐπωνυμίης ἄξια πάντα φέρεις.
αἰεὶ δ᾽ ἐν θαλάμοισι κατευνάζων βασιλῆα,
πᾶσαν ὑποσπείρεις ὕασι μειλιχίην.

Εἰς εἰκόνα ἄρχοντος, ἐν σμύρνῃ.

Θεοδωρίτου γραμματικοῦ.

Ἐκ Φιλαδελφείης ξείνια ταῦτα Φιλίππῳ,
φράζεο πῶς μνήμων ἡ πόλις εὐνομίης.

Ἀδέσποτον.

Μνήμονες οἱ κᾶρες πολέων εὐεργεσιάων,
Γαλμάτον ἰθυδίκην τόσον ἀγασάμενοι.

Εἰς εἰκόνα τινὸς σοφιστοῦ ἐν περγάμῳ ἀνατεθεῖσαν ὑπὲρ πρεσβείας πολιτικῆς Ἀγαθίου.

Τὰς μὲν ὑπὲρ μύθων τε, καὶ εὐτροχάλοιο μελίσσης
εἰκόνας, εἰλήφεις δηρὸν ὀφειλόμενος.
νῦν δ' ὑπὲρ ἱδρώτων τε, καὶ ἀσυνόχοιο μερίμνης,
τῇ δέ σε τῇ γραφίδι στήσαμεν ἡρακλάμων.
εἰ δ' ὀλίγον τὸ γέρας, μὴ μέμφεο, τοῖσδε γὰρ ἡμεῖς
αἰεὶ ἀγαθοὺς ἄνδρας ἀμειβόμεθα.

Εἰς στήλην Λεοντίου σχολαστικοῦ τοῦ μινοταύρου.

Πέτρον ὁρᾷς χρυσέοισιν ἐν εἵμασιν. αἱ δὲ παρ' αὐτὸν
ἀρχαὶ, ἀμοιβαίων μάρτυρές εἰσι πόνων,
αὐτολίης πρώτη, καὶ διχθαδίη μετὰ τήνδε
κόλχου πορφυρέης, καὶ πάλιν αὐτολίης.

Εἰς εἰκόνα Συνεσίου σχολαστικοῦ ἐπὶ νίκῃ μάχης ἀνατεθεῖσαν ἐν Βηρυτῷ. ἰωάννου ποιητοῦ τοῦ βαρβουκάλλου.

Οὐχὶ παρ' Εὐρώτᾳ μόνον ἀνέρες εἰσὶ μαχηταὶ,
οὐδὲ παρ' ἰλλισσῷ μνάμονές εἰσι δίκας.
ὡς ἀπὸ τᾶς σπάρτας, ὡς αὐτᾶς ἀστὸν ἀθάνας,
Συνέσιον νίκα, καὶ θέμις ἠγάσατο.

Εἰς εἰκόνα Λογγίνου ὑπάρχου ἐν Βυζαντίῳ. Ἀραβίου σχολαστικοῦ.

Νεῖλος, πέρσις, ἴβηρ, σόλυμοι, δύσις, ἀρμένις, ἰνδοὶ,
καὶ κόλχοι, σκοπέλων ἐγγύθι καυκασίων,
καὶ πεδία ζώοντα πολυσπερέων ἀγαρηνῶν,
Λογγίνου ταχινῶν μάρτυρές εἰσι πόνων.
ὡς δὲ ταχὺς βασιλῆϊ διάκτορος ἦεν ἀέθλων,
καὶ ταχὺς εἰρήνην ὤπασε κλονεομένην.

Εἰς εἰκόνα Κρίσπου Κριναγόρου.

Γείτονες οὐ τρισσαὶ μοῦνον τύχαι ἔπρεπον εἶναι
Κρίσπε, βαθυπλούτου σῆς ἕνεκεν κραδίης,
ἀλλὰ καὶ αἱ πάντων πᾶσαι. τί γὰρ ἀνδρὶ τοσῷδε
ἀρκέσει εἰς ἑτάρων μυρίον εὐφροσύνην;
νῦν δέ σε καὶ τούτων κρέσσων ἔτι μείζον' ἀέξοι
Καῖσαρ. τίς κείνου χωρὶς ἄρηρε τύχη;

Εἰς εἰκόνα ἀνατεθεῖσαν ἐν τοῖς Πλακιδίου ὑπὸ τῶν τοῦ νέου σκρινίου. Ἀγαθίου σχολαστικοῦ

Θωμᾶν παμβασιλῆος ἀμεμφέα κηδεμονῆα,
αὐθέντην οἱ τὸ νέον τάγμα μετερχόμενοι,
θεσπεσίης ἄγχιστα συνωρίδος, ὄφρα καὶ αὐτῇ
εἰκόνι χῶρον ἔχῃ γείτονα κοιρανίης.
αὐτὸς γὰρ ζαθέοιο θρόνου ὕψωσε μελάθρου,
πλοῦτον ἀεξήσας. ἀλλὰ μετ' εὐσεβίης
εὔγνωμον τὸ πόνημα. τί γὰρ γραφὶς οἶδεν ὀπάσσαι,
εἰ μὴ τοῖς ἀγαθοῖς μνῆστιν ὀφειλομένην;

Εἰς εἰκόνα Θεοδοσίου ἄρχοντος ἐν σμύρνῃ.

Τὸν μέγαν ἐν βουλαῖς Θεοδόσιον, ἀστίδος ἀρχόν,
εἰκόνι μαρμαρέῃ στήσαμεν ἀνθύπατον,
οὕνεκα σμύρναν ἔγειρε, καὶ ἤγαγεν ἐς φάος αὖθις
ἔργοις θαυμασίοις πολλὸν ἀειδομένην.

Εἰς εἰκόνα Δαμοχάριδος. ἐν σμύρνῃ.

Δαμόχαρι κλυτόμητι, δικασπόλε, σοὶ τόδε κῦδος
ὅττι γε τὴν σμύρναν μετὰ λοίγια πήματα σεισμοῦ,
ἐσσυμένως πονέων, αὖθις πόλιν ἐξετέλεσσας.
πᾶσα φύσις βασίλεια, τεὸν κράτος αἰὲν ἀείδει,
οὕνεκα δυσμενέων στίχας ὤλεσας, οὕνεκα φέγγος

ἀνδράσι, σωφρονέουσι καλὴν μετὰ δῆριν ἀνῆψας,
ἱππολύτης δ' ἐκέδασσας ὁμόγνια πήματα χάρμης.

Εἰς εἰκόνα Θεοδώρου
ἄρχοντος.

Ῥήτορα Θεόδωρον ἐμέλλομεν εἰς ἓν ἰόντες,
χρυσείαις γραφίδεσσιν ἀειμνήστοισι γεραίρειν,
εἰ μὴ χρυσὸν ἔφυγε καὶ ἓν γραφίδεσσιν ἐόντα.

Εἰς τὴν ἀνατολικὴν πύλην θεσσαλονίκης.

Ἡ νορέης ὀλετῆρα ὑπὸρ βάλου Βαβυλῶνος,
καὶ σέλας ἀκτεάνοιο δίκης βασιλῆος ὕπαρχον,
ξεῖνε νόῳ σκίρτησον, ἰδὼν ἐφύπερθε πυλάων.
εὐνομίης ποτὶ χῶρον ἀριστογένεθλον ὁδεύεις.
Βάρβαρον οὐ τρομέεις. οὐκ ἄρρηνας ἀρρενοκοίτας.
ὅπλα λάκων. σὺ δὲ τεῖχος, ἔχεις βασιλῆος ἄγαλμα.

Ἄδηλα.

Νικήταν δ' ὀβρίμοτλμον, ἄναξ, στρατὸς, ἄστεα, δῆμος,
στῆσαν ὑπὲρ μεγάλων Μηδοφόνων καμάτων.

Εἰς τὸν αὐτόν.

Τὸν μέγαν ἐν πολέμοισι, τὸν ἄτρομον ἡγεμονῆα
Νικήταν, ἀρετῶν εἵνεκεν, οἱ πράσινοι.

Πρόκλος ἐγὼ Παύλου Βυζάντιος, ὅν ποτε δῶμα
τηλεθάοντα δίκης, βασιλήϊος ἥρπασεν αὐλή,
ὄφρ' εἴην στόμα πιστὸν ἐρισθενέος βασιλῆος.
ἀγγέλλει δ' ὅδε χαλκὸς, ὅσον γέρας ἐστὶν ἀέθλων.
καὶ τὰ μὲν, εἴκελα πάντα καὶ υἱεῖ, καὶ γενετῆρι.
ἐν δ' ὑπάτων ῥάβδοισι, πάϊς νίκησε τοκῆα.

Ἀπολλωνίδου.

Θαύμασε τὸν Κινύρην ὁ πάλαι χρόνος, ἢ Φρύγας ἄμφω,
σὸν δὲ Λέων ἡμεῖς κάλλος ἀεισόμεθα.

κὰρ καὶ δὴ πορίβωτε, μακαρτάτη ἔσσ' ἄρα νήσων,
καὶ Ῥόδος, ἣ τοίῳ λάμπεται ἠελίῳ.

Εἰς τὸν αὐτόν.

Εἰ τοιόσδε Λέων λάχεν αὐτίος Ἡρακλῆϊ,
οὐκ ἦν Ἀλκείδεω τοῦτο τὸ δωδέκατον.

Εἰς τὴν ἀνατολικὴν πύλην Θεσσαλονίκης.

Μορφὰς ὁ γράψας, ἤθελον καὶ τοὺς τρόπους,
ἀνεστείρασε δέ μου τὴν ὄρεξιν ἡ τέχνη.
κάλει δέ μ' Ἀλέξανδρον ὕλαλον φίλος.

Μητροδώρου.

Αὐτὸν Ἰωάννην ὁ γέρων ὅτ' ἐδέξατο θεσμός,
εἶπεν ἀνηβήσας, αὖθις ἔχω σε Σόλων.

ΕΙΣ ΑΓΩΝΙΣΤΩΝ ΕΙΚΟΝΑΣ. 2

Μακεδονίου ὑπάτου.

Τῷ ξοάνῳ τὸν παῖδα Θυώνιχος, οὐχ ἵνα λεύσσῃς,
ὡς καλὸς ἐν τῇδε μνάματος ἀγλαΐᾳ,
ἀλλ' ἵνα σοι τὸν ἄεθλον, ὃν ἐξεπόνησε μαθόντι
ὦ γαθὲ, τᾶς αὐτᾶς ζᾶλος ἔοι μανίας.
οὗτος ὁ μὴ κλίνας καμάτῳ πόδα, πάντα δ' ἀγῶνι
ἄλικα νικήσας, ὁπλότερον, πρότερον.

Φιλίππου.

Ἴσως με λεύσσων ξεῖνε ταυρογάστορα,
καὶ στερρόγυιον ὡς Ἄτλαντα δεύτερον,
θαμβεῖς, ἀπιστῶν εἰ βρότειος ἡ φύσις.
ἀλλ' ἴσθι μ' Ἡρᾶν Λαοδικῆα πάμμαχον,
ὃν Σμύρνα, καὶ δὶς Πέργαμος κατέστεφεν,
Δελφοί, Κόρινθος, Ἦλις, Ἄργος, Ἄκτιον.
λοιπῶν δ' ἀέθλων ἢν ἐρευνήσῃς κράτος,
καὶ τὴν Λίβυσσαν ἐξαριθμήσεις κόνιν.

Εἰς δρομέα. Ἀδήλου.

Ἄδας τὸ στάδιον εἴθ' ἥλατο, εἴτε διέπτη,
δαιμόνιον τὸ τάχος, οὐδὲ φράσαι δυνατόν.

Εἰς τὸν αὐτόν.

Οἷος ἔης φεύγων τὸν ὑπηνέμιον ἔμπνοε Λάδα,
θυμὸν ἐπ' ἀκροτάτῳ πνεύματι θεὶς ὄνυχα,
τοῖον ἐχάλκευσε Μύρων ἐπὶ παντὶ χαράξας
σώματι, Πισαίου προσδοκίην στεφάνου.
πλήρης ἐλπίδος ἐστίν. ἄκροις δ' ἐπὶ χείλεσιν ἆσθμα
ἐμφαίνει, κοίλων ἔνδοθεν ἐκ λαγόνων.
πηδήσει τάχα χαλκὸς ἐπὶ στέφος. οὐδὲ καθέξει
ἁ βάσις. ὦ τέχνη, πνεύματος ὠκυτέρα.

Ἀλκαίου.

Οἷον ὁρῇς ὦ ξεῖνε τὸ χάλκεον εἰκόνι λῆμμα
Κλειτομάχου, τοίαν Ἑλλὰς ἐσεῖδε βίαν.
ἄρτι γὰρ αἱματόεντα χερῶν ἀπελύετο πυγμᾶς
ἔντεα, καὶ γοργῷ μάρνατο παγκρατίῳ.
τὸ τρίτον οὐκ ἐκόνισεν ἐπωμίδας. ἀλλὰ παλαίσας,
ἀπτὼς τοὺς τρισσοὺς Ἰσθμόθεν εἷλε πόνους.
μοῦνος δ' Ἑλλήνων τόδ' ἔχει γέρας. ἑπτάπυλοι δὲ
Θῆβαι, καὶ γενέτωρ ἐστέφεθ' Ἑρμοκράτης.

Τρωΐλου γραμματικοῦ.

Εἰκών, τίς σ' ἀνέθηκε, τίνος χάριν, ἢ τίνι λέξον.
ἀντὶ παλαισμοσύνης θῆκε Λύρωνι πόλις.

Ταύτην Εὐσεβίῳ Βυζαντιὰς εἰκόνα Ῥώμη
πρὸς δισσαῖς ἑτέραις εἵνεκεν ἱπποσύνης.
οὐ γὰρ ὅγ' ἀμφήριστον ἑλὼν ἐστέψατο νίκην,
ἀλλὰ πολὺ κρατέων ποσσί, καὶ ἠνορέῃ.

τοὔνεκεν ἀντιβίων ἔριν ἔσβεσεν. ἀλλὰ καὶ αὐτὴν
δῆμος τὴν προτέρην παῦσε διχοστασίην.

## ΕΙΣ ΕΙΚΟΝΑΣ ΒΑΚΧΩΝ. 3

Εἰς βάκχην ἐν βυζαντίῳ.
Παύλου σιλεντιαρίου.

Ἔκφρονα τὴν βάκχην, οὐχ ἡ φύσις, ἀλλ' ἡ τέχνη
θήκατο, καὶ μανίην ἐγκατέμιξε λίθῳ.

Εἰς τὸ αὐτό.

Ἴσχετε τὴν βάκχην, μὴ λαΐνεη περ ἐοῦσα,
οὐδὸν ὑπερθεμένη, νηὸν ὑπεκπροφύγῃ.

Εἰς τὸ αὐτὸ Ἀγαθίου
σχολαστικοῦ.

Οὔπω ἐπισταμένην ταχὰ κύμβαλα χερσὶ τινάξαι,
βάκχην αἰδομένην στήσατο λαοτύπος.
οὕτω γὰρ προνεύουσα δοκεῖ· ἔοικε δὲ τοῦτο βοώσῃ,
ἔξιτε. καὶ πατάγω, μηδενὸς ἱσταμένου.

Σιμωνίδου.

Τίς ἅδε; βάκχα. τίς δέ μιν ξέσε; Σκόπας.
τίς δ' ἐξέμηνε, βάκχος, ἢ Σκόπας; Σκόπας.

Γλαύκου ἀθηναίου.

Α βάκχα παρία μὲν, ἐνεψύχωσε δ' ὁ γλύπτας
τὸν λίθον. ἀνθρώσκει δ' ὡς βρομιαζομένα.
ὦ Σκόπα, ἁ θεοποιὸς ἐμήσατο, μήστε τὸ τέχνα
θαῦμα χιμαιροφόνον, θυάδα μαινομέναν.

Γλαύκου.

Ἡ βάκχη κροτάλην σάτυρον θέτο. εἰς δὲ χορείαν
θρώσκει μαινομένως, ὡς βρομιαζόμενος.

GRATIA ... GONUM · ALEXANDER ... FERDINANDUS

## ΕΙΣ ΕΙΚΟΝΑΣ ΒΑΣΙΛΕΩΝ.
## ΕΙΣ ΝΕΡΩΝΟΣ. 4

Κριναγόρου.

Αὐγολίαι, δύσιες, κόσμου μέτρα, καὶ τὰ Νέρωνος
ἔργα, δι' ἀμφοτέρων ἵκετο γῆς περάτων.
ἥλιος ἀρμενίην ἀνιὼν ὑπὸ χερσὶ δαμεῖσαν
κείνου, γερμανίην δ' εἶχε κατερχόμενος.
δισσὸν ἀειδέσθω πολέμου κράτος. οἶδεν ἀράξης,
καὶ ῥῆνος, δούλοις ἔθνεσι πινόμενοι.

Εἰς στήλην Ἰουστινιανοῦ βασιλέως
ἐν τῷ ἱπποδρόμῳ.

Ταῦτά σοι ὦ βασιλεῦ μηδοκτόνε, δῶρα κομίζει
σῆς ῥώμης γενέτης, καὶ παῖς Εὐστάθιος,
πῶλον ὑπὲρ νίκης, νίκην στεφανηφόρον ἄλλην,
καὶ σὲ μετηνεμίῳ πώλῳ ἐφεζόμενον,
ὕψος ἰουστινιανὲ τεὸν κράτος. ἐν χθονὶ δ' αἰεὶ
δεσμὸς ἔχοι μήδων, καὶ σκυθέων προμάχους.

Εἰς τὸ αὐτό.

Πῶλον ὁμοῦ, καὶ ἄνακτα, καὶ ὀλλυμένην Βαβυλῶνα,
χαλκὸς ἀπὸ σκύλων ἔπλασεν ἀσσυρίων.
ἔστι δ' ἰουστινιανός. ὃν ἀντολίης ζυγὸν ἕλκων,
στῆσεν ἰουλιανὸς μάρτυρα μηδοφόνον.

Εἰς στήλην τοῦ αὐτοῦ
ἐν τῷ λιμένι.

Τοῦτο παρ' αἰγιαλοῖσιν ἐγὼ Θεόδωρος ὕπαρχος,
στῆσα φαεινὸν ἄγαλμα ἰουστινιανῷ βασιλῆϊ
ὄφρα καὶ ἐν λιμένεσσιν ἑὴν πετάσειε γαλήνην.

Εἰς εἴσοδον τῆς ἱερείας.

Τοῦτον ἰουστινιανὸς ἀγακλέα δείματο χῶρον,
ὕδατι, καὶ γαίῃ, κάλλος ἐπικρεμάσας.

Ἄδηλον.

Κοίρανοι, ὑμετέρην ἀρετὴν, κάρτος τε, καὶ ἔργα,
αὐδήσει χρόνος αἰὲν, ἕως πόλος ἀστέρας ἕλκῃ.

Εἰς στήλην Θεοδοσίου
Βασιλέως.

Ἔκθορες ἀντολίηθε φαεσφόρος ἥλιος ἄλλος,
Θεοδόσιε θνητοῖσι πόλου μέσον ἠπιόθυμε,
ὠκεανὸν παρὰ ποσσὶν ἔχων μετ᾽ ἀπείρονα γαῖαν,
πάντοθεν αἰγλήεις κεκορυθμένος ἀγλαὸν ἵππον,
ῥηϊδίως μεγάθυμε καὶ ἐσσύμενον κατερύκων.

Καλλιάδης στρατηγὸς Βυζαντίου, τὸ προειρημένον τοῦ Βύζαντος ἄγαλμα, κατὰ τὴν καλουμένην Βασιλικὴν ἀνέθηκεν ἐπιγράψας οὕτω.

Τὸν κρατερὸν Βύζαντα, καὶ ἱμερτὴν φιδάλειαν,
εἰν ἑνὶ κοσμήσας ἀνθέτο Καλλιάδης.

Εἰς τὸ αὐτό.

Ἱμερτὴ φιδάλεια δάμαρ Βύζαντος ἐτύχθην.
εἰμὶ δὲ Βουπάλεως δῶρον ἀεθλοσύνης.

Εἰς εἰκόνα Πεισι-
στράτου.

Τρίς με τυραννήσαντα, τοσαυτάκις ἐξεδίωξε
δῆμος ἐρεχθειδῶν, καὶ τρὶς ἐπηγάγετο,
τὸν μέγαν ἐν βουλῇ Πεισίστρατον, ὃς τὸν ὅμηρον
ἤθροισα, σποράδην τὸ πρὶν ἀειδόμενον.
ἡμέτερος γὰρ ἐκεῖνος ὁ χρύσεος ἦν πολιήτης,
εἴπερ ἀθηναῖοι σμύρναν ἀπῳκίσαμεν.

ALEXANDRI ARAGONIUM · FERDINANDUS DELICIAS

Εἰς εἰκόνα Βερενίκης. Ἀσκληπιάδου. οἱ δὲ, Ποσειδίππου.

Κύπριδος ἅδ' εἰκών. φέρ' ἰδώμεθα μὴ Βερενίκας.
διστάζω ποτέραν φῇ τις ὁμοιοτέραν.

Γεμίνου.

Οὗτος ὁ κηροπίδαισι βαρὺς λίθος, Ἄρεϊ κεῖμαι
ξεῖνε, φιλιππείης σύμβολον ἠνορέης,
ὑβρίζων Μαραθῶνα, καὶ ἀγχιάλου Σαλαμῖνος
ἔργα, Μακηδονίοις ἔγχεσι κεκλιμένα.
ὄμνυε νῦν νέκυας Δημόσθενες. αὐτὰρ ἔγωγε,
καὶ ζωοῖς ἔσομαι, καὶ φθιμένοισι βαρύς.

Ζήνωνα πολίαρχος Ἰουλιανὸς βασιλῆα.
Ζήνωνος παράκοιτιν Ἰουλιανὸς Ἀριάδνην.

Οἶκον ἄναξ Ἑλικῶνος ἀνηβήσαντα νοήσας,
κυδαλίμοις καμάτοισιν Ἰουλιανοῦ πολιάρχου,
πιερικῶν προπάροιθε δόμων, πάγχρυσος ἔστη.

Κῦδος Ἰουλιανοῦ παναοίδιμον, ὃς μετὰ κόσμον
πιερίδων, χρυσέην στῆσεν Ἀναστασίην.

Εἰς εἰκόνα Ἰουστινιανοῦ βασιλέως.

Ἄλλον ὑπὲρ νίκας στεφανηφόρον ἐνθάδε στῆσον,
ὁ θρασὺς ἀντήσει μηδὲ ἀνάκτι τύπον.
ἄλλον ἀκερσεκόμας Ἀβάρων στρατὸς ἔκποθεν ἴστω,
κείρας ἐκ κεφαλῆς βόστρυχον αὐσταλέης.
τόνδ' ὑπὲρ εὐνομίας ἐριθηλέος ἐνθάδε θωμᾶν
δὶς ὑπάτου μήτρης στῆσεν ἄνασσα πόλις,
ἔμπεδον. ἀλλὰ μένοις Βυζαντιὰς ἄμμορε ῥώμα,
θεῖον Ἰουστινιανοῦ κάρτος ἀμειψαμένα.

Ἀδήλου

Ἀδήλου.

Οὗτος ὁ κοσμήσας ὑπάτων θρόνον, ὃν τρὶς ἔπαρχον
καὶ πατέρα βασιλῆος ἑὸν καλέσαντο μέγιστοι,
χρύσεος ἕστηκεν Αὐρηλιανός. τὸ δὲ ἔργον
τῆς βουλῆς ἧς αὐτὸς ἑκὼν κατέπαυσεν ἀνίας.

Ἀδήλου εἰς ἄρχοντα.

Μίξον μειλιχίῃ βαιὸν φόβον, ὅττι καὶ αὐτὴ
βομβήεσσα μέλισσα κορύσσεται ὀξέϊ κέντρῳ.
οὐ γὰρ ἄτερ μάστιγος ἰθύνεται ἵππος ἀγήνωρ,
οὐδὲ συῶν ἀγέλη ὑποπείθεται ἀνδρὶ νομῆϊ,
πρὶν καὶ ἐριγδούποιο καλαύροπος ἦχον ἀκούσῃ.

Ἀντιπάτρου.

Ζηνὶ, καὶ Ἀπόλλωνι, καὶ Ἄρεϊ, τέκνον ἀνάκτων
εἴκελον εὐκταίῃ μητέρος εὐτοκίῃ.
πάντα τοι ἐκ μοιρέων βασιλήϊα, πάντα τέλεια
ἦλθεν. ἐποίκηθης δ' ἔργον ἀοιδοπόλων.
Ζεὺς σκῆπτρον βασίλειον, Ἄρης δόρυ, καλλοσύνην δὲ
Φοῖβος ἔχει. παρὰ σοὶ δ' ἀθρόα πάντα Κέτυ.

Συνεσίου φιλοσόφου.

Οἱ τρεῖς Τυνδαρίδαι, Κάστωρ, Ἑλένη, Πολυδεύκης.

Εἰς οἶκον Σοφίας.

Αὐσονίων δέσποιναν Ἰουλιανὸς πολιοῦχος
ὡς σοφίης μεστὴν ἄνθετο τὴν Σοφίην.

Εἰς Ἰουστινιανοῦ στήλην.

Ἰουστῖνον κατὰ χρέος τὸν δεσπότην
Ἰουλιανὸς ὕπαρχος ὡς εὐεργέτην.

## ΕΙΣ ΕΙΚΟΝΑΣ ΓΥΝΑΙΚΩΝ. 5

Παύλου σιλεντιαρίου.

Ὄμματα μὲν κόρης μόλις ἡ γραφὶς, ὅτε δὲ χαίτην,
ὅτε σέλας χροιῆς ἄκρον ἀπεπλάσατο.



ARAGONVM · ALEXANDER
REX
FERDINANDVS

εἴ τις μαρμαρυγὴν δύναται φαέθοντι δὲ γράψαι,
μαρμαρυγὴν γράψει καὶ Θεοδωριάδος.

Εἰς τὸ αὐτό.

Βάσκανός ἡ γραφίς ἐστι, καὶ εἰσορόωσι μεγαίρεις
χρύσεα κεκρυφάλοις βόστρυχα κρυψαμένη.
εἰ δ' ὑπάτης κεφαλῆς ὑπάτην χαίρειν εἰκόνι κύδοις,
οὐδ' ὤπη τῷ λοιπῷ κάλλει πίστιν ἔχεις.
πᾶσα γραφὶς μορφῆσι χαρίζεται. ἀλλὰ σὺ μούνη
τῆς Θεοδωριάδος κλέψας ἀπ' ἀγλαΐας.

Συνεσίου φιλοσόφου εἰς εἰκόνα τῆς
αὐτοῦ ἀδελφῆς.

Τῆς χρυσῆς εἰκὼν ἡ Κύπριδος, ἡ Στρατονίκης.

Ἀγαθίου σχολαστικοῦ.

Μαχλὰς ἐγὼ γενόμην Βυζαντίδος ἔνδοθι ῥώμης,
ὠνητὴν φιλίην πᾶσι χαριζομένη.
εἰμὶ δὲ καλλιρόη πολυδαίδαλος. ἣν ὑπ' ἔρωτος
οἰστρηθεὶς Θωμᾶς, τῇ δ' ἔθετο γραφίδι,
δεικνὺς ὅσσον ἔχει πόθον ἐν φρεσίν. ἶσα γὰρ αὐτῷ
κηρῷ τηκομένῳ, τήκεταί οἱ κραδίη.

Ἀνακρέοντος.

Η τὸν θύρσον ἔχουσ' ἑλικωνιάς. ἡ δὲ παρ' αὐτὴν,
Ξανθίππη. Γλαύκη δ' ἡ σχεδὸν ἐρχομένη.
ἐξ ὄρεος χωρεῦσι. Διωνύσῳ δὲ φέρουσι
κισσὸν, καὶ σταφυλὴν πίονα, καὶ χίμαρον.

Ἄδηλον.

Θαῦμ' ἀρετᾶς μορφᾶν ὁ πίναξ ἔχει, εὖ γε τὸ γαῦρον
τεῦξε. τὸ δ' ὡραῖον τῆς ἀγανοβλεφάρου,
σαίνοι κἤν σ' ἐσιδοῦσα, καὶ οἰκοφύλαξ σκυλάκαινα,
δέσποιναν μελάθρων οἰομένη ποθορῆν.

ALEXANDER PP VII ... FERDINANDUS ...

Ἠρίννης.

Ἐξ ἁπαλῶν χειρῶν τάδε γράμματα λῷστε Προμηθεῦ
ἐντὶ, καὶ ἄνθρωποι τὰν ὁμαλοὶ σοφίαν.
ταύταν γοῦν ἐτύμως τὰν παρθένον ὅς τις ἔγραψεν,
αἰκ' αὐγὰν ποτέθηκ' ἦς ἀγαθαρχὶς ὅλα.

## ΕΙΣ ΖΩΓΡΑΦΟΥΣ. 6
καὶ ἀγαλματουργοὺς, καὶ
ἁπλῶς εἰκόνας.

Εἰς εἰκόνα Ἀπελλοῦ.

Αὐτὸς ἑαυτὸν ἐν εἰκόνι γράψεν ἄριστος ἀπελλῆς.

Κωμητᾶ σχολαστικοῦ ἐν
ἀναζάρβῳ.

Νωθρὸς ἐγὼ τελέθεσκον ἀπ' ἰξύος εἰς πόδας ἄκρους,
τῆς πρὶν ἐμῆς γυίης πηρὸν ἀτεμβόμενος,
ζωῆς, καὶ θανάτοιο μεταίχμιον, ἀΐδι γείτων,
μοῦνον ἀναπνείων. τἄλλα δὲ πάντα, νέκυς.
ἀλλὰ σοφός με Φίλιππος, ὃν τὸ γραφίδεσι δοκεύεις,
ζώγρησε κρυερὴν νοῦσον ἀκεσάμενος.
αὖθις δ' ἀντωνίνος, ἅπερ πάρος ἐν χθονὶ βαίνω,
καὶ ποσὶ πεζεύω, καὶ ὅλος αἰσθάνομαι.

Εἰς ἄγαλμα Φιλίππου.

Ἢ θεὸς ἦλθ' ἐπὶ γῆν ἐξ οὐρανοῦ εἰκόνα δείξων
Φειδία, ἢ σύ γ' ἔβης τὸν θεὸν ὀψόμενος.

Εἰς τὸν ἐν ῥόδῳ κολοσσόν. Σιμωνίδου.

Τὸν ἐν ῥόδῳ Κολοσσὸν ὀκτάκις δέκα
Λάχης ἐποίει πηχέων ὁ λίνδιος.

Ἀδέσποτον.

Αἶσαν Τιμομάχου πλέον, ἢ πατρὸς ἥρπασε τέχνα
τὴν φύσιν. ὁ γράψας εἶδέ σε μαινόμενον.

καὶ συμπροσήθη χεὶρ αὐτοῖ. καὶ τὰ κεράστα
δάκρυα, σὺ λύπης πάντας ἔμιξε πόνους.

Αἰμιλιανοῦ.

Τέχνας εἵνεκα σοῖο, καὶ ἁ λίθος ἅδε βρυάζει,
Πραξίτελες. λύσον, καὶ πάλι κωμάσεται.
νῦν δ᾽ ἡμῖν οὐ γῆρας ἔτ᾽ ἀδρανές. ἀλλ᾽ ὁ πεδητὴς
σειληνοῖς κώμων, βάσκανός ἐστι λίθος.

Σιμωνίδου.

Ιφίων τόδ᾽ ἔγραψε κορίνθιος. οὐκ ἔνι μῶμος
χερσίν. ἐπεὶ δόξας ἔργα, πολὺ προφέρει.

Αδηλον.

Οὐκ ἀδαὴς ἔγραψε Κίμων τάδε, παντὶ δ᾽ ἐπ᾽ ἔργῳ
μῶμος. ὃν οὐδ᾽ ἥρως Δαίδαλος ἐξέφυγεν.

Αδέσποτον.

Ατέχνα τὸν ἔλεγχον ἀπώλεσεν. οὐδὲ γὰρ αὐτὰ
μανῦσαι δύναται, τῷ, πόρε τὰν κεφαλάν.

Αδηλον.

Μικροῦ κατέχον τὸν βότρυν τοῖς δακτύλοις,
ὑπεραπατηθεὶς τῇ θέᾳ τῶν χρωμάτων.

## ΕΙΣ ΑΓΑΛΜΑΤΑ ΖΩΩΝ. 7

Εἰς τὴν Μύρωνος βοῦν.

Βοΐδιον εἰμὶ Μύρωνος. ἐπὶ στήλην δ᾽ ἀνάκειμαι.
βουκόλε, κεντήσας εἰς ἀγέλην μ᾽ ἄπαγε.

Εἰς τὸ αὐτό.

Τίπτε Μύρων με τὸ βοΐδιον ἐνταυθοῖ παρὰ βωμοῖς
ἱδρύσας; οὐκ ἐθέλεις εἰσαγέμεν μέγαρον;

Ανακρέοντος εἰς τὸ αὐτό.

Βουκόλε, τὰν ἀγέλαν πόρρω νέμε, μὴ τὸ Μύρωνος
βοΐδιον ὡς ἔμπνουν βουσὶ συνεξελάσῃς.

ALEXANDER PP VI VALENTINUS FERDINANDUS

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Βοίδιον οὐ χοάνοις τετυπωμένον, ἀλλ᾽ ὑπὸ γήρως
Χαλκωθὲν, σφετέρῃ ψεύσατο χειρὶ Μύρων.

Εὐήνου εἰς τὸ αὐτό.

Ἢ τὸ δέρας χάλκειον ὅλον βοῒ τᾷδ᾽ ἐπίκειται
ἔκτοθεν, ἢ ψυχὴν ἔνδον ὁ χαλκὸς ἔχει.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Αὐτὸς ἐρεῖ τάχα τοῦτο Μύρων. οὐκ ἔπλασα ταύταν
τὰν δάμαλιν, ταύτας δ᾽ εἰκόν᾽ ἀνεπλασάμην.

Λεωνίδου εἰς τὸ αὐτό.

Οὐκ ἔπλασέν με Μύρων. ἐψεύσατο. βοσκομέναν δὲ,
ἐξ ἀγέλας ἐλάσας, δῆσε βάσει λιθίνᾳ.

Ἀντιπάτρου σιδωνίου εἰς τὸ αὐτό.

Εἰ μή μου ποτὶ τᾷδε μύρων πόδας ἥρμοσε πέτρᾳ,
ἄλλαις ἂν νεμόμαν βουσὶν ὁμοῦ δάμαλις.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Μόσχε, τί μοι λαγόνεσσι προσέρχεαι; τίπτε δὲ μυκᾷ.
ἁ τέχνα μαζοῖς οὐκ ἐνέθηκε γάλα.

Εἰς τὸ αὐτό.

Τὰν δάμαλιν βουφορβὲ παρέρχεο. μήδ᾽ ἀπάνευθεν
συρίσδῃς. μασῷ πόρτιν ὑπεκδέχεται.

Εἰς τὸ αὐτό.

Ἀμόλιβος κατέχει με καὶ ἀλίθος. εἵνεκα δ᾽ ἄμ σεῦ
πλάστα Μύρων λωτὸν καὶ θρίον ἐσκεπόμαν.

Εἰς τὸ αὐτό.

Ἁ δάμαλις δοκέω μυκήσεται. ἢν δὲ βραδύνῃ,
χαλκὸς ὁ μὴ νοέων αἴτιος, οὐχὶ Μύρων.

Ἀντιπάτρου.

Ἁ δάμαλις δοκέω μυκήσεται. ἦ ῥ᾽ ὁ Προμηθεὺς
οὐχὶ μόνος. πλάττεις ἔμπνοα καὶ σὺ Μύρων.



ALEXANDRI ... FERDINANDI ... GRATIA

Ἄδηλα.

Βοῦν ἰδίαν ποτὲ βουσὶ Μύρων μιχθεῖσαν ἐρευνῶν,
εὗρε μόλις δι' αὐτὴν σὺν βόας ἐξελάσας.

Ἁ βοῦς ἀτίκτουσ', ἀπὸ γαστέρος ἔπλασε τὰν βοῦν,
ἁ δὲ Μύρωνος χείρ, οὐ πλάσεν, ἀλλ' ἔτεκεν.

Καὶ χαλκῆ περ ἐοῦσα, λαλήσειεν ἂν ἡ κεραὴ βοῦς.
εἴ οἱ σπλάγχνα Μύρων ἔνδον ἐτεχνάσατο.

Ἀντιπάτρου εἰς τὸ αὐτό.

Ῥηκτόν μοι τις ἄροτρον ἐπ' αὐχένι, καὶ ζυγὰ θέσθω.
εἵνεκα γὰρ τέχνης σεῖο Μύρων, ἀρόσω.

Εἰς τὸ αὐτὸ Δημητρίου τοῦ Βιθυνοῦ.

Ἤν μ' ἐσίδῃ μόσχος, μυκήσεται. ἢν δέ γε ταῦρος,
βήσεται. ἢν δὲ νομεύς, εἰς ἀγέλην ἐλάσει.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ὧδε Μύρων μ' ἔστησε τὸ βοΐδιον. οἱ δὲ νομῆες,
βάλλουσί με λίθοις, ὡς ἀπολειπόμενον.

Εἰς τὸ αὐτὸ Μάρκου ἀργενταρίου.

Βουκόλον ἢν ἐσίδῃς τὸν ἐμόν, ξένε, τοῦτ' ἔπος αὐτῷ
εἰπόν, ὅθ' ὁ πλάστης ὧδέ μ' ἔλησε Μύρων.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Τὰν βοῦν τάνδ' ὁ Μύρων ξεῖν' ἔπλασεν. ἢν ὅδε μόσχος
ὡς ζῶσαν σαίνει μητέρα δερκόμενος.

Εἰς τὸ αὐτὸ Διοκλείδου.

Ταῦρε μάτην ἤδη πόρτιν ἐπείγεαι. ἔστι γὰρ ἄπνους.
ἀλλά σ' ὁ βουπλάστας ἐξαπάτησε Μύρων.

Εἰς τὸ αὐτό.

Σεῖο Μύρων δάμαλις, παρακάτθανε μόσχος ἀληθείς,
καὶ γάλα πιστεύων χαλκὸν ἔσωθεν ἔχειν.

Εἰς τὸ αὐτό.

Σὺ, ὁ Μύρων πλάσας, οὐκ ἔφθασας. ἀλλά σε χαλκὸς
πρὶν ψυχὴν βαλέειν, ἔφθασε πηγνύμενος.

Εἰς τὸ αὐτό.

Χαλκείην τύπτεις δάμαλιν, μέγα σ' ἥπαφε τέχνη.
βουκόλε, τὴν ψυχὴν οὐ προσέθηκε Μύρων.

Εἰς τὸ αὐτὸ Ἰουλιανοῦ ἀπὸ ὑπάρχων.

Πόρτιν τήνδε Μύρωνος ἰδὼν, τάχα τοῦτο βοήσεις,
ἡ φύσις ἄπνοός ἐστιν, ἡ ἔμπνοος ἔπλετο τέχνη.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Βουκόλε, ποῖ προθέειν με βιάζεαι; ἴσχεο νύσσων.
οὐ γάρ μοι τέχνη καὶ τόδ' ἔδωκεν ἔχειν.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Ἢ χαλκὸν ζώωσε Μύρων σοφὸς, ἢ τάχα πόρτιν
χάλκωσε, ζωὴν δ' ἐξ ἀγέλας ἐρύσας.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Πλάσσε Μύρων, σέο πόρτιν ὁδοιπόρος ἤλθεν ἐλάσσων.
χαλκοῦ δὲ ψαύσας, φὼρ κενὸς ἐξεφάνη.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Εἰσορόων με λέων, χάνε στόμα. χερσὶ δ' ἀείρει
γειοπόνος ζεύγλην, ἀγρονόμος κορύνην.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Τλῆθι Μύρων. τέχνη σε βιάζεται ἄπνοον ἔργον.
ἐκ φύσεως τέχνην. οὐ γὰρ φύσιν εὗρετο τέχνη.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Ἐν βοῒ τᾷδ', ἐμάχοντο φύσις, καὶ πότνια τέχνα.
ἀμφοτέραις δὲ Μύρων, ἶσον ὄπασσε γέρας.
δερκομένοις μὲν γὰρ, φύσιος κράτος ἥρπασε τέχνα.
αὐτὰρ ἐφαπτομένοις, ἡ φύσις ἐστὶ φύσις.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Ἤπαφε καὶ σὲ μύωπα Μύρων, ὅτι καὶ τὸν ἐρείδεις
πλευραῖς χαλκοτύποις ἀντιτύποιο βοός.
οὐ νέμεσις δὲ μύωπι· τί γὰρ τόσον, εἴγε καὶ αὐτοὺς
ὀφθαλμοὺς νομέων ἠπερόπευσε Μύρων;

Εἰς τὸ αὐτό. Γεμίνου.

Ἡ βάσις ἡ κατέχουσα τὸ βοΐδιον, ᾗ πεπέδηται,
ἢν ἀφεθῇ ταύτης, φεύξεται εἰς ἀγέλην.
μυκᾶται γὰρ ὁ χαλκός. ἴδ' ὡς ἔμπνουν ὁ τεχνίτης
θῆκε τό· κἂν ζεύξῃς ἄλλον, ἴσως ἀρόσει.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Χάλκεος ἦς. ἤδη σοὶ δὲ γεωτόμος εἷλκεν ἄροτρον,
καὶ ζυγόδεσμα φέρων ψευδομένᾳ δαμάλῃ.
ἀλλὰ Μύρων τέχνᾳ πανυπείροχος, ὅς σε δι' ἔργων
ἔμπνοον, ὥς τινα βοῦν ἐργάτιν εἰργάσατο.

Φιλίππου Μακεδόνος
εἰς τὸ αὐτό.

Ἄπαιρε μοῦ τένοντος ὦ γεωπόνε,
λέπαδνα, καὶ σίδαρον αὐλακοεργάτην.
χαλκὸν γὰρ ἀμὸν οὐκ ἐστέρνωσε Μύρων.
τέχνα δ' ἐξεπόνησεν ὄψιν ἔμπνοον,
ὡς πολλάκις με κἀπομυκᾶσθαι θέλειν.
εἰς ἔργα δ' οὐκ εἴασε προσδήσας βάσει.

Τοῦ αὐτοῦ εἰς ἵππον.

Ἴδ' ὡς ὁ πῶλος χαλκοδαιδάλῳ τέχνῃ,
κορωνιῶν ἕστηκε. δριμὺ γὰρ βλέπων,
ὑψαυχενίζει. καὶ διηνεμωμένας
κορυφῆς ἐθείρας οὐρίῳ κεῖν' εἰς δρόμον
δοκέω χαλινοὺς εἴ τις ἡνιοστρόφος
ἐναρμόσει γένυσι, κἀπικεντρήσοι,

ὁ σὸς πόνος Λύσιππε καὶ παρ' ἐλπίδα
ταχ' ἐκδραμεῖται. τῇ τέχνῃ γὰρ ἐμπνέει.

Αδηλον.

Τοὐμπρασίῃ φύλακος μακρὰν ἀπὸ τῆλε φύλαξαι.
τοῖος ὁ κύων ὃν ὁρᾷς ὦ παρ' ἐμ' ἐρχόμενε,
σύκινος. οὐ ῥίνῃ πεπονημένος, οὐδ' ἀπὸ μίλτου,
ἀλλ' ἀπὸ ποιμενικῆς αὐτομαθοῦς ξοΐδος.
ἄγρειος. γέλασον. μετὰ δ' οὐκλείους πεφύλαξο
σίνεσθαι, μὴ καὶ σαρδόνιον γελάσῃς.

## ΕΙΣ ΕΙΚΟΝΑΣ ΑΡΧΑΙΩΝ, ΚΑΙ ΗΡΩΩΝ ΤΙΝΩΝ. 8

Εἰς Προμηθέα. Ἰουλιανοῦ.

Τέχνης πυρσὸν ὅπασσα φορέσβιον, ἐκ δ' ἄρα τέχνης,
καὶ πυρὸς, ἀλλήκτου πήματος ὄψιν ἔχω.
ἦ μερόπων ἀχάριστον ἀεὶ γένος, εἴγε Προμηθεὺς
αὐτ' εὐεργεσίης ταῦθ' ὑπὸ χαλκοτύπων.

Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.

Χαλκὸν μὲν καλέεσκεν ἀτειρέα βίβλος ὁμήρου.
ἀλλά μιν ὁ πλάστης δεῖξεν ἐλεγχομένην
δεῦρ' ἴδε γὰρ στενάχοντα Προμηθέα. δεῦρ' ἴδε χαλκοῦ
τειρομένου, σπλάγχνων ἐκ μυχάτων ὀδύνας.
ἡρακλεῦ, νεμέσηςον. ἐπεὶ μετὰ σεῖο φαρέτρην,
ἰαπετιονίδης ἄλγος ἄπαυστον ἔχει.

Γάλλου εἰς Τάνταλον.

Οὗτος ὁ πρὶν μακάρεσσι συνέστιος, οὗτος ὁ νηδὺν
πολλάκι νεκταρέου πλησάμενος πόματος,
νῦν λιβάδος θνητῆς ἱμείρεται. ἡ φθονερὴ δὲ
κρᾶσις, ἀεὶ χείλευς οὖσα ταπεινοτέρη.

BIBLIOTECA · ALEXANDRI ... REX ARAGONUM ... SANCTI FERDINANDI

πῖνε λέγ . τὸ τόρβυμα. καὶ ὄργια μάνθανε σιγῆς.
οἱ γλώσσῃ προπετεῖς ταῦτα κολαζόμεθα.

Εἰς ἄγαλμα Ηρακλέους νηπίου ὄντος ἔτι, καὶ ταῖς χερσὶ θλίβοντος δράκοντας δύο.

Θλῖβε δρακοντείους ποδὶ μήκεας ὄβριμε χεῖρας
ἡράκλεις, λακέτων ἀγχιβαθεῖς φάρυγγας.
ἐξέτι νηπιάχοιο, χόλον ζηλήμονος ἥρης
ἄμπαυσον. μοχθεῖν γνῶθι καὶ ἐκ βρέφεος.
οὐ γὰρ σοι κρητὴρ χαλκήλατος, οὐδὲ λέβητες,
ἀλλ' ὅλος εἰς αὐλὴν ζηνὸς ἔπαθλον ἔφυ.

Εἰς τοὺς δώδεκα ἄθλους τοῦ Ηρακλέους.

Δέρκεο μυριόμοχθε τεοὺς ἡράκλεις ἀγῶνας.
οὓς τλὰς, ἀθανάτων οἶκον ὄλυμπον ἔβης.
γηρυόνην. κλυτὰ μῆλα. μέγαν πόνον αὐγείαο.
πῶλους. ἱππολύτην. πευλυκάρηνον ὄφιν.
κάπρον θωΰκτῆρα. χάους κύνα. θῆρα νεμείης.
οἰωνούς. ταῦρον. μαιναλίην ἔλαφον.
νῦν δὲ κατ' ἄκρα πόληος ἀπορθήτοιο βεβηκὼς
περγαμίης, μεγάλους ῥύεο τηλεφίδας.

Εἰς τὸ αὐτό. Αδηλον.

Πρῶτα μὲν, ἐν νεμέῃ βριαρὸν κατέπεφνε λέοντα.
δεύτερον, ἐν λέρνῃ πολυαύχενον ὤλεσεν ὕδρην.
τὸ τρίτον αὖτ' ἐπὶ τοῖς, ἐρυμάνθιον ἔκτανε κάπρον.
χρυσόκερον δ' ἔλαφον μετὰ ταῦτ' ἤγρευσε τέταρτον.
πέμπτον δ' ὄρνιθας συμφηλίδας ἐξεδίωξεν.
ἕκτον, ἀμαζονίδος κόμισε ζωστῆρα φαεινόν.
ἕβδομον, αὐγείου πολλὴν κόπρον ἐξεκάθηρεν.
ὄγδοον, ἐκ κρήτης δὲ πυρίπνοον ἤλασε ταῦρον.
εἴνατον, ἐκ θρήκης Διομήδεος ἤγαγεν ἵππους.

Γηρυόνου δέκατον βόας ἤγαγεν ἐξ ἐρυθείης.
κέρβερον ἑνδέκατον κύν' ἀνήγαγεν ἐξ ἀΐδαο.
δωδέκατον δ' ἐκόμισεν ἐς ἑλλάδα χρύσεα μῆλα.
τὸ τρισκαιδέκατον, τοῖον λυγρὸν ἔσχεν ἄεθλον.
μουνοχὶ πεντήκοντα ξυνελέξατο κούραις.

Φιλίππου εἰς τὸ αὐτό.

Ὤλεσα τὸν νεμέας θῆρ' ἄπλετον, ὤλεσα δ' ὕδρην,
καὶ ταῦρον. κάπρου δ' ἀμφετίναξα γένυν.
ζωστῆρ' ἑλκύσας, πώλους διομήδεος εἷλον.
χρύσεα μῆλα κλάσας, γηρυόνην ἔλαβον.
αὐγείαν ἔδαην. κεμὰς οὐ φύγεν. ἔκτανον ὄρνις.
κέρβερον ἠγαγόμην. αὐτὸς ὄλυμπον ἔχω.

Εἰς τὸν αὐτὸν φονεύσαντα τὸν ἐν νε-
μέᾳ λέοντα. Ἀρχίου.

Μηκέτι ταυροβόροιο βαρὺ βρύχημα λέοντος
πτήσσετε ληϊνόμοι γειαρόται νεμέης.
ἦ γὰρ ὑφ' ἡρακλῆος ἀεισάθλοιο δέδουπεν,
αὐχέν' ἀθηροφόνοις ἀγχόμενος παλάμαις.
ποίμνας ἐξελάσασθε. πάλιν μυκηθμὸν ἀκούει
ἠχὼ, ἐρημαίης σύνναέτειρα νάπης.
καὶ σὺ λεοντόχλαινε πάλιν θωρήσσεο ξείνων,
ἥρης πρηΰνων μουνόθεοιο χόλον.

Εἰς τὸ αὐτὸ, Δα-
μαγήτου.

Ἐκ νεμέης ὁ λέων. ἀτὰρ ὁ ξένος, ἀργόθεν αἷμα.
πολλὸν ὁ μὲν, θηρῶν μείζον, ὁ δ' ἡμιθέων.
ἔρχονται δ' ἐς ἀγῶνα κατάντιον ὄμμα βαλόντες
λοξὸν ὑπὲρ ζωᾶς, καὶ βιοτᾶς σφετέρας.
ζεῦ πάτερ, ἀλλ' εἴη τὸν ἀπ' ἄργεος ἄνερα νικᾶν.
ἔμβατος ὡς αὖθι καὶ νεμέα τελέθοι.



ARAGONVM · ALEXAND… FERDINANDI

Εἰς τὸν αὐτὸν καὶ τὴν ἔλαφον.

Τί πρῶτον; τί δ' ἔπειτα φρεσὶν; τί δὲ λοίσθιον ὄσσοις;
θαυμάσω τέχνης ἀνέρος, ἠδ' ἐλάφου.
ὧν ὁ μὲν, ἰξύϊ θηρὸς ἐπεμβεβαὼς, γόνυ βρίθει,
διπλόρθων παλάμαις δραξάμενος κεράων.
ἡδ' ὑπὸ χάσματι πολλὰ, καὶ ἄσθματι φυσιόωσα,
γλώσσῃ σημαίνει, θλιβομένην κραδίην.
ἡρακλεῦ γήθησον. ὅλη κεμὰς ἠδὲ τέθηλεν.
οὐ κέρασιν μούνοις, ἀλλὰ τέχνῃ χρυσέῃ.

Εἰς τὸν αὐτὸν, καὶ τὸν
Ανταῖον.

Χαλκὸν ἀποιμώζοντα τίς ἔπλασε; τίς δ' ὑπὸ τέχνας
καὶ πόνον ἐκ μορφᾶς, καὶ θράσος εἰργάσατο;
ἔμψυχον τὸ πλάσμα. καὶ οἰκτείρω μογέοντα,
καὶ φρίττω κρατερὸν τὸν θρασὺν ἡρακλέην.
ἀνταῖον γὰρ ἔχει πεποιημένον ἐκ παλαμάων.
ὀδυνωθεὶς δὲ, δοκεῖ καὶ στοναχὰν ἰγύαι.

Εἰς τὸν αὐτὸν μεθύοντα.

Οὗτος ὁ νῦν ὕπνῳ βεβαρημένος, ἠδὲ κυπέλλῳ,
κενταύρους νήφων οἰνοβαρεῖς ὄλεσεν.

Εἰς τὸ αὐτό.

Οὗτος ὁ πανδαμάτωρ, ὁ παρ' ἀνδράσι δωδεκάεθλος
μελπόμενος, κρατερῆς εἵνεκεν ἠνορέης,
οἰνοβαρὴς μετὰ δαῖτα, μεθυσφαλὲς ἴχνος ἑλίσσει,
νικηθεὶς ἁπαλῷ λυσιμελεῖ βρομίῳ.

Εἰς ἕτερον ἀγῶνα τοῦ αὐτοῦ.

Χαίτην, καὶ ῥόπαλον, καὶ ἐν ὀφθαλμοῖσιν ἀταρβῆ
θυμὸν ὁρῶν, βλοσυρόν τ' ἀνδρὸς ἰ[illegible]ίνιον,
ζήτει δέρμα λέοντος ἐπ' εἰκόνι. κὴν μὲν ἐφεύρῃς,
ἡρακλέης. εἰ δ' οὔ, λυσιμάχοιο πίναξ.

Εἰς ἕτερον ἄγαλμα τοῦ αὐτοῦ.

Οἷῳ Θειοδάμας πρὶν ἀρώτερον ἡρακλῆϊ,
τοῖον ὁ τεχνίτης τὸν Διὸς εἰργάσατο,
βοῦν ἀρότην ἕλκοντα, καὶ αὐτανύοντα κορύνῃ.
ἀλλ' οὐ τὴν ὅλην γράψε βοοσφαγίην.
καὶ τάχα Θειοδάμαντι γοήμονα χείλεσι φωνὴν
ἥρμοσεν. ἧς ἀΐων φείδεται ἡρακλέης.

Εἰς εἰκόνα ἑτέραν
τοῦ αὐτοῦ.

Οἷον καὶ κρονίδης ἐσέδρακε τῇ τρισελήνῳ
νυκτὶ, καὶ εὐρυσθεὺς εἶδεν ἀεθλοφόρον,
ἠὲ πυρὸς εἰς ὄλυμπον ἐκώμασας ὦ βαρύμοχθε
ἀλκείδη, τοίην εἰκόνα σου βλέπομεν.
ἀλκμήνης δ' ὠδῖνας ἔχει λίθος. αἱ δὲ μεγαυχεῖς
θῆβαι, νῦν μύθων εἰσὶν ἀπιστότεραι.

Εἰς ἄγαλμα τοῦ αὐτοῦ,
Γεμίνου.

Ἡρακλεῦ, ποῦ σοι πρόρθος μέγας, ἥ τε νεμείη
χλαῖνα, καὶ ἡ τόξων ἔμπλεος ἰοδόκη;
ποῦ σοβαρὸν μίμημα; τίς ἔπλασεν ὧδε κατηφῆ;
Λύσιππος. χαλκῷ δ' ἐγκατέμιξ' ὀδύνην.
ἄχθῃ γυμνωθεὶς ὅπλων σέο; τίς δέ σ' ἔπερσεν;
ὁ πτερόεις. ὄντως εἷς βαρὺς ἆθλος, ἔρως.

Εἰς τὸ αὐτό. Φιλίππου.

Ἥρη τοῦτ' ἄρα λοιπὸν ἐβούλετο πᾶσιν ἐπ' ἄθλοις
ὅπλων γυμνὸν ἰδεῖν τὸν θρασὺν ἡρακλέα.
ποῦ χλαίνωμα λέοντος, ὅ, τ' εὐροίζητος ἐπ' ὤμοις
ἰὸς, καὶ βαρύπους ὄζος ὁ θηρολέτης;
πάντα σ' ἔρως ἀπέδυσε. καὶ οὐ ξένον, εἰ Δία κύκνον
ποιήσας, ὅπλων νοσφίσαθ' ἡρακλέα.



GRATIA ARAGONUM · ALEXANDER · FERDINANDUS · SANCTUS

Εἰς ἀνδριάντα Θησέως, καὶ τοῦ
μαραθωνίου ταύρου.

Θαῦμα τέχνης ταύρου τε, καὶ ἀνέρος. ὧν ὁ μὲν, ἀλκὰν
θῆρα βίῃ βρίθει, γῆα πιτναμένος.
ἶνας δ' αὐχενίους γναμπτῶν παλάμῃσιν ἔμαρψε
λαιῇ μυκτῆρας. δεξιτερῇ δὲ κέρας.
ἀστραγάλους δ' ἐλέλιξε. καὶ αὐχένα θὴρ ὑπὸ χερσὶν
δαμνάμενος κρατεραῖς, ὤκλασεν εἰς ὀπίσω.
ἔστι δ' ὀΐσασθαι τέχνης ὕπο. τῷ δ' ἐνὶ χαλκῷ,
θῆρα μὲν ἐμπνείειν, ἄνδρα δ' ἱδρῶτι ῥέειν.

Εἰς ἀνδριάντα Κα-
πανέως.

Εἰ τοῖος Θήβης Καπανεὺς ἐπεμήνατο πύργοις
ἅμμασιν ἠερίην κλίμακα μησάμενος,
εἷλεν ἂν ἄστυ βίῃ, καὶ ὑπὲρ μόρον. ἄζετο γάρ ῥα
καὶ σκηπτὸς Κρονίδου τοῖον ἑλεῖν πρόμαχον.

Γεμίνου εἰς ἄγαλμα
Σαλμωνέως.

Χείρ με Πολυκλείτου βασίη κάμεν. εἰμὶ δ' ἐκεῖνος
Σαλμωνεὺς, βρονταῖς ὃς Διὸς ἀντεμάνην,
ὅς με καὶ εἰν ἀΐδῃ πορθεῖ πάλι, καί με κεραυνοῖς
βάλλει, μισῶν μου κ' οὐ λαλέοντα τύπον.
ἴσχε Ζεῦ πρηστῆρα. μέθες χόλον, εἰμὶ γὰρ ἄπνους
ὁ σκοπός. ἀψύχοις εἰκόσι μὴ πολέμει.

Εἰς Ἴκαρον χαλκοῦν ἐν λουτρῷ
ἱσάμενον. Ἰουλιανοῦ.

Ἴκαρε, κηρὸς μέν σε διώλεσε. νῦν δέ σε κηρῷ
ἤγαγεν εἰς μορφὴν αὖθις ὁ χαλκοτύπος.
ἀλλ' ἄγε μὴ πτερὰ πάλλε κατ' ἠέρα, μὴ τὸ λοετρὸν
ἠερόθεν πίπτων, ἰκάριον τελέσῃς.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ἴκαρε, χαλκὸς ἐὼν, μιμνήσκεο, μὴ δέ σε τέχνη,
μὴ δ' ἀπάφῃ πτερύγων ζεῦγος ἐπωμάδιον.
εἰ γὰρ ζωὸς ἐὼν πέσες ἐν πελάγεσσι θαλάσσης,
πῶς ἐθέλεις πτῶσαι χάλκεον εἶδος ἔχων;

Εἰς Ἱππόλυτον διαλεγόμενον τῇ τροφῷ τῆς Φαίδρας. Ἀγαθίου σχολαστικοῦ.

Ἱππόλυτος τῆς γρηὸς ἐπ' οὔατι νηλέα μῦθον
φθέγγεται. ἀλλ' ἡμεῖς, οὐ δυνάμεσθα κλύειν.
ὅσσον δ' ἐκ βλεφάροιο μεμηνότος ἔστι νοῆσαι,
ὅττι παρεγγυάᾳ μηκέτ' ἄθεσμα λέγειν.

Εἰς εἰκόνα Τηλέφου τετρωμένου. Φιλοστράτου.

Οὗτος ὁ Τευθρανίας πρόμος ἔγχεος, οὗτος ὁ τόπρὶν
Τήλεφος αἱμάξας φοινὸν ἄρη Δαναῶν,
Μυσὸν ὅτε πλήθοντα φόνῳ ἐκέρασσε Κάϊκον,
οὗτος ὁ Πηλιακοῦ δούρατος ἀντίπαλος,
νῦν ὀλοὸν μηροῖ κεύθων βάρος, οἷα λιπόπνους
τήκεται, ἐμψύχῳ σαρκὶ συνελκόμενος.
οὗ καὶ τειρομένοιο ποθεῖ πτώσσοντες Ἀχαιοί,
φύρδην Τευθρανίας νεῦνται ἀπ' ἠϊόνος.

Εἰς εἰκόνα Φιλοκτήτου. Γλαύκου.

Καὶ τὸν ἀπὸ Τρηχῖνος ἰδὼν πολυώδυνον ἥρω,
τόνδε Φιλοκτήτην ἔγραφε Παῤῥάσιος.
ἔν τε γὰρ ὀφθαλμοῖς ἐσκληκόσι κωφὸν ὑποικεῖ
δάκρυ, καὶ ὁ τρύχων ἐντὸς ἔνεστι πόνος.
ζωογράφων ὤριστε σὺ μὲν σοφός. ἀλλ' ἀναπαῦσαι
ἄνδρα πόνων ἤδη τὸν πολύμοχθον ἔδει.

ALEXANDER · ARAGONIAM · SANCTUS FERDINANDUS

Εἰς τὸν αὐτόν.

Ἐχθρὸς ὑπὲρ δαναοὺς πλάσης ἐμὸς ἄλλος ὀδυσσεύς,
ὅς μ' ἐμνήσε κακῆς, οὐλομένης τε νόσου.
οὐκ ἤρκει πέτρη, τρῦχος, λύθρον, ἕλκος, ἀνίη,
ἀλλὰ καὶ ἐν χαλκῷ τὸν πόνον εἰργάσατο.

Εἰς τὸν αὐτόν. Ἰουλιανοῦ αἰγυπτίου.

Οἶδα φιλοκτήτην ὁρόων, ὅτι πᾶσι φαείνει
ἄλγος ἑὸν καὶ τοῖς τηλόθι δερκομένοις.
ἄγρια μὲν κομόωσαν ἔχει τρίχα. δεῦρ' ἴδε κόρσης
χαίτην, τριχαλέοις χρώμασιν αὐσταλέην.
δέρμα κατεσκληκὸς δὲ φέρει, καὶ ῥικνὸν ἰδέσθαι,
καὶ ταχὰ καρφαλέον χερσὶν ἐφαπτομένοις.
δάκρυα δὲ ξηροῖσιν ὑπὸ βλεφάροισι παγέντα
ἵσταται, ἀγρύπνου σῆμα δυηπαθίης.

Εἰς Πύῤῥον μέλλοντα σφάξαι τὴν Πολυξένην. Κοσμᾶ μηχανικοῦ.

Πύῤῥος ἐγώ. ποθέω δὲ πατρὸς χάριν. ἡ δὲ κυάνωπις,
παλλάδα κικλήσκει, γνωτὸν ἔχουσα Πάριν.

Εἰς Χείρωνα τὸν ἱπποκένταυρον.

Ἀνδρόθεν ἐκκέχυθ' ἵππος. ἀνέδραμε δ' ἱππόθεν ἀνήρ.

Εἰς τὸν αὐτόν. Ἄδηλα.

Ἀνὴρ νόσφι ποδῶν. κεφαλῆς δ' ἄτερ, αἰόλος ἵππος.

Εἰς τὸν αὐτόν.

Ἵππος ἐρεύγεται ἄνδρα. ἀνὴρ δ' ἀποπέρδεται ἵππον.

Εἰς τὸν αὐτόν. Εὐόδου.

Ἵππος ἔην ἀκάρηνος. ἀνὴρ δ' ἀτέλεστος ἐκεῖνος.
ὅν γε φύσις παίζουσα, θοῷ συνέκερσεν ἵππῳ.

Εἰς κυνέγειρον. Κορνηλίου.

Οὔ σε μάκαρ Κυνέγειρε τὸν ὡς κυνέγειρον ἔγραψε
Φᾶσις, ἐπεὶ βριαραῖς ἄνθεε σῶν παλάμαις,

ἀλλὰ σοφός τ.

ἀλλὰ σοφός τις ἐὼν ὁ ζωγράφος. οὐδέ σε χειρ
νόσφισε, τὴν χειρῶν εἵνεκεν ἀθάνατον.

Εἰς τὸν αὐτόν. Παύλου σιλεντιαρίου.

Μηδοφόνους μὲν χεῖρας ὑπὲρ γαμψοῖο κορύμβου
ναὸς ἀπορνυμένης δέξατο μοι κοπίδες,
ἁνίκα πᾶν Κυνέγειρε φυγὰς ποτὲ φορτὶς ἐκείνα,
ὥσπερ ἀπ' εὐναίας εἴχετο σᾶς παλάμας.
ἀλλὰ καὶ ὥς, ἀπρὶξ δόρυ νήϊον ἀμφιδλακοῦσαι,
ἄπνοον ὠμάρτευν ταρβος ἀχαιμενίοις.
καὶ τὰς μὲν, τις ἀνὴρ ἕλε βάρβαρος. ἁ δέ γε χειρῶν
νίκα, μοψοπίοις μίμνε παρ' ἐνναέταις.

Εἰς στήλην Ἀλεξάνδρου τοῦ μακε-
δόνος. Ποσειδίππου.

Λύσιππε πλάστα σικυώνιε, θαρσαλέη χείρ,
δάϊε τεχνῖτα, πῦρ τοι ὁ χαλκὸς ὁρῇ.
ὃν κατ' ἀλεξάνδρου μορφᾶς χέες. οὐκ ἔτι μεμπτοὶ
πέρσαι. συγγνώμη βουσὶ λέοντα φυγεῖν.

Εἰς τὸν αὐτόν. Ἀρχελάου. οἱ δὲ, Ἀσκληπιάδου.

Τόλμαν ἀλεξάνδρου, καὶ ὅλαν ἀπεμάξατο μορφὰν
Λύσιππος, τίν' ὅδε χαλκὸς ἔχει δύναμιν;
αὐδάσοντι δ' ἔοικεν ὁ χάλκεος, ἐς Δία λεύσσων.
γᾶν ὑπ' ἐμοὶ τίθεμαι. Ζεῦ, σὺ δ' ὄλυμπον ἔχε.

Εἰς τὸν αὐτόν. Ἄδηλον.

Αὐτὸν ἀλέξανδρον τεκμαίρεο. ὧδε τὰ κείνου
ὄμματα, καὶ ζωὸν θάρσος ὁ χαλκὸς ἔχει.
ὃς μόνος ἣν ἐφορῶσιν ἀπ' αἰθέρος αἱ Διὸς αὐγαί,
πᾶσαν Πελλαίῳ γῆν ὑπέταξε θρόνῳ.

Εἰς τὸν αὐτόν. Ἄδηλον.

Τοῦτον ἀλέξανσκον μεγαλήτορος υἷα φιλίππου
δέρκεαι, ἀρτιλόχευτον, ὀλυμπιὰς ὅν ποτε μήτηρ

κὰ ζόθυμον ἔπικτεν. ἀπ' ὠδίνων δέ μιν ἄρης
ἔργα μόθων ἐδίδαξε. τύχη δ' ἐκέλευσεν ἀμάσ(σειν

Ἄδηλα.

Μὰ τὸν εὐθοίναν ἡρακλέα παῖδες ἀγρόται,
οὐκ ἔτι κορδαλέοις ἔμβατα πάντα λύκοις.
φωρές τι στείχειν κλοπίην ὁδὸν ἀρνήσονται,
εἰ καὶ κωμήτας ἄκριτος ὕπνος ἔχει.
ἡ γάρ μ' ἵδρυται Διονύσιος οὐκ ἄτερ εὐχῆς.
χαίρω τῷ δ' ἀγαθὸν σύμμαχον ἡρακλέα.

Μὴ τρέσῃς ὅτι τόξον ὁδοιπόρε, καὶ νεοθηγεῖς
ἰοὺς γυμνώσας, πρόσθε ποδῶν ἐθέμην,
μὴ δ' ὅτι βαστάζω ῥόπαλον χερί, μὴ δ' ὅτι δέρμα
ἀμφ' ὤμοις χαροποῦ τοῦδε λέοντος ἔχω.
σημαίνειν οὐ πάντας ἐπίσταμαι, ἀλλὰ κακούργους.
καὶ σώζειν ἀγαθοὺς ἐξ ἀχέων δύναμαι.

Εἰς τὸν Ὀδυσσέα. Ἄδηλον.

Αἰεὶ λαερτιάδη πόντος βαρύς. εἰκόνα χεῦμα
ἔκλυσε, καὶ δέλτων τὸν τύπον ἠφάνισεν.
τί πλέον; ἐν ἐπέεσσιν ὁμηρείοις γὰρ ἐκείνου
εἰκὼν ἀφθάρτοις ἐγγράφεται σελίσιν.

Εἰς τὸν μινώταυρον. Ἄδηλον.

Ὁ παῖς ὁ ταῦρος, ὁ κατὰ μηδὲν ἐντελής,
ὁ τῆς τεκούσης τοῦ πάθους κατήγορος,
ὁ μιξόθηρ ἄνθρωπος, ἡ διπλῆ φύσις,
ὁ ταυρόκρανος, ἡ πλάνη τῶν σωμάτων,
ὃς οὔτε βοῦς πέφυκεν, οὔτ' ἀνὴρ ὅλως.

Εἰς Ὀρέστην. Ἄδηλον.

Τίς τὸν θρηΐκα τόνδε μονοκρήπιδα λυκοῦργον
χάλκεον ἠδωνῶν ταγὸν ἀνεπλάσατο;

Βακχιακὸν παρὰ πέτρον ἰδὼν ἀγέρωχα [illegible]μηνώς,
Βριθὺν ὑπὲρ κεφαλᾶς αὐτέτακεν χάλυβα.
μαινὰς μορφὰ τὸ πάλαι θράσος. ἀλλ' ἀγέρωχος.
λύσσα, καὶ ἐν χαλκῷ κεῖνο τὸ πικρὸν ἔχει.

Εἰς Ἰφιγένειαν. Ἄδηλον.

Μαίνεται Ἰφιγένεια. πάλιν δέ μιν εἶδος Ὀρέστου,
ἐς γλυκερὴν ἀνάγει μνῆστιν ὁμαιμοσύνης.
τῆς δὲ χολωομένης, καὶ ἀδελφὸν εἰσοροώσης,
οἴκτῳ καὶ μανίῃ βλέμμα συνεξάγεται.

Καλλιμάχου εἰς Ἠετίωνα.

Ἥρως Ἠετίωνος ἐπὶ σταθμὸν Ἀμφιπολίτεω
ἵδρυμαι μικρῷ μικρὸς ἐπὶ προθύρῳ,
λοξὸν ὄφιν, καὶ μοῦνον ἔχων ξίφος. ἀνδρὶ δὲ ἱππεῖ
θυμωθεὶς, πεζὸν κἀμὲ παρῳκίσατο.

## ΕΙΣ ΗΡΩΙΔΑΣ. 9

Εἰς ἄγαλμα Νιόβης.

Ἐκ ζωῆς με θεοὶ τεῦξαν λίθον. ἐκ δὲ λίθοιο,
ζωὴν Πραξιτέλης ἔμπαλιν εἰργάσατο.

Ἰουλιανοῦ αἰγυπτίου εἰς
τὸ αὐτό.

Δυστήνου Νιόβης ὁράας παναληθέα μορφὴν,
ὡς ἐπὶ μυρομένης πότμον ἑῶν τεκέων.
εἰ δ' ἄρα καὶ ψυχὴν οὐκ ἔλαχε, μὴ τόδε τέχνῃ
μέμφεο. θηλυτέρην εἴκασε λαϊνέην.

Ἀντιπάτρου εἰς τὸ αὐτό.

Ταντάλις ἅδε ποχ' ἅδε, δὶς ἑπτὰ τέκνα τεκοῦσα
γαστρὶ μιᾷ, Φοίβῳ θῦμα καὶ ἀρτέμιδι.
κούρα γὰρ προὔπεμψε κόραις φόνον, ἄρσεσι δ' ἄρσην.
δισσοὶ γὰρ δισσὰς ἔκτανον ἑβδομάδας.

ἁ δὲ τόσων ἀγέλας μάτηρ πάρος, ἁ πάρος εὔπαις,
οὐδ᾽ ἐφ᾽ ἑνὶ τλάμων λείπεται γηροκόμῳ.
μάτηρ δ᾽ οὐχ ὑπὸ παισὶν, ὅπερ θέμις, ἀλλ᾽ ὑπὸ ματρὸς
παῖδες ἐν ἀλγινοὺς πάντες ἄγοντο τάφους.
Τάνταλε, καὶ δέ σε γλῶσσα διώλεσε, καὶ σέο κούραν.
χἀ μὲν ἐπετρώθη, σοὶ δ᾽ ἔπι δεῖμα λίθος.

Θεοδωρίδου εἰς τὸ
τὸ αὐτό.

Στᾶθι πέλας. δάκρυσον ἰδὼν ξένε μυρία πένθη
τᾶς ἀθυρογλώσσου Τανταλίδος Νιόβας.
ἇς ὧδε γᾶς ἔτρωσε δυωδεκάπαιδα λοχείην
ἄρτι, τὰ μὲν Φοίβου τόξα, τὰ δ᾽ Ἀρτέμιδος.
ἁ δὲ, λίθου, καὶ σαρκὶ μεμιγμένον εἶδος ἔχουσα,
πετροῦται. στονάχει δ᾽ ὑψιπαγὴς Σίπυλος.
θνατοῖς γὰρ γλῶσσα, δολία νόσος. ἁ ἀχάλινος
ἀφροσύνα, τίκτει πολλάκι δυστυχίαν.

Ἀντιπάτρου εἰς τὸ αὐτό.

Τίπτε γύναι πρὸς Ὄλυμπον ἀναιδέα χεῖρα νένευκας,
ἔνθεον ἐξ ἀθέου κρατὸς ἀφεῖσα κόμαν,
Λατοῦς παπταίνουσα πολὺν χόλον, ὦ πολύτεκνε;
νῦν στένε τὰν πικρὰν, καὶ φιλάβουλον ἔριν.
ἁ μὲν γὰρ παίδων σπαίρει πέλας. ἁ δὲ, λιπόπνους
κέκλιται. ἃ δὲ, βαρὺς πότμος ὧδε κρέμαται.
καὶ μόχθων οὔπω τόδε σοι τέλος, ἀλλὰ καὶ ἄρσην
ἔρρωται τέκνων ἑσμὸς ἀποφθιμένων.
ὦ βαρὺ δακρύσασα γενέθλιον, ἄπνοος αὐτὰ
πέτρος ἔσῃ Νιόβα, κἀδὲ τειρομένα.

Μελεάγρου εἰς τὸ αὐτό.

Τανταλὶ παῖ Νιόβα, κλῦ᾽ ἐμὰν φάτιν, ἄγγελον ἄτας,
δέξαι σῶν ἀχέων οἰκτροτάταν λαλιάν.

λῦε κόμας ἀνάδεσμον. ἰὼ βαρυπενθὲς ἰδέσθαι
γειναμένα τόξοις ἀρσενόπαιδα γόνον.
ὅσσοι παῖδες ἔτ' εἰσίν. ἀτὰρ τί τόδ' ἄλλο τι λεύσσω;
αἶ, αἶ, πλημμυρεῖ παρθενικαῖσι φόνος.
ἁ μὲν γὰρ ματρὸς περὶ γούνασιν. ἁ δ' ἐνὶ κόλποις
κέκλιται. ἁ δ' ἐπὶ γᾶς. ἁ δ' ἐπὶ μαστίδιος.
ἄλλα δ' ἀντωπὸν θαμβεῖ βέλος. ἁ δ' ἐπ' ὀϊστοῖς
πτώσσει. τᾶς δ' ἔμπνουν ὄμμ' ἔτι φῶς ὁράᾳ.
ἁ δὲ λάλον στέρξασα πάλαι στόμα, νῦν ὑπὸ θάμβευς
μάτηρ, σαρκοπαγὴς οἷα πέπηγε λίθος.

Εἰς εἰκόνα Μηδείας ἐν ῥώμῃ.

Ἄδηλον.

Τέχνη Τιμομάχου στοργὴν καὶ ζῆλον ἔδειξε,
Μηδείης, τέκνων εἰς μόρον ἑλκομένων.
τῇ μὲν γὰρ συνένευσεν ἐπὶ ξίφος. ἡ δ' ἀνανεύει,
σώζειν καὶ κτείνειν βουλομένη τέκεα.

Ἀντιφίλου Βυζαντίου εἰς τὸ αὐτό.

Τὰν ὀλοὰν Μήδειαν ὅτ' ἔγραφε Τιμομάχου χείρ,
ζάλῳ, καὶ τέκνοις ἀντιμεθελκομέναν,
μυρίον ἄρατο μόχθον, ἵν' ἤθεα δισσὰ χαράξῃ.
ὧν τὸ μὲν εἰς ὀργὰν νεῦε, τὸ δ' εἰς ἔλεον.
ἄμφω δ' ἐπλήρωσεν. ὅρα τύπον. ἐν γὰρ ἀπειλᾷ,
δάκρυον. ἐν δ' ἐλέῳ, θυμὸς ἀναστρέφεται.
ἀρκεῖ δ' ἁ μέλλησις ἔφα σοφός. αἷμα δὲ τέκνων,
ἔπρεπε Μηδείῃ, κοὐ χερὶ Τιμομάχου.

Εἰς τὸ αὐτό. Φιλίππου.

Τίς σου Κολχὶς ἄθεσμε συνέγραφεν εἰκόνι θυμόν,
τίς καὶ ἐν εἰδώλῳ βάρβαρον εἰργάσατο;
αἰεὶ γὰρ διψᾷς βρεφέων φόνον. ἦ τις Ἰήσων
δεύτερος, ἢ Γλαύκη; τίς πάλι σοι πρόφασις;

ἔρξε καὶ ἀκηρῷ παιδοκτόνε. σῶν γὰρ ἀμέτρων
ζήλων εἰς ἃ θέλεις, καὶ γραφὶς αἰσθάνεται.

Ἀδέσποτον εἰς τὸ αὐτό.

Δεῦρ' ἴδε παιδολέτειραν ἐν εἰκόνι. δεῦρ' ἴδ' ἄγαλμα
Κολχίδα Τιμομάχου χειρὶ τυπωσαμένην.
φάσγανον ἐν παλάμῃ. θυμὸς μέγας. ἄγριον ὄμμα.
παισὶν ἐπ' οἰκτίστοις, δάκρυ κατερχόμενον.
πάντα δ' ὁμοῦ συνέχουσιν. ἄμικτά τε εἰς ἓν ἀγείρας,
αἵματι μὴ χρῶσαι φεισάμενος παλάμαν.

Ἰουλιανοῦ αἰγυπτίου εἰς τὸ αὐτό.

Τιμόμαχος Μήδειαν ὅτ' ἔγραφεν, εἰκόνι μορφᾶς
ἀψύχου, ψυχὰς θήκατο διχθαδίας.
ζᾶλον γὰρ λεχέων, τεκέων θ' ἅμα φίλτρα συνάψας,
δεῖξεν ἐν ὀφθαλμοῖς ἀντιμεθελκομένην.

Ἀδήλου εἰς τὸ αὐτό.

Δεῦρ' ἴδε καὶ θάμβησον ὑπ' ὀφρύσι κείμενον οἶκτον,
καὶ θυμὸν βλεφάρων, καὶ πυρόεσσαν ἴτυν,
καὶ μητρὸς παλάμην, ἀλόχοιό τε πικρὰ παθούσης,
ὁρμῇ φειδομένῃ πρὸς φόνον ἑλκομένην.
ζωγράφος εὖ δ' ἔκρυψε φόνου τέλος, οὐκ ἐθελήσας
θάμβος ἀπαμβλῦναι πρὶν θεῖ δερκομένων.

Φιλίππου εἰς τὸ αὐτό.

Κολχίδα τὴν ἐπὶ παισὶν ἀλάστορα βαιὲ χελιδὼν,
πῶς ἔτλης τεκέων μαῖαν ἔχειν ἰδίων;
ἧς ἔτι κανθὸς ὕφαιμος ἐπαστράπτει φόνιον πῦρ,
καὶ πολιὸς γενύων ἀφρὸς ἄπο σαλάει.
ἀρτιβρεχὴς δὲ σίδηρος ἐφ' αἵματι. φεῦγε πανώλη
μητέρα, καὶ ἐν κηρῷ τεκνοφονεῦσαν ἔτι.

Εἰς ἄγαλμα τῆς αὐτῆς.

Μαίνη καὶ λίθος οὖσα· καὶ ἐκ κραδίης σέο θυμὸς
ὄμματα κοιλήνας, οὐ χόλον ηὐτρέπισεν.
ἔμπης οὐδὲ βάσις σε καθέξεται· ἀλλ᾽ ἄρα θυμῷ
πηδήσεις, τεκέων εἵνεκα μαινομένη.
ὦ, τίς ὁ τεχνίτης τόδε γ᾽ ἔπλασεν, ἢ τίς ὁ γλύπτης,
ὃς λίθον εἰς μανίην ἤγαγεν εὐτεχνίῃ.

Ἀντιπάτρου Μακεδόνος
εἰς τὸ αὐτό.

Μηδείης τύπος οὗτος. ἴδ᾽ ὡς τὸ μὲν, εἰς χόλον αἴρει
ὄμμα, τὸ δ᾽ εἰς παίδων ἔκλασε συμπαθίην.

Εἰς τὸ αὐτό.

Οἶκτον ὁμοῦ, καὶ λύσσαν ἐτήτυμον ἄνθεος ἀνὴρ
μορφαῖς ἐγκατέμιξε βιαζομένην δ᾽ ὑπὸ τέχνης
λαΐνεην Μήδειαν ὅλης ἔμνησεν ἀνίης.

Ἀραβίου σχολαστικοῦ εἰς Ἀταλάντην καὶ Ἱππομένην.

Ἕδνα γάμων ἔρριπτεν, ἢ ἀμβολίην ταχυτῆτος,
τοῦτο γέρας κούρη χρύσεον ἱππομένους.
ἄμφω μῆλον ἄνυσσεν, ἐπεὶ καὶ παρθένον ὁρμῆς
εἶργεν, καὶ ζυγίης σύμβολον ἦν Παφίης.

Εἰς ἄγαλμα Ἀριάδνης.

Οὐ βροτὸς ὁ γλύπτας. οἵαν δέ σε Βάκχος ἐραστὰς
εἶδεν, ὑπὸρ πέτρας ἔξεσε κεκλιμέναν.

Εἰς τὸ αὐτό.

Ξεῖνοι, λαΐνεας μὴ ψαύετε τᾶς Ἀριάδνας,
μὴ καὶ ἀναθρώσκῃ Θησέα διζομένη.

Ἀντιφίλου εἰς Ἀνδρομέδαν.

Αἰθιόπων ἁ πόλις. ὁ δὲ πτερόεις τὰ πέδιλα,
Περσεύς· ἁ δὲ λίθῳ πρόσδετος, Ἀνδρομέδα.

ἃ πρὸ τῶν, γοργοῦς λιθοδερκέος. ἆθλον ἔρωτος,
κῆτος. Κασσιόπας, ἃ λάλος εὐτεκνίη.
χάμψε, ἀπὸ σκοπέλοιο χαλὰξ πόδας ἤθαδε νάρκα
νωθρόν. ὁ δὲ μνηστὴρ νυμφοκομεῖ τὸ γέρας.

Εἰς τὴν αὐτὴν Ἀραβίου
σχολαστικοῦ.

Κηφεὺς Ἀνδρομέδην, ἢ ζωγράφος αὔθετο πέτραις.
καὶ γὰρ ἀπ' ὀφθαλμῶν ἡ κρίσις ἀμφίβολος.
κῆτος δὲ σπιλάδεσσιν ὅθι γναμπτῇσι χαράχθη,
ἢ ἀπὸ Νηρῆος γείτονος ἐξανέδυ.
ἔγνων ταῦτα. σοφός τις ἀνὴρ κάμε. δεινὸς ἀληθῶς,
τεύξατο καὶ βλεφάρων καὶ πραπίδων ἀπάτην.

Εἰς εἰκόνα ἑλένης
τοῦ αὐτοῦ.

Ἀργείης ἑλένης ἱερὸς τύπος, ἥν ποτε βούτης
ἥρπασε, τὴν ξενίου Ζηνὸς παρωσάμενος.

Εἰς στήλην πολυξένης.
Γωλιανοῦ.

Ἅδε πολυκλείτοιο Πολυξένα. οὐδέ τις ἄλλα
χεὶρ ἔθιγεν τούτου δαιμονίου πίνακος.
ἥρας ἔργον, ἀδελφόν. ἰδ' ὡς πέπλοιο ῥαγέντος,
τὰν αἰδῶ γυμνὰν σώφρονι κρύπτε πέπλῳ.
λίσσεται ἁ τλάμων ψυχᾶς ὕπερ. ἐν βλεφάροις δὲ
παρθενικᾶς, ὁ φρυγῶν κεῖται ὅλος πόλεμος.

Εἰς εἰκόνα Διδοῦς. Ἀδέ-
σποτον.

Ἀρχέτυπον Διδοῦς ἐρικυδέος ὦ ξένε λεύσσεις,
εἰκόνα θεσπεσίῳ κάλλεϊ λαμπομένην.
τοίη καὶ γενόμην. ἀλλ' οὐ νόον, οἷον ἀκούεις,
αἴσχρον, ἐπ' εὐφήμοις δόξαν ἐνεγκαμένη.

οὐδὲ γὰρ Αἰνείαν πότ' ἐσέδρακον, οὐδὲ χρόνοις
τροίης περθομένης, ἤλυθον ἐν λιβύῃ.
ἀλλὰ βίας φεύγουσα ἰαρβαίων ὑμεναίων,
πῆξα κατὰ κραδίης φάσγανον ἀμφίτομον.
πιερίδες, τί μοι ἁγνὸν ἐφωπλίσσασθε Μάρωνα;
τοῖα καθ' ἡμετέρης ψεύσατο σωφροσύνης.

ΓΑΥΡΑΔΑ ΕΙΣ ΑΓΑΛΜΑ ΗΧΟΥΣ. ΙΟ
παρὰ τοῦ Πανός.

Αχὼ φίλα μοι, συγκαταίνεσον τί. τί;
ἐρῶ Κορίσκας. ἅδέ μ' οὐ φιλεῖ. φιλεῖ.
πρᾶξαι δ' ὁ καιρὸς καιρὸν οὐ φέρει. φέρει.
τὺ τοίνυν αὐτᾷ λέξον ὡς ἐρῶ. ἐρῶ.
καὶ πίστιν αὐτᾷ κερμάτων τὺ δός. τὺ δός.
ἀχώ, τί λοιπὸν, ἢ πόθου τυχεῖν; τυχεῖν.

Σατύρου εἰς τὸ αὐτό.

Ποιμένιαν ἄγλωσσον ἀν' ὀργάδα μέλπεται ἀχώ,
ἀντίθρουν, πτανοῖς ὑστερόφωνον ὄπα.

Εἰς τὸ αὐτὸ Λουκιανοῦ.
οἱ δὲ, Αρχίου.

Ηχὼ πετρήεσσαν ὁρᾷς φίλε, Πανὸς ἑταίρην,
ἀντίτυπον φθογγὴν ἔμπαλιν ᾀσομένην.
παντοίων στομάτων λάλον εἰκόνα, ποιμέσιν ἡδὺ
παίγνιον. ὅσσα λέγεις, ταῦτα κλύων, ἄπιθι.

Εὐόδου εἰς τὸ αὐτό.

Ηχὼ μιμολόγον, φωνῆς τρύγα, ῥήματος οὐρήν.

Εἰς τὸ αὐτό.

Αρκαδικὰ θεός εἰμι. παρὰ προθύροις δὲ λυαίου
ναίω, φθεγγομένων μῦθον ἀμειβομένα.

οὐκ ἔτι ν συγέω Βάκχου φίλε τὸν θιασώταν
τὸν τεόν. ἔρχεο Πάν. ξυνὰ λέγωμεν ἔπη.

## ΕΙΣ ΘΑΛΑΣΣΑΝ. ΙΙ

Φιλίππου μακεδόνος.

Ἐζεύξ' ἑλλήσποντον ὁ βάρβαρος ἄφρονι τόλμᾳ.
τοῦ δὲ τόσους καμάτους πάντας ἔλυσε χρόνος.
ἀλλὰ Δικαιαρχεία δ' ἠπειρῶσε θάλασσαν,
καὶ βυθὸν εἰς χέρσου σχῆμα μετεπλάσατο.
λᾶα βαθυσήριγγα κατερρίζωσε πέλωρον,
χερσὶ γιγαντείαις δ' ἔστασε νέρθεν ὕδωρ.
Ἦν δ' αἰεὶ πλώειν. διοδευομένη δ' ἤδη ναύταις
ἄστατος, εἰς πεζοὺς ὡμολόγησε μένειν.

Εἰς σκύλλαν χαλκῆν.

Εἰ μὴ χαλκὸς ἔλαμπεν, ἐμήνυε δ' ἔργον ἄνακτος
ἔμμεναι Ἡφαίστου δαιδαλέοιο τέχνης,
αὐτὴν ἄν τις σκύλλαν ὀΐσατο τηλόθε λεύσσων
ἑσταμένην ἐκ πόντου γαῖαν ἀμειψαμένην.
τόσσον ἀπειλείει, τόσσον κότον αὐτίκα φαίνει,
οἷον ἀπὸ πελάγους συγκλονέουσα νέας.

Εἰς τὸν καλυδώνιον κάπρον

Χάλκεος. ἀλλ' ἄθρησον ὅσον θράσος ἤνυσε κάπρου
ὁ πλάστας, ἔμπνουν θῆρα τυπωσάμενος,
χαίτας αὐχενίους, πεφρικότα, θηκτὸν ὀδόντα
βρύχοντα, γλήναις φρικτὸν ἰέντα σέλας,
ἀφρῷ χείλεα πάντα δεδευμένα. οὐκ ἔτι θάμβος,
εἰ λογάδα στρατιὴν ὤλεσεν ἡμιθέων.

## ΕΙΣ ΑΓΑΛΜΑΤΑ ΘΕΩΝ, ΚΑΙ ΘΕΑΙΝΩΝ. ΙΒ

Εἰς τὴν ἐν ἀθήναις ἔνοπλον ἀθηνᾶν.
Ἰουλιανοῦ ἀπὸ ὑπάρχων.

Τίπτε Τριτογένεια κορύσσεται ἄστεϊ μέσσῳ;
εἶξε Ποσειδάων, φείδεο Κεκροπίης.

Εἰς ἄγαλμα ἡφαίστου, ἀθηνᾶς,
καὶ ἐρεχθέως.

Ἡ τέχνη συνάγειρεν, ἃ μὴ φύσις. εἶπεν ὁ πλάστης,
μῆτερ νόσφι τόκων, νυμφίε νόσφι γάμων.

Εἰς στήλην ἄρεος κεκοσμημένην ἐν θράκῃ.

Εἰσόκε θέσμιος οὗτος ἐπὶ χθονὶ κέκλιται ἄρης,
οὔποτε Θρηϊκίης ἐπιβήσεται ἔθνεα γότθων.

Εἰς ἄγαλμα ἀφροδίτης,
καὶ ἄρεος.

Ἄρεα καὶ παφίην ὁ ζωγράφος ἐν μέσον οἴκου
ἀμφιπόδεσι πλέγδην γέγραφεν ἀμφοτέρους.
ἐκ θυρίδος δὲ μολὼν φαέθων, πολυπάμφαος αἴγλη,
ἔστη ἀμηχανόων ἀμφοτέρους σκοπέων.
ἠέλιος βαρύμηνις ἕως τίνος; οὐδ' ἐπὶ κηροῦ
ἤθελεν ἀψύχου τὸν χόλον ἐξελάσαι.

Εἰς ἄγαλμα ἀρτέμιδος. Διοτίμου.

Ὡς πρέπει ἄρτεμίς εἰμι. εἶδ' ἄρτεμιν αὐτὸς ὁ χαλκεὺς
μανύει Ζηνός, κοὐχ ἑτέρου θύγατρα,
τεκμαίρου τὸ θράσος τᾶς παρθένου. ἦ ῥά κεν εἴποις,
πᾶσα χθὼν ὀλίγον τᾶδε κυναγέσιον.

Εἰς ἀπόλλωνα. Ἀντιπάτρου.

Βοῦπαις ὤπολλων τόδε χάλκεον ἔργον ὀνατᾶ,
ἀγλαΐης Λητοῖ, καὶ Διῒ μαρτυρίη.

ARAGONVM · ALEXAND ... GRATIA REX ... FERDINANDI

οὐδ' ὅτ' .ἄσδε μάτην Ζεὺς ἤρατο, χεῖλε κατ' αἶνον,
ὄμματα, καὶ κεφαλὴν ἀγλαὸς ὁ Κρονίδης,
οὐδ' ἥρη νεμεσητὸν ἐχεύατο χαλκὸν ὀνατᾶς,
ὃν μετ' ἐλευθερίης ἴδιον ἀπεπλάσατο.

Εἰς ἄγαλμα ἀφροδίτης τῆς ἐν κνίδῳ.

Τίς λίθον ἐψύχωσε; τίς ἐν χθονὶ Κύπριν ἐσεῖδεν;
ἵμερον ἐν πέτρῃ τίς τόσον εἰργάσατο;
πραξιτέλους χειρῶν ὅδε που πόνος. ἢ τάχ' ὄλυμπος
χηρεύει, παφίης ἐς κνίδον ἐρχομένης.

Πλάτωνος εἰς τὸ αὐτό.

Η παφίη κυθέρεια, δι' οἴδματος ἐς κνίδον ἦλθε,
βουλομένη κατιδεῖν εἰκόνα τὴν ἰδίην.
πάντη δ' ἀθρήσασα περισκέπτῳ ἐνὶ χώρῳ,
φθέγξατο, ποῦ γυμνὴν εἶδέ με Πραξιτέλης;
πραξιτέλης οὐκ εἶδεν, ἃ μὴ θέμις, ἀλλ' ὁ σίδηρος
ἔξεσ' οἵαν ἄρης ἤθελε, τὴν παφίην.

Εἰς τὸ αὐτό.

Α κύπρις, τὰν Κύπριν ἐνὶ κνίδῳ εἶπεν ἰδοῦσα,
φεῦ, φεῦ, ποῦ γυμνὴν εἶδέ με Πραξιτέλης;

Εἰς τὸ αὐτὸ Πλάτωνος.

Οὔτε σε Πραξιτέλης τεχνάσατο, οὐθ' ὁ σίδηρος,
ἀλλ' οὕτως ἕστης, ὥς ποτε κρινομένη.

Λουκιανοῦ εἰς τὸ αὐτό.

Τὴν Παφίην γυμνὴν οὐδεὶς ἴδεν. εἰ δέ τις εἶδεν,
οὗτος ὁ τὴν γυμνὴν στησάμενος Παφίην.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Σοὶ μορφῆς ἀνέθηκα τεῆς περικαλλὲς ἄγαλμα
Κύπρι, τεῆς μορφῆς φέρτερον οὐδὲν ἔχων.

Εὐήνου εἰς τὸ αὐτό.

Παλλὰς, καὶ Κρονίδαο συνευνέτις, εἶπον ἰδοῦσαι
τὴν Κνιδίην, ἀδίκως τὸν Φρύγα μεμφόμεθα.

Εἰς τὸ αὐτό.

Γυμνὴν εἶδε Πάρις με, καὶ Ἀγχίσης, καὶ Ἄδωνις.
τοὺς τρεῖς οἶδα μόνους. Πραξιτέλης δὲ, πόθεν;

Εἰς τὸ αὐτὸ, καὶ εἰς τὴν ἐν
ἀθήναις ἀθηνᾶν.

Ἀφρογενοῦς Παφίης ζάθεον προσιδέρκεο κάλλος.
καὶ λέξεις, αἰνῶ τὸν Φρύγα τῆς κρίσεως.
Ἀτθίδα δερκόμενος πάλι Παλλάδα, τοῦτο βοήσεις,
ὡς βούτης ὁ Πάρις τήνδε παρετρόχασεν.

Ἑρμοδώρου εἰς τὸ αὐτό.

Τὰν κνιδίαν Κυθέρειαν ἰδὼν ξένε, τοῦτο κεν εἴποις,
αὐτὰ καὶ θνατῶν ἄρχε, καὶ ἀθανάτων.
Τὰν δ' ἐνὶ Κεκροπίδαις δορυθαρσέα Παλλάδα λεύσσων,
αὐδάσεις, ὄντως βουκόλος ἦν ὁ Πάρις.

Εἰς τὴν αὐτὴν ἀφροδίτην ὡπλισμένην.

Λεωνίδου.

Ἄρεος ἔντεα ταῦτα, τίνος χάριν ὦ Κυθέρεια
ἐνδέδυσαι, κενεὸν τοῦτο φέρουσα βάρος;
αὐτὸν Ἄρη γυμνὴ γὰρ ἀφώπλισας. εἰ δὲ λέλειπται
καὶ θεὸς ἀνθρώποις ὅπλα μάτην ἐπάγεις.

Ἀλεξάνδρου αἰτωλοῦ εἰς τὸ αὐτό.

Αὐτά που τὰν Κύπριν ἀπηκριβώσατο Παλλὰς,
τάς ἐπ' ἀλεξάνδρου λαθομένα κρίσιος.

Εἰς τὴν ἐν σπάρτῃ ἔνοπλον ἀφροδίτην.

Ἰουλιανοῦ ἀπὸ ὑπάρχων αἰγυπτίου.

Αἰεὶ μὲν κυθέρεια φέρειν δεδάηκε φαρέτρην,
τόξα τε, καὶ δολιχῆς ἔργον ἑκηβολίης.

ALEXAND... ARAGONVM ... FERDINANDVS

αἰδόμεναι δ᾽ ἄρα θεσμὰ μενεπτολέμοιο Λυκούργου,
φίλτρα φέρει παρ᾽ ἀρετῇ τεύχεσιν ἀγχεμάχοις.
ὑμεῖς δ᾽ ἐν θαλάμοισι Λακωνίδες, ὅπλα Κυθείρης
ἀζόμεναι, παῖδας τίκτετε θαρσαλέους.

Εἰς τὴν αὐτήν. Ἀδέσποτον.

Παλλὰς τὰν Κυθέρειαν ἔνοπλον εἶπεν ἰδοῦσα,
Κύπρι, θέλεις οὕτως ἐς κρίσιν ἐρχόμεθα;
ἡ δ᾽ ἁπαλὸν γελάσασα, τί μοι σάκος ἀντίον αἴρειν;
εἰ γυμνὴ νικῶ, πῶς ὅταν ὅπλα λάβω;

Ἐπὶ εἰς τὴν ἐν Κνίδῳ. Ἀντιπάτρου Σιδωνίου.

Φαίσεις τὰν μὲν Κύπριν ἀνὰ κραναὰν Κνίδον ἀθρῶν,
ἅδε που ὡς φλέξει καὶ θεὸς οὖσα λίθον.
τὸν δ᾽ ἐνὶ Θεσπιάδαις γλυκὺν ἵμερον, οὐχ ὅτι πέτρον,
ἀλλ᾽ ὅτι κἂν ψυχρῷ πῦρ ἀδάμαντι βαλεῖ.
τοίους Πραξιτέλης κάμε δαίμονας, ἄλλον ἐπ᾽ ἄλλας
γᾶς, ἵνα μὴ δισσῷ πάντα θέροιτο πυρί.

Τοῦ αὐτοῦ εἰς τὴν αὐτὴν ἀνερχομένην ἀπὸ θαλάσσης.

Τὰν ἀναδυομέναν ἀπὸ ματέρος ἄρτι θαλάσσας
Κύπριν Ἀπελλείου μόχθον ὅρα γραφίδος.
ὡς χερὶ συμμάρψασα διάβροχον ὕδατι χαίταν,
ἐκθλίβει νοτερὸν ἀφρὸν ἀπὸ πλοκάμων.
αὐταὶ νῦν ἐρέουσιν, Ἀθηναίη τε, καὶ Ἥρη,
οὐκ ἔτι σοι μορφᾶς εἰς ἔριν ἐρχόμεθα.

Ἀρχίου εἰς τὴν αὐτήν.

Αὐτὰν ἐκ πόντοιο τιθηνητῆρος Ἀπελλῆς
τὰν Κύπριν γυμνὰν εἶδε λοχευομέναν.
καὶ τοίαν ἐτύπωσε διάβροχον ὕδατος ἀφρῷ,
θλίβουσαν θαλεραῖς χερσὶν ἔτι πλόκαμον.

Δημοκρίτου εἰς τὴν αὐτήν.

Κύπρις ὅτε σταλάουσα κόμας ἁλιμυρέος ἀφροῦ,
γυμνὴ πορφυρέου κύματος ἐξανέδυ.
οὕτω τοι κατὰ λευκὰ παρήϊα χερσὶν ἑλοῦσα
βόστρυχον, αἰγαίῳ ἐξεπίεζεν ἅλα,
στέρνα μόνον φαίνουσα. τά, καὶ θέμις. εἰ δὲ τοιήδε
κείνη, συγχείσθω θυμὸς ἐνυάλιος.

Ἰουλιανοῦ ἀπὸ ὑπάρχων εἰς τὴν αὐτήν.

Ἄρτι θαλασσαίης παφίη προὔκυψε λοχείης
μαῖαν, ἀπελλαίην εὑραμένη παλάμην.
ἀλλὰ τάχος γραφίδων ἀποχάζεο, μή σε διήνη
ἀφρὸς ἀποστάζων, θλιβομένων πλοκάμων.
εἰ τοίη ποτὲ Κύπρις ἐγυμνώθη διὰ μῆλον,
τὴν τροίην ἀδίκως Παλλὰς ἐληΐσατο.

Εἰς τὴν αὐτὴν Λεωνίδου
ταραντίνου.

Τὰν ἐκφυγοῦσαν ματρὸς ἐκ κόλπων ἔτι,
ἀφρῷ τε μορμύρουσαν εὐλεχῆ Κύπριν,
εἰδὼς ἀπελλῆς κάλλος ἱμερότατον,
οὐ γραπτόν, ἀλλ' ἔμψυχον ἐξεμάξατο.
εὖ μὲν γὰρ ἄκραις χερσὶν ἐκθλίβει κόμαν,
εὖ δ' ὀμμάτων γαληνὸς ἐκλάμπει πόθος,
καὶ μαζὸς ἀκμῆς ἄγγελος κυδωνιᾷ.
αὐτὰ δ' ἀθάνα, καὶ Διὸς συνευνέτις,
φάσουσιν, ὦ Ζεῦ, λειπόμεθα τῇ κρίσει.

Ἔτι εἰς τὴν ἐν κνίδῳ. Εὐήνου.

Πρόσθε μὲν ἰδαίοισιν ἐν οὔρεσιν αὐτὸς ὁ βούτας
δέρξατο τὰν κάλλευς πρῶτ' ἀπενεγκαμέναν.
πραξιτέλης κνιδίοις δὲ πανωπήεσαν ἔθηκεν,
μάρτυρα τῆς τέχνης ψῆφον ἔχων Πάριδος.

εἰς τὸ ἐν σπάρτῃ. Ἀντιπάτρου.

Καὶ λίθος ὡς Παφίη θωρήξατο. ἢ τάχα μᾶλλον
εἶδε λίθον Παφίη. καὶ ὤμοσεν ἤθελον εἶναι.

Εἰς τὸ ἐν σπάρτῃ.

Ἀντιπάτρου.

Καὶ Κύπρις σπάρτας, οὐκ ἄστεσιν οἷα τ' ἐν ἄλλοις
ἵδρυται, μαλακὰς ἑσσαμένα στολίδας,
ἀλλὰ κατὰ κρατὸς μὲν ἔχει κόρυν ἀντὶ καλύπτρης.
ἀντὶ δὲ χρυσείων ἀκρεμόνων, κάμακα.
οὐ γὰρ χρὴ τευχέων εἶναι δίχα τὰν παράκοιτιν
θρακὸς ἐνυαλίου, καὶ λακεδαιμονίαν.

Φιλίππου εἰς τὸ αὐτό.

Κύπρι φιλομμειδὴς, θαλαμηπόλε, τίς σε μελιχρὴν
δαίμονα τοῖς πολέμων ἐστεφάνωσεν ὅπλοις;
σοὶ παιὰν φίλος ἦν, καὶ ὁ χρυσοκόμης ὑμέναιος;
καὶ λιγυρῶν αὐλῶν ἡδυμελεῖς χάριτες.
ἐς τί δὲ ταῦτ' ἐνέδυς ἀνδροκτόνα; μὴ, θρασὺν ἄρη
συλήσασ' αὐχεῖς; Κύπρις ὅσον δύναται.

Εἰς ἄγαλμα Διονύσου πλησίον
ἀθηνᾶς ἑστός.

Εἰπὲ τί σοι ξυνὸν, καὶ παλλάδι. τῇ γὰρ ἄκοντες,
καὶ πόλεμοι. παρὰ σοὶ δ' εὔαδον εἰλαπίναι.
μὴ προπετῶς ὦ ξεῖνε, θεῶν πέρι, τοῖα μετάλλα.
ἴσθι δ' ὅσοις ἴκελος δαίμονι τῇδε πέλω.
καὶ γὰρ ἐμοὶ πολέμων φίλιον κλέος. οἶδεν ἅπας μοι
ἠῶος δμηθεὶς ἰνδὸς ἀπ' ὠκεανοῦ.
καὶ μερόπων δὲ φυλὴν ἐγεράραμεν. ἡ μὲν, ἐλαίῃ.
αὐτὰρ ἐγὼ, γλυκεροῖς βότρυσιν ἡμεδίοις.
καὶ μὴν οὐδ' ἐπ' ἐμοὶ μήτηρ ὠδῖνας ὑπέτλη.
λῦσα δ' ἐγὼ μηρὸν πάτριον, ἡ δὲ, κάρη.

Εἰς ἕτερον ἄγαλμα τοῦ αὐτοῦ.
Ἀντιπάτρου σιδωνίου.

Αὐσονίῳ Πείσωνι συνασπιστὴς Διόνυσος
ἵδρυμαι, μεγάρων φρουρὸς ἐπ᾿ εὐτυχίῃ.
ἄξιον ὦ Διόνυσ᾿ ἐσέβης δόμον. ἔπρεπεν ἄμφω,
καὶ μέγαρον βάκχῳ, καὶ βρόμιος μεγάρῳ.

Εἰς ἄγαλμα Διονύσου, καὶ ἡρακλέους.

Ἀμφότεροι θήβηθε, καὶ ἀμφότεροι πολεμισταὶ,
κἠκ Ζηνός. θύρσῳ δεινός, ὁ δὲ, ῥοπάλῳ.
ἀμφοῖν δὲ στῆλαι συντέρμονες, εἴκελα δ᾿ ὅπλα.
νεβρὸς, λεοντῆ. κύμβαλα δὲ, πλαταγή.
ἥρη δ᾿ ἀμφοτέροις χαλεπὴ θεός. οἱ δ᾿ ἀπὸ γαίης
ἦλθον ἐς ἀθανάτους, ἐκ πυρὸς ἀμφότεροι.

Εἰς ἄγαλμα ἑρμοῦ. Ξενοκράτους.

Ἑρμῆς ὠκὺς ἐγὼ κικλήσκομαι. ἀλλὰ παλαίστραι
μὴ κολοβὸν χειρῶν ἵστατε, μηδ᾿ ἄποδα.
ἢ πῶς ὠκὺς ἐγὼ, πῶς δ᾿ ὄρθια χειρονομήσω,
εἰς βάσιν ἀμφοτέρων ὀρφανὸς ἱστάμενος;

Εἰς τὸ αὐτό.

Ἑρμείην ξύλινόν τις ἐπηύχετο, καὶ ξύλον ἦεν.
εἶτά μιν ἀείρας, χαμάδις βάλε. τοῦ δ᾿ ἄπο, χρυσὸς
ἐξέδυσεν καταχύτος. ὕβρις πόρε πολλάκι κέρδος.

Εἰς ἕτερον τοῦ αὐτοῦ. Νικίου.

Εἰνοσίφυλλον ὄρος κυλλήνιον αἰπὺ λελογχὼς,
τῇδ᾿ ἕστηκ᾿ ἐρατοῦ γυμνασίου μεδέων
ἑρμῆς. ᾧ ἔπι, παῖδες ἀμάρακον, ἠδ᾿ ὑάκινθον
πολλάκι, καὶ θαλερὸν θῆκαν ἴων στεφάνους.

Εἰς ἕτερον τοῦ αὐτοῦ.

Φρουρὸς ἰθ[illegible]εασι Περιστράτου εἵνεκα μίμνω
ἐνθάδε, μαιναλίαν κλιτὺν ἀποπρολιπών.

BIBLIOTECA UNIVERSITARIA DE LA UNIVERSIDAD LITERARIA DE VALENCIA

κλῶπα μελισσάων δεδοκημένος. ἀλλ᾽ ἀλέασθε
χεῖρα, καὶ ἀγροτέρου κοῦφον ὄρεγμα ποδός.

Εἰς ἕτερον τοῦ αὐτοῦ. Λεωνίδου.

Ταῦ αἰγῶν ὁ νομεὺς Μόριχος τὸν ἐπίσκοπον ἑρμᾶν
ἔστασ᾽ αἰπολίων εὐδόκιμον φύλακα.
ἀλλά μοι αἶτ᾽ ἀν᾽ ὄρη χλωρᾶς κεκορεσμέναι ὕλας,
τοῦ γ᾽ ἁρπακτῆρος μήτι μέλεσθε λύκου.

Εἰς ἕτερον τοῦ αὐτοῦ. Νικαινέτου.

Αὐτόθεν ὀστράκινόν με, καὶ ἐν ποσὶ γήϊνον ἑρμῆν,
ἔπλασεν ἀψῖδος κύκλος ἑλισσόμενος.
πηλὸς ἐφυράθην. οὐ ψεύσομαι. ἀλλ᾽ ἐφίλησα
ὦ ξένε, ὀστρακέων δύσμορον ἐργασίην.

Εἰς ἕτερον τοῦ αὐτοῦ. Αδεσπότον.

Ω λῷστε, μὴ νόμιζε τῶν πολλῶν ἕνα
ἑρμᾶν θεωρεῖν. εἰμὶ γὰρ τέχνα Σκόπα.

Εἰς ἕτερον τοῦ αὐτοῦ ἐν κήπῳ.
Φιλίππου.

Κράμβης ἅψωμαι κυλλὴ ὦνε; μὴ παροδεῖτα.
τίς φθόνος ἐκ λαχάνων; οὐ φθόνος, ἀλλὰ νόμος
ἀλλοτρίων ἀπέχειν κλοπίμους χέρας. ὦ παραδόξου,
μὴ κλέπτειν ἑρμῆς καινὸν ἔθηκε νόμον.

Εἰς ἑρμαφρόδιτον ἐν λουτρῷ
ἱστάμενον.

Ανδράσιν ἑρμῆς εἰμι. γυναιξὶ δὲ Κύπρις ὁρῶμαι.
ἀμφοτέρων δὲ φέρω σύμβολά μοι τοκέων.
τοὔνεκεν, οὐκ ἀλόγως με τὸν ἑρμαφρόδιτον ἔθεντο
ἀνδρογύνοις λουτροῖς, παῖδα τὸν ἀμφίβολον.

Εἰς ἄγαλμα ἔρωτος.

Χάλκειον τίς ἔρωτα μετήγαγεν ἐκ πυρὸς εἰς πῦρ,
τήγανον ἁρμόζων τῇ κολάσει κόλασιν.

ALEXANDER PP VII

Εἰς ἄγαλμα τοῦ αὐτοῦ δεδεμένου.

Σατύρου.

Τὸν πυρόεντα τίς ὧδε. τίς ἐν δεσμοῖσι θοὸν πῦρ
ὤχμασεν; αἰθομένης ἥψατο τίς φαρέτρης;
καὶ τὰς ὠκυβόλους πτεροηγέας ἐσφήνωσε
χεῖρας, ὑπὸ στιβαρῷ κίονι δησάμενος;
ψυχρὰ τάδ' ἀνθρώποις παραμύθια. μήποτ' ἐκεῖνο
ὡς ὁ δεσμώτης αὐτὸς ἔδησε φρένας;

Ἀλκαίου εἰς τὸν αὐτόν.

Τίς σε τὸν οὐχ ὁσίως ἠγρευμένον ὧδε πεδήσας
θήκατο; τίς πλέγδην σὰς ἐνέδησε χέρας;
καὶ πιναρὰν ὄψιν τεκτήνατο; ποῦ θοὰ τόξα,
νήπιε, ποῦ πικρὴ πυρφόρος ἰοδόκη;
ἦ ῥα μάτην ἐπόνησε λιθοξόος, ὅς σε τὸν οἴστρῳ
κυμήναντα θεοὺς, τῇδ' ἐνέδησε πάγῃ.

Ἀντιπάτρου εἰς τὸν αὐτόν.

Τίς δισσὰς παλάμας πρὸς κίονα δῆσεν ἀφύκτοις
ἅμμασι; τίς πυρὶ πῦρ, καὶ δόλον εἷλε δόλῳ;
νήπιε, μὴ δὴ δάκρυ κατὰ γλυκεροῖο προσώπου
βάλλε. σὺ γὰρ τέρπῃ δάκρυσιν ἠϊθέων.

Μαικίου εἰς τὸν αὐτόν.

Κλαῖε δυσεκφύκτως συγχθεὶς χέρας ἄκριτε δαῖμον,
κλαῖε μάλα, στάζων ψυχοτακῆ δάκρυα,
σωφροσύνας ὑβριστὰ, φρενοκλόπε, ληστὰ λογισμοῦ,
πτανὸν ψυχᾶς πῦρ, τραῦμ' ἀόρατον ἔρως.
θνατοῖς μὲν λύσις ἐστὶ γόων ὁ σὸς ἄκριτε δεσμός.
ὦ συγχθεὶς, κωφοῖς πέμπε λιτὰς ἀνέμοις.
ἃν δὲ βροτοῖς ἀφύλακτος ἐνέφλεγες ἐν φρεσὶ πυρσὸν,
ἄθρει νῦν ὑπὸ σῶν σβεννύμενον δακρύων.



ALEXANDER ... FERDINANDUS ... SANCT...

Κριναγόρου εἰς τὸν αὐτόν.

Καὶ κλαῖε, καὶ στέναζε, συσφίγγων χεροῖν
τένοντας. ὦ πίβουλε, τοῖά τοι πρέπει.
οὐκ ἔσθ' ὁ λύσων. μὴ λεεῖν ὑπόβλεπε.
αὐτὸς γὰρ ἄλλων, ἐκ μὲν ὀμμάτων, δάκρυ
ἔθλιψας. ἐν δὲ πικρὰ καρδίᾳ βέλη
πήξας, ἀφύκτων ἰὸν ἔσταξας πόθων
ἔρως. τὰ θνητῶν δ' οὐχί σοι γέλως ἄχη.
πέπονθας, οἷ' ἔρεξας. ἐσθλὸν ἡ δίκη.

Μόσχου εἰς ἔρωτα
ἀροτριοῦντα.

Λαμπάδα θεὶς, καὶ τόξα, βοηλάτην εἵλετο ῥάβδον
οὖλος ἔρως. πήρην δ' εἶχε κατωμαδίην.
καὶ ζεύξας ταλαεργὸν ὑπὸ ζυγὸν αὐχένα ταύρων,
ἔσπειρεν δηοῦς αὔλακα πυροφόρον.
εἶπε δ' ἄνω βλέψας αὐτῷ Διῒ, πλῆσον ἀρούρας,
μή σε τὸν εὐρώπης βοῦν ὑπ' ἄροτρα βάλω.

Εἰς ἔρωτα ἐστεφανωμένον.
Μαριανοῦ σχολαστικοῦ.

Ποῦ σοι τόξον ἐκεῖνο παλίντονον, οἵτ' ἀπὸ σεῖο
πηγνύμενοι μεσάτην εἰς κραδίην δόνακες;
ποῦ πτερά; ποῦ λαμπὰς πολυώδυνος; εἰς τί δὲ τρισσὰ
στέμματα χερσὶν ἔχεις, κρατὶ δ' ἐπ' ἄλλο φέρεις;
οὐκ ἀπὸ πανδήμου ξεῖνε Κύπριδος, οὐκ ἀπὸ γαίης
εἰμὶ, καὶ ὑλαίης ἔκγονος εὐφροσύνης.
ἀλλ' ἐγὼ εἰς καθαρὴν μερόπων φρένα πυρσὸν ἀνάπτω
εὐμαθίης. ψυχὴν δ' οὐρανὸν εἰσανάγω.
ἐκ δ' ἀρετῶν, στεφάνους πισύρων πλέκω. ὧν ἀφ' ἑκάστης
τούσδε φέρων, πρώτῳ τῷ σοφίης στέφομαι.

Ἄδηλον.

Μή με τὸν ἐκ λιβάνοιο λέγε ξένε, τὸν φιλοκώμων
τερπόμενον νυχίοις ἠϊθέων θάροις.
Βαιὸς ἐγὼ, νύμφης ἀπὸ γείτονος ἀγροιώτης,
μοῦνον ἐποτρύνων ἔργα φυτοσκαφίης.
ἔνθεν ἀπ' εὐκάρπου με φίλης ἔσεψαν ἀλωῆς,
τέσσαρες ὡραίων ἐκ πισύρων στέφανοι.

Εἰς τὸν Πραξιτέλους ἔρωτα. Ἰουλιανοῦ
ἀπὸ ὑπάρχων αἰγυπτίου.

Κλίνας αὐχένα γαῦρον ὑφ' ἡμετέροισι πεδίλοις,
χερσί με ῥηϊδίαις ἔπλασε Πραξιτέλης.
αὐτὸν γὰρ τὸν ἔρωτα τὸν ἔνδοθι κευθόμενόν με,
χαλκώσας, Φρύνῃ δῶκε γέρας φιλίης.
ἡ δέ μιν αὖθις ἔρωτι προσήγαγε· καὶ γὰρ ἐρῶντας
δῶρον ἔρωτι φέρειν αὐτὸν ἔρωτα θέμις.

Εἰς τὸ αὐτό. Σιμωνίδου.

Πραξιτέλης, ὃν ἔπασχε, διηκρίβωσεν ἔρωτα,
ἐξ ἰδίης ἕλκων ἀρχέτυπον κραδίης,
Φρύνῃ μισθὸν ἐμεῖο διδοὺς ἐμέ. φίλτρα δὲ τίκτω,
οὐκ ἔτι τοξεύων, ἀλλ' ἀτενιζόμενος.

Εἰς τὸν αὐτόν. Τυλλίου γεμίνου.

Ἀντί μ' ἔρωτος ἔρωτα, βροτῷ θεὸν ὤπασε Φρύνῃ
Πραξιτέλης, μισθὸν καὶ θεὸν εὑρόμενος.
ἡ δ' οὐκ ἠρνήθη τὸν τέκτονα. δεῖσε γὰρ οἱ φεῦ,
μὴ θεὸς ἀντὶ τέχνης σύμμαχα τόξα λάβῃ.
παρθεῖ δ' οὐκ ἔτι πω τὸν Κύπριδος, ἀλλὰ τὸν ἐκ σοῦ
Πραξιτέλους, τέχνην μητέρ' ἐπισταμένη.

Εἰς τὸν αὐτόν. Λεωνίδου.

Θεσπιέες τὸν ἔρωτα μόνον θεὸν ἐκ Κυθερείης
ἄζοντ', οὐχ ἑτέρου γραπτὸν ἀπ' ἀρχετύπου,

ἀλλ' ὃν Πρ..ξιτέλης ἔγνω θεόν. ὃν ποτὶ Φρύνη
δερκόμενος, σφετέρων λύτρον ἔδωκε πόθων.

Εἰς ἔρωτα γυμνόν. Παλλαδᾶ.

Γυμνὸς ἔρως, διὰ τοῦτο γελᾷ, καὶ μείλιχός ἐστιν.
οὐ γὰρ ἔχει τόξον, καὶ πυρόεντα βέλη.
οὐδὲ μάτην παλάμαις κατέχει δελφῖνα, καὶ ἄνθος.
τῇ μὲν γὰρ, γαῖαν, τῇ δὲ, θάλασσαν ἔχει.

Εἰς ἔρωτα καθεύδοντα ἐν πιπροπά-
σῳ. Γαβριηλίου ὑπάρχου.

Οὐδὲ κατακνώσσων, ἀλλ' ἄπνοος, ἀλλ' ἐνὶ δαιτί,
νόσφι πυριπαφέρτου δήγματός ἐστιν ἔρως.

Εἰς τὸν αὐτόν.

Οὗτος ὁ τὸν δαλὸν φυσῶν ἵνα λύχνον ἀνάψῃς,
δεῦρ' ἀπ' ἐμᾶς ψυχᾶς ἅψον. ὅλος φλέγομαι.

Εἰς ἔρωτα ἐν ἄλσει κοιμώμενον. εὑρέθη
δὲ ὑπὸ ὑδάτων. Πλάτωνος.

Ἄλσος δ' ὡς ἱκόμεσθα βαθύσκιον, εὕρομεν ἔνδον
πορφυρέοις μήλοισιν ἐοικότα, παῖδα Κυθείρης.
οὐδ' ἔχεν ἰοδόκον φαρέτρην, οὐ καμπύλα τόξα,
ἀλλὰ τὰ μὲν, δενδρέεσσιν ὑπ' εὐπετάλοισι κρέμαντο.
αὐτὸς δ' ἐν καλύκεσσι ῥόδων πεπεδημένος ὕπνῳ,
εὗδεν μειδιόων. ξουθαὶ δ' ἐφύπερθε μέλισσαι,
κηροχύτοις ἐπὶ χείλεσι λαγαροῖς ἐπὶ χείλεσι βαῖνον.

Στατυλλίου φλάκκου εἰς ἔρωτα κοιμώμενον.

Εὕδεις ἀγρύπνους ἐπάγων θνητοῖσι μερίμνας,
εὕδεις ἀτηρὸς, ἆ, τέκος ἀφρογενοῦς,
οὐ πεύκην πυρόεσσαν ἐπηρμένος, οὐδ' ἀφύλακτον
ἐκ κέρατος ψάλλων αὐτιτόνοιο βέλος.
ἄλλοι θαρσείτωσαν. ἐγὼ δ' ἀγέρωχε δέδοικα,
μή μοι καὶ κνώσσων, πικρὸν ὄνειρον ἴδῃς.

Εἰς τὸ αὐτό, ἀλφειοῦ.

Ἁρπάσομαι πυρόεσσαν, ἔρως, καὶ ἐκ σέο πεύκην.
συλήσω δ' ὤμων ἀμφικρεμῆ φαρέτρην,
εἰ γ' ἐτύμως εὕδεις πυρὸς ἔγγονε. καὶ σέο φῶτες
πρὸς βαιὸν τόξων δύναμιν ἄγομεν.
ἀλλὰ καὶ ὣς σε δέδοικα δολοπλόκε μή τινα κεύθῃς
εἰς ἐμέ, κἢν ὕπνῳ πικρὸν ὄνειρον ἴδῃς.

Μελεάγρου. οἱ δέ, Στράτωνος. Εἰς ἔρωτα.

Εἰ καί σοι πτέρυγες ταχιναὶ περὶ νῶτα τέτανται,
καὶ σκυθικῶν τόξων ἀκροβολεῖς ἀκίδες,
φεύξομ' ἔρως ὑπὸ γαῖαν σε. τί γὰρ πλέον; οὐδὲ γὰρ αὐτὸς
σὰν ἔφυγεν ῥώμαν πανδαμάτωρ ἀΐδας.

Σεκούνδου εἰς ἀγάλματα ἐρώτων.

Σκυλοχαρεῖς ἴδ' ἔρωτας, ἴδ' ὡς βριαροῖσιν ἐπ' ὤμοις
ὅπλα φέρουσι θεῶν νήπι' ἀγαλλόμενα,
τύμπανα καὶ θύρσον Βρομίου. Ζηνὸς δὲ κεραυνόν,
ἀσπίδ' ἐνυαλίου, καὶ κόρυν ἠΰκομον
φοίβου δ' εὔτοξον φαρέτρην, ἁλίου δὲ τρίαιναν.
καὶ θηγαρῶν χερῶν ἡρακλέος ῥόπαλον.
τί πλέον ἀνθρώποισιν, ἔρως ὅτε καὶ πόλον εἷλε,
τεύχεα δ' ἀθανάτων Κύπρις ἐληΐσατο;

Εἰς τὸ αὐτό. φιλίππου.

Συλήσαντες ὄλυμπον ἴδ' ὡς ὅπλοισιν ἔρωτες
κοσμοῦντ' ἀθανάτων σκῦλα φρυασσόμενοι.
φοίβου τόξα φέρουσι, Διὸς δὲ κεραυνόν, ἄρηος
ὅπλον, καὶ κυνέην, ἡρακλέος ῥόπαλον,
εἰναλίου τε θεοῦ τριβελὲς δόρυ, θύρσα τε Βάκχου,
πτηνὰ πέδιλ' ἑρμοῦ, λαμπάδα ἀρτέμιδος.
οὐκ ἄχθος θνητοῖς εἴκειν βελέεσσιν ἐρώτων,
δαίμονες οἷς ὅπλων κόσμον ἔδωκαν ἔχειν;

Εἰς ἄγαλμα Ἥρας. Παρμενίωνος.

Ἀργεῖος Πολύκλειτος, ὁ καὶ μόνος ὄμμασιν Ἥρην
ἀθρήσας, καὶ ὅσην εἶδε τυπωσάμενος,
θνητοῖς κάλλος ἔδειξεν ὅσον θέμις. αἱ δ᾽ ὑπὸ κόλποις
ἄγνωστοι μορφαὶ, Ζηνὶ φυλασσόμεθα.

Εἰς ἄγαλμα Ἥρας θηλαζούσης Ἡρακλέα.

Αὐτὴν μητρυιὴν τεχνήσατο. τοὔνεκα μαζὸν
εἰς νόθον ὁ πλάστης οὐ προσέθηκε γάλα.

Εἰς ἄγαλμα Καλλιόπης.

Καλλιόπη μὲν ἐγώ. Κύρω δ᾽ ἐμὸν ὅπασα μαζὸν,
ὃς τρέφε θεῖον ὅμηρον, ὅθεν πίε κήδυμος ὀρφεύς.

Εἰς εἰκόνα τῆς αὐτῆς. Ἰωάννου ποιητοῦ τοῦ βαρβουκάλου.

Ἤθελε Μελπομένην ὁ ζωγράφος εἰκόνι γράψαι.
ἀλλ᾽ ἀπολειπομένης, ἔγραφε Καλλιόπην.

Εἰς εἰκόνα Πολυμνίας. Τοῦ αὐτοῦ.

Σεῖο μὲν εἰκὼν ἥδε Πολύμνια, καὶ σὺ δὲ μούσης.
ἓν γὰρ ἐπ᾽ ἀμφοτέροις οὔνομα, καὶ τύπος εἷς.

Εἰς εἰκόνα μουσῶν. Ἀντιπάτρου.

Τρίζυγοι αἱ μοῦσαι τᾷδ᾽ ἕσταμεν. ἁ μία, λωτὸς.
ἁ δὲ, φέρει παλάμαις βάρβιτον. ἁ δὲ χέλυν.
ἁ μὲν, Ἀριστοκλῆος ἔχει χέλυν. ἁ δ᾽ Ἀγελάδα
βάρβιτον. ἁ Καναχὰ δ᾽ ὑμνοπόλους δόνακας.
ἀλλ᾽ ἁ μὲν κράντειρα τόνου πέλει. ἁ δὲ, μελῳδὸς
χρώματος. ἁ δὲ, σοφᾶς εὑρέτις ἁρμονίας.

Εἰς τὴν ἀθηναίων νέμεσιν.

Θεαιτήτου σχολαστικοῦ.

Χιονέην με λίθον παλιναυξέος ἐκ περιωπῆς
λαοτύπος τμήξας πετροτόμοις ἀκίσι

μήδους ἔπου τὸ πρόσθεν, ὅπως ἀνδρείκελα τεύξῃ,
τῆς κατ' ἀθηναίων σύμβολα καμμονίης.
ὡς δὲ λαϊζομένοις μαραθὼν ἀντέκτυπε πέρσαις,
καὶ νέες εὐριπόροισι χεύμασιν αἱμαλέοις,
ἔξεσαν εἰδήσειαν ἀριστώδινος ἀθῆναι,
δαίμον' ὑπερφιάλοις ἀντίπαλον μερόπων.
ἀντιταλαντεύω τὰς ἐλπίδας. εἰμὶ δὲ καὶ νῦν
νίκη ἐρεχθείδαις, ἀσσυρίοις νέμεσις.

Παρμενίωνος εἰς τὸ αὐτό.

Μήδοις ἐλπισθεῖσα τροπαιοφόρος λίθος εἶναι,
ἠλλάχθην μορφὴν καίριον εἰς νέμεσιν.
ἔνδικος ἱδρυνθεῖσα θεὰ, ῥαμνοῦντος ἐπ' ὄχθαις,
νίκης, καὶ σοφίης, ἀτθίδι μαρτύριον.

Εἰς στήλην νεμέσεως.

Ἡ νέμεσις προλέγει τῷ πήχει, τῷ τε χαλινῷ,
μήτ' ἄμετρόν τι ποιεῖν, μήτ' ἀχάλινα λέγειν.

Εἰς τὸ αὐτό.

Ἡ νέμεσις πῆχυν κατέχω. τίνος οὕνεκα λέξεις;
πᾶσι παραγγέλλω, μηδὲν ὑπὲρ τὸ μέτρον.

Εἰς ἄγαλμα Πανὸς συρίζον.

Πλάτωνος.

Σιγάτω λάσιον δρυάδων λέπας, οἵ τ' ἀπὸ πέτρας
κρουνοί, καὶ βληχὰ πουλυμιγὺς τοκάδων,
αὐτὸς ἐπεὶ σύριγγι μελίσδεται εὐκελάδῳ Πάν,
ὑγρὸν ἱεὶς ζευκτῶν χεῖλος ὑπὲρ καλάμων.
αἱ δὲ πέριξ θαλεροῖσι χορὸν ποσὶν ἐστήσαντο
ὑδριάδες νύμφαι, νύμφαι ἁμαδρυάδες.

Ἀραβίου σχολαστικοῦ εἰς τὸ αὐτό.

Ἦ τάχα συρίζοντος ἐναργέα Πανὸς ἀκούειν.
πνεῦμα γὰρ ὁ πλάστης ἐγκατέμιξε τύπῳ.

ἀλλ᾽ ὀρέων ἐβόησαν ἀμήχανος ἄστατον ἠχώ,
πηκτίδος ἠρύγηθη φθόγγον ἀνωφελέα.

Ἀλκαίου εἰς τὸ αὐτό.

Ἔμπνει Πὰν λαροῖσιν ὀρειβάτα χείλεσι μοῦσαν,
ἔμπνει, ποιμενίοις τερπόμενος δόναξι,
ξυνκελάδῳ σύριγγι χέων μέλος. ἐκ δὲ συνῳδοῦ
κλάζε κατιθύνων ῥήματος ἁρμονίην.
ἀμφὶ σοὶ ῥυθμοῖο κατὰ κρότον εὔθεον ἴχνος
ῥησσέσθω νύμφαις ταῖσδε μεθυδριάσιν.

Εἰς ἄγαλμα Πανὸς ἱστάμενον
ἐπὶ ὁλκῷ ὕδατος ἀπὸ
φητὶ ῥέοντος.

Πανά με τὸν δυσέρωτα, καὶ ἐξ ὑδάτων φύγεν ἠχώ.

Εἰς τὸ αὐτό.

Τᾶδε κατὰ χλοεροῖο ῥιφεὶς λιμῶνος ὁδῖτα,
ἄμπαυσον μογεροῦ μαλθακὰ γυῖα μόθου,
ἧχί σε καὶ ζεφύροιο τινασσομένη πίτυς αὔραις
θέλξει, τεττίγων εἰσαΐοντα μέλος,
χὠ ποιμὴν ἐν ὄρεσι μεσαμβρινὸν ἀγχόθι παγᾶς
συρίσδων λασίας θάμνῳ ὑπὸ πλατάνου,
καύματ᾽ ὀπωρινοῖο φυγὼν κυνός. ἆλμα δ᾽ ἀμείψεις
αὔριον. εὖ τόδε σοι Πανὶ λέγοντι πιθοῦ.

Ἀνύτης εἰς τὸ αὐτό.

Ξεῖν᾽, ὑπὸ τὰν πέτραν τετρυμένα γυῖ᾽ ἀνάπαυσον.
ἁδύ τοι ἐν χλωροῖς πνεῦμα θροεῖ πετάλοις.
πίδακά τ᾽ ἐκ παγᾶς ψυχρὸν πίε. δὴ γὰρ ὁδίταις
ἄμπαυμ᾽ ἐν θερμῷ καύματι τοῦτο φίλον.

Εἰς τὸ αὐτό.

Ἐξ αὐτοῦ Διός εἰμι ὁ φίλτατος ἔκχυτος [illegible]ος.
μαρτυρίην δὲ φέρει τὴν ἐπάνω νεφέλην.

ἑρμείαν γὰρ ἄνακτα τέκεν νεφεληγερέτα Ζεύς.
αὐτὰρ ὅγ᾽ ἑρμείας, Πᾶνα τὸν αἰγελάτην.

Εἰς ἕτερον Πᾶνα. Λεωνίδου.

Μὴ σύγ᾽ ἐπ᾽ οἰονόμοιο παρίπλεον ἰλύος ὧδε,
τῶν χαραδραίης θορμὸν ὁδῖτα πίῃς.
ἀλλὰ μολὼν μάλα τυτθὸν ὑπὲρ δαμαλήβοτον ἄκρην,
κεῖσέ γε πὰρ κείνᾳ ποιμενίᾳ πίτυϊ,
εὑρήσεις κελαρίζον εὐκρήνου διὰ πέτρης
νᾶμα, Βορειαίης ψυχρότερον νιφάδος.

Εἰς ἕτερον Πᾶνα. Ἀνύτης.

Τίπτε κατ᾽ οἰόβατον Πὰν ἀγρότα δάσκιον ὕλαν
ἥμενος, ἁδυβόα τῷδε κρέκεις δόνακι;
ὄφρα μοι ἑρσήεντα κατ᾽ οὔρεα ταῦτα νέμοιντο
πόρτιες, ἠϋκόμων δρεπτόμεναι σταχύων.

Εἰς ἕτερον Πᾶνα. Ερυκίου.

Εὔστοχα θηροβολεῖτε κυναγέται, οἱ ποτὶ ταύταν
Πανὸς ὀρειβάτεω νισσόμενοι σκοπιάν,
εἴτε λίνοις βαίνοιτε πεποιθότες, εἴτε σιδάροις,
εἴτε καὶ ἰξευτᾶ λαθροβόλῳ δόνακι.
κἀμέ τις ὑμείων ἐπιβωσάτω. οἶδά ποτ᾽ ἄγραν
κοσμεῖν, καὶ λόγχαν, καὶ λίνα, καὶ καλάμους.

Εἰς ἕτερον Πᾶνα.

Σιμωνίδου.

Τὸν τραγόπουν ἐμὲ Πᾶνα, τὸν ἀρκάδα, τὸν κατὰ μήδων,
τὸν μετ᾽ ἀθηναίων, στήσατο Μιλτιάδης.

Θεαιτήτου εἰς τὸν αὐτόν.

Ὑλοβάτας, φιλόδενδρος, ὀρεσσαύλου πόσις ἀχοῦς,
πάνσκοπος, δικόρας μαλοφύλαξ ἀγέλας,
Πὰν ὁ δασυκνάμων, ὁ πολύσπορος, ὃς μετανάστας
ἔδραμον αἰχματᾶν ἐν δαΐῳ ἀστυρίων,

μιλτιάδου ἕσσαντος ὁμάσπιδα περσοδιώκτην,
ἵσταμαι, ἀκλήτου ξείνια συμμαχίης
ἄλλοις ἀκροπόληος. ὁ μηδοφόνος δὲ δέδασται
ξυνός. ἐμὶν μαραθὼν, καὶ μαραθωνομάχοις.

Φιλοδήμου εἰς ἕτερον ἄγαλμα Πανός.

Τρισσοὺς ἀθανάτους χωρεῖ λίθος. ἁ κεφαλὰ γὰρ
μανύει τρανῶς Πᾶνα τὸν αἰγόκερων.
στέρνα δὲ, καὶ νηδὺς, ἡρακλέα. λοιπὰ δὲ μηρῶν,
καὶ κνήμης, ἑρμῆς ὁ πτερόπους ἔλαχεν.
θύειν ἀρνήσῃ ξένε μηκέτι. τοῦ γὰρ ἑνός σοι
θύματος οἱ τρισσοὶ δαίμονες ἁπτόμεθα.

Ἀπολλωνίου σμυρναίου εἰς ἕτερον
ἄγαλμα Πανός.

Ἀγροτέρων θεός εἰμι. τί μοι χρυσέοις δεπάεσσι
σπένδετε; πῶς δ' ἰταλοῦ χεῖτε μέθυ βρομίου;
καὶ γυροὺς ταύρων πέτρῃ προσδεῖτε τένοντας;
φείδεσθ'. οὐ τοιούτοις θύμασι τερπόμεθα.
πὰν ὁ παρωρείτης, αὐτόξυλος, ἀρνεοθοίνης
εἰμὶ, καὶ ἐγχθονίου γλευκοπότης κύλικος.

Λεωνίδου, οἱ δὲ, Γορίτου εἰς
ἄγαλμα Πριήπου.

Αὐτοὶ ἐφ' αἱμασιαῖσι τὸν ἀγρυπνοῦντα Πρίηπον
ἵστησαν λαχάνων δευομένης φύλακα.
ἀλλ' ὡς ἐντέταμαι φὼρ ἔμβλεπε. τοῦτο δ' ἐρωτᾷς,
τῶν ὀλίγων λαχάνων εἵνεκα; τῶν ὀλίγων.

Τυμνέω εἰς τὸν αὐτόν.

Πάντα πρικτίζω. κἂν ἦ κρόνος, οὐ διακρίνω
οὐδὲν, ἀφὼρ οὕτω ταῖσδε παρὰ πρασιαῖς.
ἔπρεπε μὴ λαχάνων γενέσθαι τάδε, καὶ κολοκυντῶν
φήσει τίς με λέγειν. ἔπρεπεν. ἀλλὰ λέγω.

Λουκιανοῦ εἰς ἕτερον Πρίηπον.

Εἰς τὸ κηνόν με τέθηκε νόμου χάριν ὧδε Πρίηπον
Εὐτυχίδης, ξηρῶν κληματίδων φύλακα.
καὶ περιβέβλημαι κρημνὸν βαθύν. ὃς δ' ἂν ἐπέλθῃ,
οὐδὲν ἔχοι κλέψαι, πλὴν ἐμὲ τὸν φύλακα.

Ἀπολλωνίδου εἰς
ἕτερον.

Αὐτὸς ἀναξαγόρης με τὸν οὐκ εὐθῆ ποσὶ Πρίηπον,
ἐν χθονὶ δ' ἀμφοτέρῳ γούνατι κεκλιμένον.
τεῦξε δὲ Φυρόμαχος. χαρίτων δέ μοι ἀγχόθι καλὴν
ἀθρήσας, δίζου μηκέτι πῶς ἔπεσον.

Εἰς ἕτερον Φιλίππου.

Ὡραίας γ' ἐσορῶ τὰς ἰσχάδας, εἶπέ· λαβεῖν μοι
συγχωρεῖς ὀλίγας; θίγγανε μηδεμιᾶς.
ὀργίλος ὡς ὁ Πρίηπος ἐρεῖς, ἔτι κηνὸς ἥξεις.
καὶ λίτομαι δός μοι. καὶ γὰρ ἐγὼ δέομαι.
χρήξεις γὰρ λέγε μοι παρ' ἐμοῦ τινος; ἔστι νόμος που,
δὸς, λάβε. καὶ θεὸς ὢν ἀργυρίου σὺ γλίχῃ,
ἄλλοτι χρῆμα φιλῶ. ποῖον τόδε; τἀμὰ κατέδων
σῦκα δὸς εὐθύμως ἰσχάδα τὴν ὀπίσω.

Ἀργενταρίου εἰς τὸ αὐτό.

Ὥριμος. οἷα καὶ αὐτὸς ὁδοιπόρε. μηκέτ' ἐπαίνει
ἰσχάδα, μηδ' ἐσόρα τὸν πέλας ἀκρέμονα.
καὶ λίην ὁ Πρίηπος ἐφίσταμαι ὀξὺ δεδορκὼς,
καὶ φυλακὴν σύκων ἣν ἐπέοικεν ἔχων.
ἢν δὲ μόνον σὺ θίγῃς τῆς ἰσχάδος, ἰσχάδα δώσεις,
ὡς ἰσότης πάντων ἐστὶ δικαιοτάτη.

Ἐρυκίου εἰς τὸν αὐτόν.

Ὡς βαρὺ τοι Πρίηπε, καὶ εὖ τετυλωμένον ὅπλον,
πᾶν ἀπὸ βουβώνων ἀθρόον ἐκκέχυκας,

εἰς γάμον ἢ κ' ἀνέδυμον. ἔχει δέ σε δίψα γυναικῶν
ὦ γαθὲ, καὶ σπαργᾷς θυμὸν ἅπαντα πόροις.
ἀλλὰ καταπρήυνε τὸν ἐξῳδηκότα φαλλὸν
τόνδε, καὶ αἰθηρῇ κρύψον ὑπὸ χλαμύδι.
οὐ γὰρ ἐρημαῖον ναίεις ὄρος, ἀλλὰ παρ' Ἕλλης
ἠόνα, τὴν ἱερὴν Λαμψάκου ἀμφιπολεῖς.

Εἰς τὸν αὐτὸν, Ἀντιστίου.

Ἀγροφύλαξ ἕστηκα πολυκτεάνοις ἐν ἀρούραις,
Φρίκωνος καλύβην καὶ φυτὰ ῥυόμενος,
τοῦτο λέγων παρ' ἕκαστον, ἐπὴν γελάσῃς ἐσιδών με
τοῦ σκύλους, χώρει τὴν κατὰ σαυτὸν ὁδόν.
ἢν δὲ παρεκβαίνῃς ὧν ἃ μὴ θέμις, ὅττι σ' ὀνήσει
ἡ λόχμη. τρυπᾶν πάντας ὠπιστάμεθα.

Εἰς ἄγαλμα σατύρου ἐν κρήνῃ ἑστὸς, καὶ
εἰς ἔρωτα καθεύδοντα. Πλάτωνος,

Τὸν Βρομίου σάτυρον τεχνάσατο δαιδαλέα χεὶρ,
μούνη θεσπεσίως πνεῦμα βαλοῦσα λίθῳ.
εἰμὶ δὲ ταῖς νύμφαισιν ὁ μέστιος. ἀντὶ δὲ τοῦ πρὶν
πορφυρέου μέθυος, λαρὸν ὕδωρ προχέω.
εὔκηλον δ' ἴθυνε φέρων πόδα, μὴ ταχὰ κοῦρον
κινήσῃς ἁπαλῷ κώματι θελγόμενον.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Εἰμὶ μὲν εὐκεραοῖο φίλος θεράπων Διονύσου.
λείβω δ' ἀργυρέων ὕδατα ναϊάδων.
θέλγω δ' ἠρεμέοντα νέον περὶ κώματι παῖδα,

Εἰς εἰκόνα σατύρου πρὸς τῇ ἀκοῇ τὸν αὐλὸν ἔχον-
τος, καὶ ὥσπερ ἀκροωμένου. Ἀγαθίου σχολαστικοῦ.

Αὐτομάτως σατυρίσκε, δόναξ τεὸς ἦχον ἰάλλει.
ἢ τί παρακλίνας, οὖας ἄγεις καλάμῳ;

ὃς δὲ γελῶν, σίγησον. ἴσως δ' ἂν φθέγξαιτο μῦθον.
ἀλλ' ὑπὸ τερπωλῆς εἶχε τὸ ληθεδόνι.
ἢ γὰρ κηρὸς ἔδυκεν. ἑκὼν δ' ἠσπάζετο σιγήν,
θυμὸν ὅλον τρέψας πηκτίδος ἀσχολίῃ.

Εἰς ἕτερον σάτυρον. Λεοντίου σχολαστικοῦ.

Τὸν σάτυρον Διόνυσος ἰδὼν τόσον ἄλγος ἔχοντα,
[illegible] μιν ἐποικτείρας, θήκατο λαΐνεον.
ἀλλ' οὐδ' ὡς ἀπέληξε βαρυτλήτων ὀδυνάων.
εἰσέτι γὰρ μογέει καὶ λίθος ὢν ὁ τάλας.

Εἰς ἕτερον σάτυρον.

Ἢ σάτυρος τὸν χαλκὸν ὑπέδραμεν, ἢ διὰ τέχνης
χαλκὸς ἀναγκασθεὶς, ἀμφεχύθη σατύρῳ.

Εἰς εἰκόνα σατύρου ἀπὸ ψηφίδος ἐν ἀντιοχείᾳ. Νείλου σχολαστικοῦ.

Πάντες μὲν σάτυροι φιλοκέρτομοι. εἰπὲ δὲ καὶ σὺ,
τί πρὸς ἕκαστον ὁρῶν τόνδε γέλωτα χέεις;
θάμβος ἔχων, γελόω, πῶς ἐκ λίθου ἄλλοθεν ἄλλης,
συμφορηθεὶς, γενόμην ἐξαπίνης σάτυρος.

Πλάτωνος εἰς ἕτερον σάτυρον.

Τὸν σάτυρον Διόδωρος ἐκοίμισεν, οὐκ ἐτόρευσεν.
ἢν νύξῃς, ἐγερεῖς. ἄργυρος ὕπνον ἔχει.

Ἀνύτης.

Κύπριδος οὗτος ὁ χῶρος, ἐπεὶ φίλον ἔπλετο τήνᾳ,
αἰὲν ἀπ' ἠπείρου λαμπρὸν ὁρᾶν πέλαγος,
ὄφρα φίλον ναύτῃσι τελῇ πλόον. ἀμφὶ δὲ πόντος
δειμαίνει, λιπαρὸν δερκόμενος ξόανον.

Εἰς τὸ αὐτό.

Τίπτε μόθων ἄπληστος γυναλίοιο λέλογχας
Κύπρι; τίς ὁ ψεύστης ἐγγυὰ καθᾶψε μάταν;

ALEXANDER PP VI ARAGONIUM · FERDINANDUS DEL GRA... VALENTINUS (library stamp)

ἔντεά σοι γὰρ ἔρωτες ἐφίμεροι, αἵτε κατ' εὐνὰν
τέρψιες, καὶ κροτάλων θηλυμανεῖς ὄτοβοι.
δούρατα δ' αἱματόεντα, μέθες τριτωνίδι δῖα
ταῦτα. σὺ δ' εὐχαίταν εἰς ὑμέναιον ἴθι.

Εἰς τὸ αὐτό.

Δερκόμενος ξόανον καλὸν τόδε, τὰν ἀφροδίταν
ὤνθρωφ' ἱλάσκου, πλατίον ἑζόμενος.
αἴνει δὲ γλυκέραν Διονυσίου. ἅ μ' ἀνέθηκε
πορφυρέας ἁπαλὸν κῦμα παρ' ἠιόνος.

Εἰς τὸ αὐτό.

Ἔλθοιμεν ποτὶ ναόν. ἰδοίμεθα τᾶς ἀφροδίτας
τὸ βρέτας, ὡς χρυσῷ δαιδάλεον τελέθει.
εἵσατό μιν Πολίαρχις, ἐπαυρομένα μάλα πολλὰν
κτῆσιν ἀπ' οἰκείου σώματος ἀγλαΐας.

Εἰς τὸ αὐτό.

Στῶμεν ἁλιῤῥάντοιο παρὰ χθαμαλὰν χθόνα πόντου,
δερκόμενοι τέμενος Κύπριδος εἰναλίας.
κρανάν τ' αἰγείροισι κατάσκιον. ἇς ἄπο, νᾶμα
ξουθαὶ ἀφύσσονται χείλεσιν ἀλκυόνες.

Εἰς ἔρωτα.

Ὁ πτανὸς τὸν πτανὸν ἰδὼν, ἄγνυσι κεραυνὸν,
δεικνὺς ὡς κρεῖσσον πῦρ πυρός ἐστιν ἔρως.

Εἰς τὸν αὐτόν.

Πτανῷ πτανὸν ἔρωτα τὸν αἴτιον ἔπλασ' ἔρωτι
ἀνέμεσις, τόξῳ τόξον ἀμυνομένα,
ὥς κε πάθῃ τάπερ ἔρεξεν. ὁ δὲ θρασὺς, ὁ πρὶν ἀταρβὴς,
δακρύει, πικρῶν γευσάμενος βελέων.
ἐν δὲ βαθὺν τρὶς κόλπον ἀπέπτυσεν. ὢ, μέγα θαῦμα,
φλέξει τίς πυρὶ πῦρ; ἥψατ' ἔρωτος ἔρως.

Εἰς τὸν

Εἰς τὸν αὐτόν.

Κἀγὼ Κύπριδος αἷμα, κασιγνήτῳ δέ με μήτηρ
ἧκεν ἐσεῖ τόξα φέρειν αὐτία, καὶ πτέρυγας.

Εἰς ἄρτεμιν.

Ἄρτεμι, ποῦ σοι τόξα, παραυχένιητε φαρέτρη,
ποῦ δὲ λυκαστείων ἐνδρομὶς ἀρβυλίδων,
πόρπη τε χρυσοῖο τετυγμένη, ἠδὲ πρὸς ἄκρην
[illegible]νύην, φοῖνιξ πέπλος ἑλισσόμενος;
κεῖνα μὲν εἰς ἄγρην ὁπλίζομαι. ὧν δὲ θυηλὰς
εἶμ᾽ ἄντως, ἱρῶν ἀνθεμένη θυέων.

Εἰς τὴν αὐτήν.

Ἄρτεμις, ἡ Γόργοιο φύλαξ, κτεάνων τε, καὶ ἀγροῦ,
τόξῳ μὲν κλῶπας βάλλε, σάω δὲ φίλους.
καί σοι ἐπιρρέξει Γόργος χιμάροιο νομαίης
αἷμα, καὶ ὡραίους ἄρνας ἐπὶ προθύροις.

Ἀνύτης εἰς ἑρμῆν.

Ἑρμᾶς τᾷδ᾽ ἕστακα παρ᾽ ὄρχατον ἠνεμόεντα
ἐν τριόδοις, πολιᾶς ἐγγύθεν αἰόνος,
ἀνδράσι κεκμηῶσιν ἔχων ἄμπαυσιν ὁδοῖο.
ψυχρὸν δ᾽ ἀκραεῖ κράνα ὑποϊάχει.

Εἰς τὸν αὐτόν.

Ἱρὸν ἑρμείῃ με παραστείχοντες ἔχουσιν
ἄνθρωποι λίθινον σωρόν. ὁ δ᾽ ἀντ᾽ ὀλίγης
οὐ μεγάλην αὐτοῖς ἔγνων χάριν. ἀλλ᾽ ὅτι λοιπαὶ
αἰγὸς ἐπὶ κρήνην ἑπτὰ λέγω στάδια.

Εἰς τὸν αὐτόν.

Ὁδῖτα, μὴ πρόσερπε πρὸς τὰ κλήματα,
μήδ᾽ αὖ τὰ μῆλα, μήδ᾽ ὅπη τὰ μέσπιλα.
τηνίδε [illegible] σχοῖνον ἐξαμείβεο,
ὡς μή τι θράξῃς τῶνδε, μὴ δ᾽ ἀποθρίσῃς.

ἀστῶν ποτ᾽ ὁ φυτοεργὸς ἐκτήσατο Μίδων,
ὅς καμὲ θῆκεν. τὺ δὲ μοῦ παρακλυής,
γνώσῃ τὸν Ἑρμῆν, ὡς κακοὺς ἀμείβομαι.

Εἰς τὸν αὐτόν.

Ὀχθηρὸν τὸν χῶρον ἔχω, καὶ ἔρημον ὁδῖται.
οὐκ ἐγὼ, ὁ στάσας δ᾽ αἴτιος ἀρχέλοχος.
οὐ γὰρ ὀρειοχαρὴς ὁ Ἑρμᾶς, οὐδ᾽ ἀκρολοφίτας.
τὸ πλοῦν δ᾽ ἀτραπιτοῖς ὢν ὁδὸν ἀρεσκόμενος.
ἀρχέλοχος δ᾽ ὡς αὐτὸς ἐρημοφίλας, καὶ ἀγείτων
ὦ παριὼν, τοῖον κἀμὲ παρῳκίσατο.

Εἰς Διόνυσον.

Ἐκ πυρὸς ὁ Διόνυσος τὸ δεύτερον. ἡνίκα χαλκὸς
ἐξεφάνης, γενεὴν εὗρε Μύρων ἑτέρην.

Εἰς Πᾶνα.

Κρημνοβάταν δίκορων, νυμφῶν ἡγήτορα Πᾶνα
ἀζόμεθ᾽, ὃς πέτρινον τόνδε κέκευθε δόμον,
ἵλαον ἔμμεναι ἄμμιν, ὅσοι λίβα τῶνδε μολόντες,
ἁγνᾶς πόματος δίψαν ἀπωσάμεθα.

Μαικίου εἰς τὸν αὐτόν.

Εὐπέταλον γλαυκαῖν ἀναδενδράδα τήνδε πὸρ᾽ ἄκραις
ἱδρυνθεὶς λοφιαῖς Πὰν ὁδ᾽ ὑποσκοπέω.
εἰ δέ σε πορφύροντος ἔχει πόθος ὦ παροδῖτα
βότρυος, οὐ φθονέω γαστρὶ χαριζομένῳ.
ἢν δὲ χερὶ ψαύσῃς κλοπίῃ μόνον, αὐτίκα δέξῃ
ἀζαλέην βάκτρου τῶνδε καρηβαρίην.

Ἀδήλου.

Ὁ τραγόπους, ὁ τὸν ἀσκὸν ἐπηρμένος, αἵ τε γελῶσαι
νύμφαι Πραξιτέλους, ἥ τε καλὴ Δανάη,
λύγδινα πάντα, καὶ ἄκρα, σοφαὶ χέρες. αὐτὸς ὁ μάρ-
φθέγξεται, ἄκρητος Ζεῦ πάτερ ἡ σοφίη. (Μος

Εἰς πᾶνα.

Δικτύννης ἱερόν με καθ' ἱερὸν ἔμπυρον ὁ κρής,
χάλκεον ἕστησεν Πᾶνα τὸν αἰγόνυχα.
δέρμα δ' ἔχω διπλοῦντι, λαγωβόλον. ἐκ δέ γε πέτρας
ἀσπλυγγος, τείνω βλέμμα διπλοῦν πρὸς ὄρος.

Εἰς τὸν αὐτόν.

Πέτρης ἐκ παρίης με, πόλιν κατὰ Παλλάδος ἄκρης
στῆσαν ἀθηναῖοι Πᾶνα τροπαιοφόρον.

Εἰς τὸν πρίηπον.

Ἢν λαχανεύων σ' ὁ Πρίηπος ἴδω σχεδὸν ἴχνια θέντα,
αὐτῇ γυμνώσω φώρ σε ποτὶ πρασιῇ.
αἰσχρὸν ἔχειν τοῦτ' ἔργον ἐρεῖς θεόν; οἶδα καὶ αὐτὸς
αἰσχρόν. ἀπαισχύνθην δ' ἴσθ' ὅτι τοῦδε χάριν.

Λεωνίδου εἰς τὸν αὐτόν.

Ἀμφοτέραις παρ' ὁδοῖσι φύλαξ ἕστηκα Πρίηπος,
ἰθυτενὲς μηρῶν ὀρθιάσας ῥόπαλον.
εἵσατο γάρ πιστόν με Θεόκριτος. ἀλλ' ἀπὸ τηλοῦ
φώρ ἴθι, μὴ κλαύσῃς, τὴν φλέβα δεξάμενος.

Εἰς νέμεσιν.

Καί με λίθον πέρσαι δεῦρ' ἤγαγον, ὄφρα τρόπαιον
στήσωνται νίκας. εἰμὶ δὲ νῦν νέμεσις.
ἀμφοτέροις δ' ἕστηκα καὶ ἑλλήνεσσι τρόπαιον
νίκας, καὶ πέρσαις τοῦ πολέμου νέμεσις.

Ἄδηλον.

Ἴσιδι καρποτόκῳ, ταχυμήτορι, μυριομόρφῳ,
λαϊνέῳ ταλάρῳ, μογερῶν ἀπάνευθεν ἀροτήρων,
αὐτόματοι στείχουσιν ἑὴν πρὸς μητέρα καρποί.

Εἰς ἄγαλμα νυμφῶν.

Ταῖς νύμφαις τὸ δ' ἄγαλμα. μέλοι δ' αὐταῖσιν ὁ χῶρος,
καὶ μέλοι, ὡς κρήναις ἄφθιτα ῥεῖθρα ῥέοι.

Εἰς τὸν μῶμον.

Τίς τὸν ἐν ἐσθλοῖσιν πανεπιφθέα, καὶ τρισάλαστον
μῶμον, ἀμωμήτοις χερσὶν ἀπεπλάσατο;
ὡς ὁ γέρων ἐπὶ γᾶς βεβλημένος οἷά τις ἔμπνους,
ἀμπαύει λύπας γυῖα βαρυνόμενος.
μηνύει δὲ στοῖχος ὀλέθριος ὄγμος ὀδόντων,
πριομένων ἐπὶ τὰς τῶν πέλας εὐτυχίας.

Εἰς τὸν αὐτόν.

Τίς τὸν ἐν ἐσθλοῖσιν πανεπιφθέα, καὶ τρισάλαστον
μῶμον, ἀμωμήτοις χερσὶν ἀπεπλάσατο.
καὶ τὸ κατεσκληκὸς κείνου βάρος; ἃ μὲν, ἐρείδει
ψιλὸν γηραιᾷ χειρὶ βαλὼν κρόταφον.
ἃ δὲ, στερρὸς βάκτρον ἀποστηρίζεται ἐν γαῖῃ,
κωφὰ πρὸς ἄψυχον πέτρον ἀπεχθόμενος.

Ἄδηλον.

Τάκεο δυσανίων ὀνύχων ἄπο παμφαγὲ μῶμε.
τάκεο σὺ πρίων ἰοβόλους γένυας.
νεῦρα σε μηνύει τετανυσμένα καὶ φλέβες ἄρθρων,
καὶ κενεὰ σαρκῶν ψυχολιπὴς δύναμις,
καὶ ῥικνοῖς φρίσσουσα, πέρι κροτάφοισι ἔθειρα.

ὥστε, τίς ἔμψυχον ἀνδρέσσιν ἄνυσε τέχνα,
οὐδὲ τόπον δήκτα σεῖο λιπὼν σώματι.

Πέρσου.

Κἀμὲ τὸν ἐν σμικροῖς ὀλίγον θεὸν ἢν ἐπιβώσῃ,
εὐκαίρως τεύξῃ. μὴ μεγάλων δὲ γλίχου.
ὡς ὅτε δημογέρων δύναται θεὸς ἀνδρὶ πένητι
δωρεῖσθαι, τούτων κύριός εἰμι τυχών.

Λεωνίδου.

Ὑλοφόρου τόδ' ἄγαλμα ὁδοιπόρε Μικαλίωνος.
ἑρμῆς δ' ἀλλ' ἴδε τὸν κρήγυον ὑλοφόρον,

ὡς δὲ ὀϊζυρῆς ἠπίσατο δωροδοκῆσαι
ἐργασίης. αἰὲν δ᾽ ὠγαθὸς, ἐς ἀγαθός.

## ΕΙΣ ΕΙΚΟΝΑΣ ΙΑΤΡΩΝ. ιγ

Εἰς εἰκόνα Ἱπποκράτους.
Συνεσίου σχολαστικοῦ.

Ὁππόθεν ὁ ξεῖνος; Βυζάντιος. οὔνομα δὴ τίς;
Εὐσέβιος. σὺ δὲ τίς; Κῷος Ἱπποκράτης.
τοῦ δ᾽ ἕνεκεν γέγραφέν σε; λόγων χάριν. ἡ πόλις αὐτῷ
τὴν ἐμὲ γραφίδων ἀντιδέδωκε γέρας.
καὶ τί μὴ αὐτὸς ἑὸν τύπον ἔγραφεν; ὅττι γεραίρων
ἡμέας ἀνθ᾽ αὐτοῦ, κρέσσονα δόξαν ἔχει.

Μάγνου ἰατροῦ εἰς εἰκόνα Γαληνοῦ.

Ἦν χρόνος ἡνίκα γαῖα βροτοὺς διὰ σεῖο Γαληνὲ
δέχνυτο μὲν θνητοὺς, ἔτρεφε δ᾽ ἀθανάτους.
χηρεύεν δὲ μέλαθρα πολυκλαύτου ἀχέροντος,
σῇ παιωνίῃ χειρὶ βιαζόμενα.

Ἀδέσποτον εἰς Σώσανδρον
ἱπποϊατρόν.

Ἰητὴρ μερόπων Ἱπποκράτης. ἀλλὰ καὶ ἵππων
Σώσανδρος, κρυφίης ἴστορ ἀκεστορίης,
ἢ τέχνην μετάμειψον, ἢ οὔνομα. μὴ δὲ καλείσθω
ἅτερος ἐκ τέχνης, ἧς ἕτερος κρατέει.

Λεοντίου σχολαστικοῦ εἰς εἰκόνα
Ἰαμβλίχου ἰατροῦ.

Ὁ γλυκὺς ἐν πάντεσσιν Ἰάμβλιχος, ὃς ποτὶ γῆρας
ἤλυθεν, ἁγνὸς ἐὼν κυπριδίων ὀάρων,
ἔργα δ᾽ ἀκεστορίης ἐφέπων, σοφίην τε διδάσκων,
κέρδεσιν οὐδ᾽ ὁσίοις χεῖρας ὑπεστόρεσεν.

εἰς εἰκόνα Πραξαγόρου ἰατροῦ.

Κριναγόρου.

Αὐτός σοι Φοίβοιο πάϊς λαθικηδέα τέχνης
ἰδμοσύνην, πανάκῃ χεῖρα λιπηνάμενος,
Πρηξαγόρη, στέρνοις ἐνεμάξατο. τοιγὰρ, ἀνῖαι
ὄρνυνται δολιχῶν ὁππόσαι ἐκ πυρετῶν.
καὶ ὁπόσα τμηθέντος ὧδε χροὸς ἄρκια θεῖναι
φάρμακα, Πρηξαγόρης οἶδα παρ' Ἠπιόνης.
θνητοῖσιν δ' εἰ τοῖοι ἐπήρκεον ἰητῆρες,
οὐκ ἂν ἐπορθμεύθη νεκροβαρὴς ἄκατος.

Εἰς Ἱπποκράτην.

Ἢ τὴν φωνὴν Ἱπποκράτης ἔγραφε παιάν,
ἢ σ' ὑ τῆς κείνου μάρτυς ἀκεσορίης.

Εἰς τὸν αὐτόν.

Οὗτος ἀκεσορίης κρυφίας ὤϊξε κελεύθους
παιήων μερόπων κῷος Ἱπποκράτης.

Εἰς Ὀρειβάσιον ἰατρόν.

Ἰητὴρ μέγας οὗτος Ἰουλιανοῦ βασιλῆος
ἄξιος εὐσεβίης δῖος Ὀρειβάσιος.
εἶχε γὰρ οἷα μέλισσα σοφὸν νόον, ἄλλοθεν ἄλλα
ἰητρῶν προτέρων ἄνθεα δρεψάμενος.

## ΕΙΣ ΤΟΝ ΚΑΙΡΟΝ. 14

Εἰς ἄγαλμα τοῦ καιροῦ Ποσειδίππου.

Τίς; πόθεν ὁ πλάστης; Σικυώνιος. οὔνομα δὴ τίς;
Λύσιππος. σὺ δὲ, τίς; καιρὸς ὁ πανδαμάτωρ.
τίπτε δ' ἐπ' ἄκρα βέβηκας; ἀεὶ τροχάω. τί δὲ ταρσοὺς
ποσσὶν ἔχεις διφυεῖς; ἵπταμ' ὑπηνέμιος.
χειρὶ δὲ δεξιτερῇ τί φέρεις ξυρόν; ἀνδράσι δεῖγμα,
ὡς ἀκμῆς πάσης ὀξύτερος τελέθω.

ἡ δὲ κόμη, τί κατ᾽ ὄψιν; ὑπαντιάσαντι λαβέσθαι.
νὴ Δία τἀξόπιθεν, πρὸς τί φαλακρὰ πέλει;
τὸν γάρ ἅπαξ πτηνοῖσι παραθρέξαντά με ποσσὶν,
οὔτις ἔθ᾽ ἱμείρων δράξεται ἐξόπιθεν.
τοῖον ὁ τεχνίτης με διέπλασεν εἵνεκεν ὑμέων
ξεῖνε, καὶ ἐν προθύροις θῆκε διδασκαλίην.

## ΕΙΣ ΚΗΠΟΥΣ. ΙΣ

Εἰς κῆπον παράλιον. Παύλου σιλεντιαρίου.

Πόντος ὑποκλύζει χθονὸς ἕδρακαν. ἄπλωτα δὲ χέρσου
νῶτα θαλασσαίοις ἄλσεσι τηλεθάει.
ὡς σοφὸς ὅς τις ἔμιξε βυθὸν χθονὶ, φύκια κήποις,
νηϊάδων προχοαῖς, χεύματα νηρεΐδων.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Ἐνθάδ᾽ ἐριδμαίνουσι τίνος πλέον ἔπλετο χῶρος
νύμφαι, νηϊάδες, νηρεΐδες, ἀδρυάδες.
ταῖσδε θεμιστεύει μεσάτη χάρις. οὐδὲ δικάζειν
οἶδεν, ἐπεὶ ξυνὴν τέρψιν ὁ χῶρος ἔχει.

Ἀγαθίου σχολαστικοῦ εἰς τὸ αὐτό.

Εἶχον ἐμοὶ δάφνης ἱερὸν κλέτας, ἔνθεν πόντου
κείμενον ἀγραύλου κάλλος ἐρημοσύνας.
ἐνθάδε γὰρ νύμφαι δενδρίτιδες, αἵτ᾽ ἐνὶ πόντῳ
νηρεΐδες, ξυνὴν θέντο συνηλυσίην.
ἀμφ᾽ ἐμὲ γὰρ μάρναντο. δίκασσε δὲ κυανοχαίτης.
καί με παρ᾽ ἀμφοτέραις μέσσον ἔθηκεν ὅρον.

Εἰς κῆπον, ἔρωτα προσαγορευόμενον.

Οὐ μέγας οὗτος ὁ ἔρως, ἀλλ᾽ εὔχαρις. ὡς καὶ ἐγώ τοι
οὐ μέγας ἐν κήποις, ἀλλὰ γέμω χαρίτων.



ALEXANDER ... ARAGONUM ... FERDINANDUS

Εἰς κῆπον παραθαλάττιον ἐν ᾧ ἦν
καὶ λουτρὸν ἐν ἀντιοχείᾳ.

Τὰς τρεῖς μοι λεύσσεις χάριτας ξένε. ποντομέδων γὰρ
γείτονος ἐκ πόντου τὴν μίαν εἰργάσατο.
τὴν δ' ἑτέρην, ἐτέλεσσε φυτῶν εὔκαρπος ἀλωή.
τὴν δ' ὑπολειπομένην, τοῦτο τὸ λουτρὸν ἔχει.

ΕΙΣ ΚΙΘΑΡΩΙΔΟΥΣ. 16

Εἰς ἄγαλμα Εὐνομίου τοῦ κιθαριστοῦ
ἑστῶτος ἐν δελφοῖς.

Εὔνομον ὦ πολλον σὺ μὲν οἶσθά με τῶς ποτ' ἐνίκων
ἀντίον ὁ λοκρὸς ἐγώ. πευθομένοις δ' ἐρέω.
αἰόλον ἐν κιθάρᾳ νόμον ἔκρεκον. ἐν δὲ μεσεύσᾳ
ᾠδᾷ μοι, χορδὰν πλᾶκτρον ἀπεκρέμασεν.
καί μοι φθόγγον ἑτοῖμον ὁπανίκα καιρὸς ἀπῄτει
εἰς ἀκοὰς ῥυθμὸν τὠτρεκὲς οὐκ ἔμενεν.
καί τις ἀπ' αὐτομάτω κιθάρας ἐπὶ πᾶχυν ἀνασὰς
τέττιξ, ἐπλήρου τὠτρεκὲς ἁρμονίης.
νεῦρα γὰρ ἐξετίνασσον. ὅθ' ἑβδομάτας δὲ μελοίμαν
χορδᾶς, τὰν τούτῳ γῆρυν ἐμιξάμεθα.
πρὸς γὰρ ἐμὰν μελέταν ὁ μεσαμβρινὸς οὔρεσιν ᾠδὸς
τῆνο τὸ ποιμενικὸν φθέγμα μεθηρμόσατο.
καὶ μὲν οὐκ φθέγγοιτο σὺν ἀψύχοις τόκα νεύραις,
τῷ μεταβαλλομένῳ συμμετέπιπτε θρόῳ.
τοὔνεκα συμφώνων τὴν ἐγὼ χάριν, ὃς δὲ τυπωθεὶς
χάλκεος, ἁμετέρας ἕζεθ' ὑπὲρ κιθάρας.

Βιάνορος εἰς εἰκόνα ἀρίονος τοῦ
κιθαρῳδοῦ.

Ἔστησεν Περίανδρος ἀρίονος εἰκόνα ταύτην,
καὶ τὸν ἀπολλυμένῳ σύνδρομον ἐξάμενον

εἰναλίου δελφῖνα. λέγει δ᾽ ὁ παλαιὸς ἐν μύθοις,
κτεινόμεθ᾽ ἀνθρώποις, ἰχθύσι σωζόμεθα.

Παύλου σιλεντιαρίου εἰς εἰκόνα κιθαριστρίδος ἐν βυζαντίῳ.

Σοὶ μὲν κάλλος ἔδειξε μόλις γραφίς. αἴθε δὲ τεύχειν
ἔσθενε καὶ λιγυρῶν ἡδὺ μέλος στομάτων,
ὥς κεν ἐπ᾽ ὀφθαλμοῖσι, καὶ οὔασιν, ἔκ τε προσώπου,
ἔκ τε λυροκτυπίης, ἶσον ἐθελγόμεθα.

Εἰς εἰκόνα Μαρίας τῆς κιθαρῳδοῦ. Τοῦ αὐτοῦ.

Πλῆκτρον ἔχει φόρμιγγος. ἔχει καὶ πλῆκτρον ἔρωτος.
κρούει δ᾽ ἀμφοτέροις καὶ φρένα, καὶ κιθάρην.
τλήμονες, οἷσιν ἄγναμπτον ἔχει νόον. ὧ δ᾽ ἐπινεύσει,
ἄλλος ὅδ᾽ ἀγχίσης, ἄλλος ἄδωνις ὅδε.
εἰ δ᾽ ἐθέλεις ὦ ξεῖνε καὶ ἀμφιβόητον ἀκοῦσαι
οὔνομα, καὶ πάτρην, ἐκ φαρίης, Μαρίη.

## ΕΙΣ ΚΙΟΝΑΣ. 17

Εἰς τὸν ἐν τῷ ἱπποδρόμῳ τετράπλευρον κίονα.

Κίονα τετράπλευρον, ἀεὶ χθονὶ κείμενον ἄχθος,
μοῦνος ἀναστῆσαι Θευδόσιος βασιλεὺς
τολμήσας, Πρόκλῳ ἐπεκέκλετο. καὶ τόσος ἔστη
κίων, ἠελίοις ἐν τριακοντα δύο.

Εἰς τὰς ἐν μέμφει πυραμίδας.

Ὄσσαν ἐπ᾽ οὐλύμπῳ, καὶ πήλιον ὕψι τεθέντα,
ψευδὴς ἱστορίης ῥῆσις ἀνεπλάσατο.
πυραμίδες δ᾽ ἔτι νῦν, νειλωΐδες, ἄκρα μέτωπα,
κύρουσι χρυσέοις ἄστρασι πληϊάδων.

ARAGONVM · ALEXANDER ... FERDINANDVS

Εἰς λίθον ἀκοίτωνον.

Ὁρᾷς τὸ κάλλος ὅσσον ἐστὶ τῆς λίθου
ἐν ταῖς ἀτάκτοις τῶν φλεβῶν εὐταξίαις;

Εἰς κρύσταλλον ἐντὸς ὕδωρ ἔχου-
σαν. Κλαυδιανοῦ.

Χιονέη κρύσταλλος ὑπ᾽ ἀέρος ἀσκηθεῖσα,
δεῖξεν ἀκηρασίοιο πανάιολον εἰκόνα κόσμου,
οὐρανὸν ἀγκὰς ἔχουσα βαρύκτυπον ἔνδοθι πόντ

Εἰς τὸ αὐτό. τοῦ αὐτοῦ.

Εἴπ᾽ ἄγε μοι κρύσταλλε, λίθος πεπυκασμένον ὕδωρ,
τίς πῆξεν; βορέης. ἢ τίς ἔλυσε; νότος.

Εἰς κρύσταλλον γεγλυμμένην.
Διοδώρου.

Ζεύξιδος ἡ χροιή τε καὶ ἡ χάρις. ἐν δέ με μικρῇ
κρυστάλλῳ τὸ καλὸν δαίδαλον ἀρσινόη
γράψας τοῦτ᾽ ἔπορεν Σατυρήιος. εἰμὶ δ᾽ ἀνάσσης
εἰκὼν καὶ μεγάλης λείπομαι οὐδ᾽ ὀλίγον.

Εἰς ἕτερον. Πολέμωνος
Βασιλέως.

Ἑπτὰ βοῶν σφραγῖδα βραχὺς λίθος εἶχεν ἴασπις,
ὡς μίαν, ὡς πάσας ἔμπνοα δερκομένας.
καὶ τάχα κἂν ἀπέρεψε τὰ βοίδια. νῦν δὲ κέκλεισται
τῇ χρυσῇ μάνδρῃ τὸ βραχὺ βουκόλιον.

Ὅμοιον Πλάτωνος.

Εἰκόνα πέντε βοῶν μικρὴ λίθος εἶχεν ἴασπις,
ὡς ἤδη πάσας ἔμπνοα βοσκομένας.
καὶ τάχα κἂν ἀπέφευγε τὰ βοίδια. νῦν δὲ κρατεῖται
τῇ χρυσῇ μάνδρῃ τὸ βραχὺ βουκόλιον.

Ὅμοιον εἰς δακτύλιον. Ἀρχίου.

Τὰς βοῦς καὶ τὸν ἴασπιν ἰδὼν ποτὶ χεῖρ', δοκήσεις
τὰς μὲν ἀναπνείειν, τὸν δὲ χλοηκομέειν.

Εἰς Διόνυσον γεγλυμμένον ἐν ἀμεθύσῳ.
Πλάτωνος νεωτέρου.

Ἁ λίθος ἔσ' ἀμέθυστος, ἐγὼ δ' ὁ ποτὰς Διόνυσος.
ἢ πιθέτω νήφειν, ἢ μαθέτω μεθύειν.

Ἀσκληπιάδου εἰς τὸ αὐτό.

Εἰμὶ μέθη τὸ γλύμμα σοφῆς χερός. ἐν δ' ἀμεθύσῳ
γέγλυμμαι. τέχνης δ' ἡ λίθος ἀλλοτρίη,
ἀλλὰ Κλεοπάτρης ἱερὸν κτέαρ. ἐν γὰρ ἀνάσσης
χειρὶ, θεὸν νήφειν καὶ μεθύουσαν ἔδει.

Εἰς ἔρωτα γεγλυμμένον ἐν καυ-
κίῳ. Οἰνομάου.

Ἐν κυάθῳ τὸν ἔρωτα. τίνος χάριν; ἀρκεῖ τὸν οἶνον
αἴθεσθαι κραδίην. μὴ πυρὶ πῦρ ἐπάγε.

Εἰς τὸν ἐν μεγάροις κιθαρι-
ζην λίθον.

Τόν με λίθον μέμνησο τὸν ἠχήεντα παρέρπων
νισαίην. ὅτε γὰρ τύρσιν ἐτειχοδόμει
ἀλκάθοος, τότε Φοῖβος ἐπωμαδὸν ἦρε δόμαιον
λᾶαν, λυκωρείην ἐνθέμενος κιθάρην.
ἔνθεν ἐγὼ λυραοιδός. ὑποκρούσας δέ με λεπτῇ
χερμάδι, τοῦ κόμπου μαρτυρίην κόμισαι.

Πλάτωνος.

Εἷς λίθος, ἅρμ', ἐλατὴρ, ἵπποι, ζυγὸν, ἡνία, μάστιξ.

Τοῦ αὐτοῦ.

Ἁ σφραγὶς, ὑάκινθος. Ἀπόλλων δ' ἐστὶν ἐν αὐτῇ,
καὶ Δάφνη. ποτέρου μᾶλλον ὁ Λητοΐδας.

Ην τόπαρος φιλέεσκεν ἄρεν, σκοπίαζε Κυθήρην,
ἐνθάδε λουομένην νάμασι φαιδροτάτοις.
Δέρκεο νηχομένην. μὴ δείδιθι. οὐ γὰρ ἀθήνην
παρθένον εἰσοράας οἷά τε Τειρεσίας.

Εἰς τὸ αὐτό.

Αἱ χάριτες λούσαντο. ἀμειψάμεναι δὲ λοετρὸν,
δῶκαν ἑῶν ῥεθέων ὕδασιν ἀγλαΐην.

Εἰς τὸ αὐτό.

Η τοῖον κυθέρειαν ὕδωρ τέκεν, ἢ Κυθέρεια
τοῖον ἔτευξεν ὕδωρ, ὃν χρόα λυσαμένη.

Εἰς τὸ αὐτό.

Τῶν χαρίτων τόδε λουτρὸν ἀθύρματα. καὶ γὰρ ἐκείνας
μούνας ἔσω παισδεν τὰς χάριτας δέχεται.

Εἰς τὸ αὐτό.

Οντως δὴ χαρίτων λουτρὸν τόδε. οὐδὲ γὰρ ἄλλους
πλείους χωρῆσαι τοῦτο τριῶν δύναται.

Εἰς τὸ αὐτό.

Μικρὰ μὲν ἔργα τάδ᾽ ἐστιν. ἔχει δ᾽ ἡδεῖαν ὀπωπὴν,
ὡς ῥόδον ἐν κήποις, ὡς ἴον ἐν ταλάροις.

Εἰς τὸ αὐτό.

Εν μικρῷ μεγάλη λουτρῷ χάρις. ἐνδ᾽ ἐλαχίστῳ
νάματι λουομένοις, ἡδὺς ἔπεστιν ἔρως.

Εἰς τὸ αὐτό.

Ως δ᾽ ἐνδόκου βραχύφυλλον, ἔχει δ᾽ ἡδεῖαν ὀπωπὴν,
οὕτως λουτρὰ τάδε σμικρὰ μὲν, ἀλλὰ φίλα.

Εἰς τὸ λουτρὸν Μαρίας.

Τῆς Μαρίης τὸ λοετρὸν ἰδὼν ὑπεδάκρυε μῶμος,
εἰπὼν, ὡς Μαρίην, καὶ σὲ παρορχόμεθα.

ALEXANDER ... FERDINANDUS ... VALENTINUS

Εἰς λουτρὸν μικρὸν παρακείμενον τῷ τοῦ Ζευξίππου. Λεοντίου σχολαστικοῦ.

Μὴ νεμέσα Ζεύξιππε παραντέλλοντι λοετρῷ.
καὶ μεγάλην παρ᾽ ἄμαξαν ἐρωτύλος ἡδὺ φαείνει.

Εἰς ἕτερον ἐν σμύρνῃ.

Ἔνθαδε λουσαμένων χαρίτων ποτὲ, θέσκελα πέπλα
βαιὸς ἔρως ἔκλεψε, καὶ ᾤχετο. τὰς δ᾽ ἔλιπ᾽ αὐτοῦ,
γυμνὰς αἰδομένας θυρέων ἔκτοσθε φανῆναι.

Εἰς βαλανεῖον ψυχρόν.

Τὸν ποταμὸν βαλανεῦ τίς ἐτείχισε; τίς βαλανεῖον
τὴν κρήνην ψευδῶς τήνδε μετωνόμασεν;
Αἴολος ἱπποτάδης φίλος ἀθανάτοισι θεοῖσιν
ὧδε μετοικήσας, ἤγαγε τοὺς ἀνέμους.
Πρὸς τί δὲ καὶ σανίδες δύο τοῖς ποσὶν αἵδ᾽ ὑπόκεινται;
οὐ διὰ τὴν θέρμην, τῆς χιόνος δ᾽ ἕνεκα.
Φρίξου, καὶ Νάρκης οὗτος τόπος. ἀλλ᾽ ἐπίγραψον,
τῷ μεσορὶ λοῦσαι. πνεῖ γὰρ ἔσω βορέας.

Εἰς ἕτερον ἐν Βυζαντίῳ.

Λωτὸν ἐρεπτομένους, πατέρων οὐ ψεύσατο μῦθος.
πίστιν ἀληθείης τοῦτο τὸ λουτρὸν ἔχει.
Εἰ γὰρ ἅπαξ καθαροῖσιν λοέσσεται ὕδασιν ἀνὴρ,
οὐ ποθέει πάτρην, οὐκ ἐθέλει γενέτας.

Εἰς ἕτερον ἐν Βυζαντίῳ ἔχον ἀφροδίτην λουομένην. Ἀγαθίου σχολαστικοῦ.

Νῦν ἔγνων Κυθέρεια πόθεν νίκησας ἀγῶνα,
τὴν πρὶν ἀλεξάνδρου ψῆφον ὑφαρπαμένη.
Ἐνθάδε γὰρ τέγξασα τεὸν δέμας, εὗρες ἐλέγξαι
ἥρην, ἵνα χί[illegible]ς χ[illegible]μασι λουσαμένην.
Νίκησεν τὸ λοετρὸν, ἔοικε δὲ τοῦτο βοῶσα
Παλλὰς, ἐνικήθην ὕδασιν, οὐ Πάριδι.

Εἰς ἕτερον δίδυμον, ἐν ᾧ λέγονται γυναικός,
καὶ ἀνδρός. Παύλου σιλεντιαρίου.

Ἄγχι μὲν ἐλπὶς ἔρωτος. ἑλεῖν δ' οὐκ ἔστι γυναῖκας.
εἴργει πυλὶς Παφίην τὴν μεγάλην, ὀλίγη.
ἀλλ' ἔμπης, γλυκὺ τοῦτο. προσβλήτοις γὰρ ἐπ' ἔργοις,
ἐλπὶς ἀληθείης ἐστὶ μελιχροτέρη.

Εἰς ἕτερον. Ἀδέσποτον.

Ὅσσαις θηλυτέραις ἐστὶν πόθος, ἔστι δὲ πάσαις,
δεῦρ' ἴτε φαιδροτέρης τευξόμεναι χάριτος.
ἣν μὲν ἔχουσα πόσιν, τέρψει πόσιν. ἢν δ' ἔτι κούρη,
ὀτρυνέει πλείστους ἕδνα πορεῖν λεχέων.
ἡ δὲ φέρουσα πόρους ἀπὸ σώματος, ἐς μὲν ἐραστῶν
ἕξει ἄδην προθύροις, ἐνθάδε δὲ λουσαμένη.

Εἰς τὸ αὐτό.

Εἴτε σε κουριδίης ἀλόχου γλυκὺς ἵμερος ἴσχει,
λούεο, φαιδρότερος τῇ δὲ φανησόμενος.
εἴτε σε μισθοφόρους ἄδην μαχλάδας οἶστρος ὀρίνει,
λήψῃ, κουδώσεις, ἐνθάδε λουσάμενος.

Κύρου ποιητοῦ εἰς ἕτερον.

Κύπρις σὺν χαρίτεσσι, καὶ υἱέϊ χρυσοβελέμνῳ,
ἐνθάδε λουσαμένη, μισθὸν ἔδωκε χάριν.

Εἰς ἕτερον προκείμενον τῷ δημοσίῳ ἐν
Βυζαντίῳ. Λεοντίου σχολαστικοῦ.

Δείματ' με ξυνοῖο παρὰ προθύροισι λοετροῦ
ἀστὸς ἀνήρ, ἀρετῆς εἵνεκεν, οὐκ ἔριδος.
κεῖνο μέλει πλεόνεσσιν. ἐγὼ δ' ὀλίγοις τε, φίλοις τε,
ἐντίνω προχοάς, καὶ μύρα, καὶ χάριτας.

Μακεδονίου ὑπάτου εἰς ἕτερον ἐν Λυκίῳ.

Πιστότατος μερόπων τίς ἔοι πυλαωρὸς ἐμοῖο,
κρίνων λουομένων καιρὸν ἐπηλυσίης;

...λυα νηϊάδων τὶς ἐμοῖς ἐνὶ χεύμασι γυμνὴν
ἢ μετὰ καλλικόμων Κύπριν ἴδῃ χαρίτων,
ἔθελον. χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς.
τίς γὰρ ὁμηρείοις ἀντιφέροιτο λόγοις;

Μαριανοῦ σχολαστικοῦ εἰς ἕτερον ὀνομαζόμενον ἔρωτα.

...ητέρα Κύπριν ἔλουσεν ἔρως ποτὲ τῷδε λοετρῷ,
αὐτὸς ὑποφλέξας λαμπάδι καλὸν ὕδωρ.
...δρὼς δ' ἀμβροσίοιο χυθεὶς χροὸς, ἄμμιγα λευκοῖς
ὕδασι, φεῦ, πνοιῆς ὅσσον ἀνῆψεν ἔαρ.
...ἔνθεν ἀεὶ ῥοδόεσσαν ἀναζείουσιν ἀϋτμὴν,
ὡς ἔτι τῆς χρυσῆς λουομένης Παφίης.

Εἰς τὸ αὐτὸ, τοῦ αὐτοῦ.

...τὰς δ' ὑπὸ τὰς πλατάνους, ἁπαλῷ πεπεδημένος ὕ-
εὗδεν ἔρως, νύμφαις λαμπάδα παρθέμενος. (πνῳ
νύμφαι δ' ἀλλήλῃσι, τί μέλλομεν; αἴθε δὲ τούτῳ
σβέσσαιμεν εἶπον ὁμοῦ πῦρ κραδίης μερόπων.
λαμπὰς δ' ὡς ἔφλεξε καὶ ὕδατα, θερμὸν ἐκεῖθεν
νύμφαι ἐρωτιάδες λουτροχοοῦσιν ὕδωρ.

Ἰωάννου γραμματικοῦ εἰς ἕτερον ἔχον Πίνδαρον.

...θέ σε Πίνδαρε μᾶλλον ἐμοῖς ἐκάθηρα ῥεέθροις.
καί κεν ἄριστον ὕδωρ τοὐμὸν ἔφησθα μόνον.

Δαμοχαρίδου γραμματικοῦ εἰς ἕτερον.

...ρῃ, καὶ Παφίῃ, καὶ Παλλάδι τοῦτο τὸ λουτρὸν,
ὡς ποτε τὸ χρυσοῦν ἤρεσε μῆλον ἔχειν.
...ὶ τάχα τῆς μορφῆς κρίσις ἔσσεται. οὐ Πάρις αὐταῖς,
εἰκὼν δ' ἀργυρέοις νάμασι δεικνυμένη.

Εἰς τὸ αὐτό.

...μοσαν αἱ χάριτες φερεαυγέα κοίρανον αἴγλης
ἐνθάδε ναιετάειν, ἢ παρὰ τῇ Παφίῃ.

ALEXANDER · ARAGONUM · FERDINANDUS

Εἰς τὸ αὐτό.

Τοῦ δ' ἰδὼν τὸ λοετρὸν ὁ πάνσοφος εἶπεν ὅμηρος,
νηπενθές, ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων.

Εἰς τὸ αὐτό.

Αἱ τρεῖς ὀρχομενοῦ χάριτες τὸ λοετρὸν ἔτευξαν.
οὕνεκα χωρῆσαι τέσσαρας οὐ δύναται.

Εἰς τὸ αὐτό.

Ἔνθα δὲ λυσαμένη δέμας ἄμβροτον αὐτίκα Κύπρις,
δεῖξεν ἀλεξάνδρῳ, καὶ ἄεθλιον ἥρπασε μῆλον,

Εἰς τὸ αὐτό.

Κύπρις, ἔρως, χάριτες, νύμφαι, Διόνυσος, ἀπόλλων,
ὤμοσαν ἀλλήλοις ἐνθάδε ναιετάειν.

Εἰς τὸ αὐτό.

Ἀθάνατοι λοῦνται, ἀνοιγομένου βαλανείου.
πέμπτῃ δ', ἡμίθεοι. μετέπειτα δὲ ἤματα πάντα.

Εἰς ἕτερον λουτρὸν μικρόν.

Μὴ νεμέσα βαιοῖσι. χάρις βαιοῖσιν ὀπηδεῖ.
Βαιὸς καὶ Παφίης ἔπλετο κοῦρος ἔρως.

Λεοντίου σχολαστικοῦ εἰς τὰ θέρμα
τὰ Βασιλικά.

Θέρμα τάδ' ἀτρεκέως Βασιλήϊα. τὴν δὲ γὰρ αὐτοῖς
οἱ πρὶν ἀγασσάμενοι θῆκαν ἐπωνυμίην.
οὐ γὰρ ὑπὸ βροτέῳ πυρὶ θάλπεται ἀγλαὸν ὕδωρ,
αὐτομάτη δὲ λιβὰς τίκτεται αἰθομένη,
οὐδὲ ῥόου ψυχροῦ ποτιδεύεται ἀμφὶ λοετρά,
ἀλλ' οἷον ποθέεις, τοῖον ὑπεκφέρεται.

Εἰς τὰ θέρμα τὰ ἀγαμεμνόνεια ἐν
σμύρνῃ. Ἀγαθίου σχολαστικοῦ.

Χῶρος ἐγὼ Δαναοῖς μεμελημένος. ἔνθα μολόντες
τῆς πολυαλγείης ἐξελάθοντο τέχνης.

ἕλκεα γὰρ

ἕλκεα γὰρ μετὰ δῆριν, ἐμοῖς ἀκέσαντο ῥεέθροις,
βαρβαρικῆς λόγχης ἰὸν ἀπωσάμενοι.
ἔνθεν ἀεξήθην ὀροφηφόρος. ἀντὶ δὲ τιμῆς,
τὴν ἀγαμεμνονέην εὗρον ἐπωνυμίην.

Εἰς ἕτερα θερμά.

Ἄδηλον.

Χθὼν μυχάτων γυάλων κοιλώμασιν ἄγριον πῦρ
εὖτ' ἂν ἔχῃ, φλοξὶν δὲ πεδιζείῃ κρυφίῃσιν
ἀτμὸς ἄνω βαίνων εἰς αἰθέρα θερμὸς, ἔνερθεν
θλιβόμενος, πυριθαλπὲς ἐρεύγεται ἰκμάσιν ὕδωρ.

Ἄδηλον.

Χρήμασι τοῖς ἀγάθωνος ἐδείματο τῆδε λοετρὸν
δῆμος ὁ τῆς τεγέης, θαῦμα καὶ ἐσσομένοις.

Εἰς λουτρὸν ἐν πραινέτῳ.

Οὐ βαλανεῖον ἔην τὸ πάροιθε τὸ νῦν βαλανεῖον,
ἀλλὰ τόπος σκυβάλων χῶρος ἀποκρίσιος.
νῦν δὲ τὰ τερπνὰ τὰ πᾶσι βοώμενα καὶ χαρίεντα,
ἀγλαΐη προφέρει. καὶ γὰρ ἀλέξανδρος
νικαέων ἱερεὺς, σοφίης ἐρικυδέος ἀστὴρ,
τεῦξέ μιν οἰκείοις χρήμασι, καὶ δαπάναις.

## ΕΙΣ ΝΑΟΥΣ. 20

Εἰς ναὸν τοῦ Διὸς κτισθέντα παρὰ κεκροπιδῶν.

Αὐτοῦ Ζηνὸς ὅδ' οἶκος ἐπάξιος. οὐδέ γ' ὄλυμπος
μέμψεται οὐρανόθεν Ζῆνα κατερχόμενον.

Εἰς τὸ αὐτό.

Κεκροπίδαι Διὶ τόνδ' ἔθεσαν δόμον, ὡς ἀπ' ὀλύμπου
νισσόμενος ποτὶ γῆν, ἄλλον ὄλυμπον ἔχῃ.



ALEXANDER PP VI ... ARAGONVM ... FERDINANDVS ... SANCTI ...

Ἄδηλον.

Ἱρὰ θεῶν ἀγαθοῖς ἀναπέπταται· οὐδὲ καθαρμῶν
χρειώ, τῆς ἀρετῆς ἥψατο οὐδὲν ἄγος.
ὅστις δ' οὖλον ἦτορ, ἀπόστιχε· οὔποτε γὰρ σὴν
ψυχὴν ἐκνίψει σῶμα μαινόμενον.

Ἄδηλον.

Τίς ποκ' ἀπ' Οὐλύμποιο μετήγαγε παρθενεῶνα,
τὸν πάρος οὐρανίοις ἐμβεβαῶτα δόμοις,
ἐς πόλιν Ἀνδρόκλοιο θοῶν βασίλειαν Ἰώνων,
τὰν δορὶ καὶ μούσαις αἰπυτάταν Ἔφεσον;
ἦ ῥά σὺ φιλαμένα Τιτυοκτόνε μέζον Ὀλύμπου
τὰν τροφὸν, ἐνταυθοῖ τὸν σὸν ἔθου θάλαμον.

## ΕΙΣ ΝΙΚΗΝ. Παλλαδᾶ. 21

Νίκαι πάρεσμεν αἱ γελῶσαι παρθένοι,
νίκας φέρουσαι τῇ φιλοχρίστῳ πόλει.
ἔγραψαν ἡμᾶς οἱ φιλοῦντες τὴν πόλιν,
πρέποντα νίκαις ἐντυποῦντες σχήματα.

Εἰς ἄγαλμα νίκης ἄπτερον ἐν Ῥώμῃ, ἧς
τὰ πτερὰ κεραυνῷ κατεφλέχθη.

Πομπηΐου.

Ῥώμα παμβασίλεια, τεὸν κλέος οὔποτ' ὀλεῖται·
νίκη γὰρ σε φυγεῖν ἄπτερος οὐ δύναται.

## ΕΙΣ ΞΕΝΟΔΟΧΕΙΟΝ 22.

Σωφρονίου πατριάρχου.

Ὁ πρὶν ἀλώμενος, καὶ ἀνέστιον ἴχνος ἐλαύνων,
εἴτ' ἀφ' ὁδοιπορίης, εἴτ' ἀπὸ ναυτιλίης,
ἐνθάδε νῦν προσιὼν στῆσον ξένε τὸν σεο π[illegible]λα,
ναιετάειν ἐθέλων, οἶκον ἑτοῖμον ἔχων.

εἰ δέ με καὶ τίς ἔτευξεν ἀνακρινέεις πολιήτης
Εὐλόγιος, φαρίης, ἀρχιερεὺς ἀγαθός.

Εἰς τὸ αὐτό.

ὸς ἐμοὶ καὶ ξεῖνος, ἀεὶ φίλος. οὐ γὰρ ἐρευνᾷ
τίς; πόθεν; ἢ τίνων; ἐστὶ φιλοξενίης.

## ΕΙΣ ΟΙΚΟΥΣ. 23

Εἰς οἶκον ἐν Κιβύρᾳ. Μακεδονίου ὑπάτου.

Εὐσεβίῃ τὸ μέλαθρον ἀπὸ πρώτοιο θεμέθλου
ἄχρι καὶ ὑψηλοὺς ἤγαγεν εἰς ὀρόφους.
οὐ γὰρ ἀπ' ἀλλοτρίων κτεάνων ληΐστορι χαλκῷ
ὄλβον ἀολλίζων, τεῦξε μακηδόνιος.
οὐδὲ λιπορρινήτης κενεῶ, καὶ ἀνὴρ δεῖ μόχθῳ
κλαῦσε, δικαιοτάτου μισθοῦ ἀτεμβόμενος.
ὡς δὲ πόνων ἄμπαυμα φυλάσσεται ἀνδρὶ δικαίῳ,
ὧδε καὶ εὐσεβέων ἔργα μένει μερόπων.

Εἰς οἶκον κείμενον μέσον τοῦ Ζευξίππου,
καὶ τοῦ ἱππικοῦ. Λεοντίου.

Ἐν μὲν τῇ, Ζεύξιππον ἔχω πέλας, ἡδὺ λοετρόν·
ἐκ δ' ἑτέρης, ἵππων χῶρον ἀεθλοφόρων.
τοὺς ἄρα θησάμενος, καὶ τῷ δ' ἔνι χρῶτα λοέσσας,
δεῦρο καὶ ἀμπνεύσον δαιτὶ παρ' ἡμετέρῃ.
καί κε πάλιν σταδίοις ποτὶ δείελον ὥριος ἔλθοις,
ἐγγύθεν ἐγγὺς ἰὼν γείτονος ἐκ θαλάμου.

Παύλου σιλεντιαρίου εἰς οἶκον
ὑψηλὸν ἐν Βυζαντίῳ.

Τρισσόθεν εἰσορόω πολυτερπέα νῶτα θαλάσσης,
πάντοθεν ἠματίῳ φέγγει βαλλόμενος.
εἰς ἐμὲ γὰρ κροκόπεπλος ὅταν φοινίσσεται ἠὼς
τερπομένη, στείχειν πρὸς δύσιν οὐκ ἐθέλει,

εἰς οἶκον ἐπίπεδον. Ἰουλιανοῦ ἀπὸ
ὑπάρχων αἰγυπτίου.

Ὥρῃ ἀναψύχω θέρεος, καὶ χείματι θάλπω,
τὰς λιπὲς ὡράων δ' ἐξ ἐμέθεν παρέχων.

Εἰς οἶκον ἐν ὕψει κείμενον ἐν Βυζαν-
τίῳ. Ἀγαθίου σχολαστικοῦ.

Τῆς ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
ὥνεπεν ὁ ἀσκραῖος δῶμα τόδε προλέγων.
κλίμακα γὰρ ταναὴν ποδῶν κεκαφηότι ταρσῷ,
ἱδρῶτι πλαδαρὴν ἀμφεδίνησα κόμην.
ὑψόθι δ' εἰσενόησα θαλασσαίην περιωπὴν,
καὶ τάχα τῆς ἀρετῆς πιστότατος θάλαμος.

Εἰς ἀφύλακτον οἶκον τῷ βασί. Ἰουλιανοῦ
ἀπὸ ὑπάρχων αἰγυπτίου.

Κερδαλέους δίζεσθε δόμους ληΐστορες ἄλλους.
τοῖσδε γὰρ ἐστὶ φύλαξ ἔμπεδος, ἡ πενίη.

Εἰς τὸν τρίκλινον τῆς
μαγναύρας.

Οστραλέως τολύπευσαν τόνδε δόμον βασιλῆες,
αἰχμὴν ὀλβοδότειραν ἀπὸ σταυροῖο λαχόντες,
αὐτὸς ἄναξ ἡρακλῆς, σὺν Κωνσταντίνῳ υἱεῖ.

Εἰς οἶκον τὸν λεγόμενον χαλκῆ
ἐν τῷ παλατίῳ.

Οἶκος ἀναστασίοιο τυραννοφόνου βασιλῆος
μοῦνος ὑπερτέλλω πανυπείροχος ἄστεσι γαίης,
θαῦμα φέρων πάντεσσιν. ἐπεὶ κοσμήτορες ἔργων
ὕψος ὁμοῦ, μῆκός τε, καὶ ἄπλετον εὖρος ἰδόντες,
ἄσκεπες ἐφράσσαντο πελώριον ἔργον ἐᾶσαι.
ἀλλὰ πολυμήτιο λαχὼν πρεσβήια τέχνης
αἰθέριος πολύϊδρις, ἐμὴν τεχνήσατο μορφὴν

ἀρχαίῳ βασιλῆϊ φέρων πολυτάγρια μόχθων.
εὗρεν ἀπειρέσιον μέγεθος περὶ παντὶ ἐπαίνων,
αὐσονίων νίκησε βοώμενα θαύματα γαίης.
εἶξον ἀριστοτέροισι χάρις καπετωλίδος αὐλῆς.
εἰ καὶ χαλκείων ὀρόφων ἀμαρύγματα πέμπεις,
κρύψον ἀμετρήτων μεγάρων στεινόμενον αὐλαῖς,
πέργαμε, φαιδρὸν ἄγαλμα τεὸν ῥουφίνιον ἄλσος.
μὴ δὲ τανυπλεύροισιν ἀρηρότα κύζικε πέτροις,
ἀδριανοῦ βασιλῆος ἀμεμφέα νηὸν ἀείσῃς.
οὔ μοι πυραμίδων ἰκέλη κρίσις, οὐδὲ κολοσσοῦ,
οὐδὲ φάρου. μεγάλων μένος δ' ὑπερέδραμον αἴγλην.
αὐτὸς ἐμὸς σκηπτοῦχος ἰσαυροφόνον μετὰ νίκην,
χρυσοφαὲς μ' ἐτέλεσσεν ἐδέθλιον ἠριγενείης,
πάντῃ τετραπόρων ἀνέμων πεπετασμένον αὔραις.

Εἰς τὰ παλάτια Σοφιανῶν.

Μαριανοῦ σχολαστικοῦ.

Ὀππόθι τεμνομένης χθονὸς αὔδιχα πόντον ἀνοίγει
πλαγκτὸς ἁλικλύστων πορθμὸς ἐπ' ἠϊόνων,
χρύσεα συλλέκτρῳ τάδ' ἀνάκτορα θῆκεν ἀνάσσῃ
τῇ πολυκυδίστῃ θεῖος ἄναξ Σοφίῃ.
ἄξιον ὦ ῥώμη μεγαλοκρατὲς ἀντία σεῖο
κάλλος ἀπ' εὐρώπης δέρκεαι εἰς ἀσίην.

Εἰς τὸ μέγα πραιτώριον καλλοπιδῶν. Παύλου σιλεντιαρίου.

Κόσμον ἰουστῖνος βασιλεὺς ῥυπόωντα καθήρας,
καὶ τὰ μέγιστα δίκης ἠγλαΐσεν τεμένη.
σοὺς δὲ πόνους Δομῖνε, κατηφέα νύκτα διώκεις
ἐκ θέμιδος μεγάρων, ἐκ βιοτῆς μερόπων.

[illegible]ετήτου σχολαστικοῦ εἰς τὸ αὐτό.

Ὡς ἀγαθὸν καὶ παῖς ἰδὲ γήραϊ. φαιδροτέρους γὰρ
Δομνῖνος θαλάμους μητρὸς ἔτευξε δίκης.
λάμπω ἐγὼ διὰ παιδός. ὁ παῖς δ' ἔμεθεν φαείνει.
κύδεα δ' ἀλλήλοις ἀντιχαριζόμεθα.

Εἰς τὴν βασιλικὴν τῶν πεδεύτρίων,
ἐν Βυζαντίῳ. Ἀδέσποτον.

Χῶρος ἐγὼ θεσμοῖσιν ἀνειμένος. ἐνθάδε πηγὴ
ἄφθονος αὐσονίων ἐκκέχυται νομίμων,
ἢ πᾶσι τέταται μὲν ἀγάρως. ἠϊθέοις δὲ
ἐνθάδ' ἀγειρομένοις, πάντα δίδωσι ῥόον.

Εἰς βῆμα τοῦ σοφιστοῦ Κρατεροῦ.
Ἰουλιανοῦ ἀπὸ ὑπάρχων αἰγυπτίου.

Δένδρον ἐγὼ μακαριστὸν, ἐπεί ποτε μεσσόθεν ὕλης
ἱστάμενον, λιγυροῖς ἐτρεφόμην ἀνέμοις,
ὀρνίθων ἐπίβαθρον εὔθροον. ἀλλὰ σιδήρῳ
ἐτμήθην, κλήρου κρείσσονος εὐτυχίης.
ἀντὶ γὰρ ὀρνίθων, κρατεροῦ κρατεροῖς ὑπὸ μύθοις
ἄρδομαι, θυμοῦσι χεύμασι τηλεθάων.

Εἰς οἶκον ἀγαθίου σχολαστικοῦ ἐν βυζαντίῳ.

Τεῦξέ με πολλὰ καμὼν Μουσώνιος οἶκον ἀγητὸν
τηλίκον, ἀρκτῴοις ἄσθμασι βαλλόμενον.
ἔμπης οὐκ ἀπέλειπεν ἀφεγγέα δώματα μοίρης,
ἀλλά με καλλείψας, ἐν χθονὶ ναιετάει.
καὶ ὁ μὲν εἰς ὀλίγην κεῖται κόνιν. ἡ δὲ ποδιστὴ
τέρψις, ἰδὲ ξείνοις ἀνδράσιν ἐκκέχυμαι.

Εἰς θύρας. Σιμωνίδου.

Κίμων ἔγραψε τὴν θύραν τὴν δεξιάν.
τὴν δ' ἐξιόντων δεξιὰν, Διονύσιος.

Εἰς τὴν Μαξιμίνου οἰκίαν. Κύρου
ἀπὸ ὑπάτων.

Δείματο Μαξιμῖνος νεοπηγέος ἔνδοθι ῥώμης,
αὐταῖς ἠιόνεσσι θεμείλια καρτερὰ πήξας.
ἀγλαΐη δέ μοι ἀμφὶς ἀπειρεσίη τετάνυσται
τῇ, καὶ τῇ. καὶ ὄπισθεν ἔχω πτόλιν. ἀλλὰ καὶ αὐτὴν
πάνθ' ὁρόω γαίης Βιθυνίδος ἀγλαὰ ἔργα.
ἡμετέροις δ' ὑπένερθεν ἐρισθενέεσσι θεμέθλοις
πόντος ἁλὸς προχοῇσι κυλίνδεται εἰς ἅλα δῖαν,
τόσσον ἐπιψαύων, ὁπόσον χθονὸς ἄκρα διῆναι.
πολλάκι δ' ἐξ ἐμέθεν τις, ἑὸν μέγα θυμὸν ἰαίνει
βαιὸν ὑποκύψας, ἐπεὶ εἴσιδεν ἄλλοθεν ἄλλα,
δένδρεα, δώματα, νῆας, ἅλα, πτόλιν, ἠέρα, γαῖαν.

Ἀδέσποτον.

Φαιδρὸν ἰουστινιανὸς ἄναξ ἐμὲ χῶρον ἐγείρει,
ἠελίῳ παρέχων θάμβος ἀνερχομένῳ.
οὔποτε γὰρ τοιοῦτον ἐπὶ χθονὸς ἔδρακε κάλλος,
ὑψόθεν οὐρανίην οἶμον ἐπερχόμενος.

Ἀγαθίου.

Χῶρος ἐγὼ τὸ πρὶν μὲν ἔην εὐρωπὸς ἰδέσθαι,
πηλοδόμοις τοίχοις ἀμφιμεμιζόμενος.
ἔνθα δὲ ξείνων τε, καὶ ἐνδαπίων, καὶ ἀγροίκων
νηδὺς ἐπεγδούπει λύματα χυνομένη.
ἀλλὰ πατήρ με πόληος ἐναλλάξας ἀγαθίας,
θῆκεν ἀρίζηλον, τὸν πρὶν ἀτιμότατον.

ΕΙΣ ΟΠΛΑ. 24

Εἰς ἀσπίδα ἔχουσαν τοῦ Χριστοῦ τὴν γένναν.

Ὦ πόσον εὐήθης ὁ ζωγράφος, ὅστις χαράσσει
κοίρανον εἰρήνης ἀσπίδι δεικνύμενον.

Ἀντιπάτρου εἰς κράνος.

Ἡ κόρυς ἀμφοτέρην ἔλαχον χάριν. εἰμὶ δ' ὁρᾶσθαι,
καὶ τερπνὴ φιλίοις, καὶ φόβος ἀντιπάλοις.
ἐκ δὲ Πυλαιμένεος Πείσων μ' ἔχει. ἔπρεπε δ' ἄλλαις
οὔτε κόρυς χαίταις, οὔτε κόμη κόρυθι.

## ΕΙΣ ΟΡΧΙΣΤΡΙΔΑΣ. 25

Εἰς εἰκόνα ὀρχιστρίδος.

Λεοντίου σχολαστικοῦ.

Μουσάων δεκάτη, χαρίτων Καραμάλλε τετάρτη,
τερπωλὴ μερόπων ἄστεος ἀγλαΐη,
ὄμματά σοι, καὶ ταρσά, ποδήνεμα, καὶ σοφὰ χειρῶν
δάκτυλα, καὶ μουσῶν κρείσσονα, καὶ χαρίτων.

Εἰς εἰκόνα ἑτέρας ὀρχιστρίδος ἱσταμένης
ἐν τῷ σωσθενίῳ. Τοῦ αὐτοῦ.

Εἰμὶ μὲν ἑλλαδίη βυζαντιάς. ἐνθάδε δ' ἔστην,
ἧχι χοροστασίην εἴαρι δῆμος ἄγει,
ὁππόθι πορθμῷ γαῖα μερίζεται. ἀμφότεραι γὰρ
αὔτυγες, ὀρχηθμοὺς ἤνεσαν ἡμετέρους.

Εἰς εἰκόνα ὀρχιστρίδος διαχρύσου
ἐν Βυζαντίῳ. Τοῦ αὐτοῦ.

Οὔτις ἐπ' αἰθούσῃ χρυσὸν βάλεν. ἀλλὰ καὶ αὐτῇ
ἀμφεχύθη κρονίδης, ὡς τὸ πάρος Δανάῃ.
σώματι δ' οὐκ ἐπέλασσεν, ἐπεὶ νόον ἔλλαβεν αἰδώς,
μήτινι μουσάων μίσγεται οὐκ ἐθέλων.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Θῆλυς ἐν ὀρχηθμοῖς κρατέει φύσις. εἴξατε κοῦροι.
μοῦσα, καὶ ἑλλαδίη, τοῖσιν ἔθεντο νόμον.
ἡ μὲν, ὅτι πρώτη κινήσιος εὗρε τὸ ῥυθμούς.
ἡ δ' ὅτι τῆς τέχνης ἦλθεν ἐς ἀκρότατον.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Ἕκτορα μέν τις ἄεισε νέον μέλος. Ἑλλαδὶς δὲ
ἑσσαμένη χλαῖναν, πρὸς μέλος ἠντίασεν.
ἦν δὲ πόθος, καὶ δεῖμα παρ' ὀρχηθμοῖσιν ἐνοῦς.
ἄρσενι γὰρ ῥώμῃ θῆλυν ἔμιξε χάριν.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Οὔνομ' ἔχεις Λιβάνου, χαρίτων δέμας, ἤθεα πειθοῦς
παρθένε, καὶ Παφίης κεστὸν ἀπ' ἐκ λαγόνων.
αὐτὰρ ἐν ὀρχηθμοῖσιν, ἔρως ἅτε κοῦφος ἀθύρεις,
κάλλεϊ, καὶ τέχνῃ πάντας ἐφελκομένη.

Εἰς Ξενοφῶντος σμυρναίου.

Αὐτὸν ὁρᾶν ἰόβακχον ἐδέξαμεν, ἡνίκα ληνοῖς
ὁ πρέσβυς νεαρῆς ἦρχε χοροιμανίης,
καὶ Κάδμου τὰ πάρηβα χορεύματα, καὶ τὸν ἀφ' ὕλης
ἄγγελον, εὐιακῶν ἰχνελάτην θιάσων,
καὶ τὴν εὐάζουσαν ἐν αἵματι παιδὸς ἀγαύην
λυσσάδα. φεῦ, θεῖος ἀνδρὸς ὑποκρισίης.

Εἰς στήλην Πυλάδου ὀρχηστοῦ.

Ἀντιπάτρου.

Αὐτὸν βακχεύοντα ἐνέδυ θεὸν, ἡνίκα βάκχας
ἐκ θηβῶν ἰταλὴν ἤγαγε πρὸς θυμέλην
ἀνθρώποις Πυλάδης. τερπνὸν δέος, οἷα χορεύων
δαίμονος ἀκρήτου πᾶσαν ἔπλησε πόλιν.
θῆβαι γιγνώσκουσι τὸν ἐκ πυρός. οὐράνιος δὲ
οὗτος ὁ παμφώνοις χερσὶ λοχευόμενος.

## ΕΙΣ ΠΗΓΑΣ. 26

Εἰς πηγὴν ἐν τῷ ὀλύμπῳ ὄρει. Ἀδέσποτον.

Ταῖς πρ[illegible]ης νύμφαις ὑποείκομεν. ἀλλὰ καὶ αὐταὶ
κρείσσονος ἡμείων χαίρετε πυθιάδες.

αἱ [illegible] πᾶσαι μετὰ πύθια, καὶ μετὰ πρῶτον,
[illegible]μες νύμφαις εἴξατε νηϊάδες.

Εἰς καμάριναν ἐν σικελίᾳ.

Παροιμιῶδες.

Μὴ κίνει καμάριναν· ἀκίνητος γὰρ ἀμείνων.
μήποτε κινήσας τὴν μείονα, μείζονα θείης.

Ἀδέσποτον.

Ἀγνάγον, καθαρήν τε παρὲκ χαραδροῖσιν ὁδίταις
πηγὴν ἀναβλύζει γειτονέουσα νάπη.
πάντη δ' αὖ πλατάνοισι, καὶ ἡμεροθαλέσι δάφναις
ἔστεμμαι, σκιερῇ ψυχομένη κλισίῃ.
τοὔνεκα μή με θέρευς παραμείβεο, δίψαν ἀλαλκών.
ἄμπαυσον παρ' ἐμοὶ καὶ πόνον ἡσυχίῃ.

Ἀνύτης.

Φριξοκόμᾳ τόδε Πανὶ, καὶ αὐλιάσιν θέτο νύμφαις
δῶρον ὑπὸ σκοπιᾶς Θεύδοτος οἰονόμος.
οὕνεχ' ὑπ' ἀζαλέου θέρεος μέγα κεκμηῶτα
παῦσαν, ὀρέξασαι χερσὶ μελιχρὸν ὕδωρ.

Νικίου.

Ἵζευ ὑπ' αἰγείροισιν ἐπεὶ κάμες ἐνθάδ' ὁδῖτα,
καὶ πίε θᾶσσον ἰὼν πίδακος ἁμετέρας.
μνᾶσαι δὲ κρανᾶν καὶ ἀπόπροθεν. ἂν ἐπὶ γίλλῳ
σιμὸς ἀποφθιμένῳ παιδὶ παρεδρύεται.

Ἀδήλου.

Ὠκεανοῦ θυγάτηρ, καὶ τηθύος εἰμὶ νύχεια
κρήνη. τηλεβόαι γάρ με τόδ' ὠνόμασαν.
νύμφαις μὲν προχέω λουτρὸν, θνητοῖσι δ' ὑγείην.
θῆκε δέ με Πτερέλας υἱὸς ἐνυαλί[illegible]

Ἀδέσποτον.

Ἔνθεν ἀλέξανδρος μακεδὼν πίεν ἀγλαὸν ὕδωρ,
μητρὸς δ' εἶπε γάλακτι πανείκελα ῥεύματα πηγῆς.
ἢ καὶ ὀλυμπιάδος πόρεν οὔνομα μητέρος ἐσθλῆς.



Εἰς εἰκόνα ὁμήρου.

Υἱὲ μέλητος ὅμηρε· σὺ γὰρ κλέος ἑλλάδι πάσῃ,
καὶ κολοφῶνι πάτρῃ θῆκας ἐς ἀΐδιον.
καὶ τάσδ' ἀντιθέῳ ψυχῇ γεινήσαο κούρας,
δισσὰς ἐκ στηθέων γραψάμενος σελίδας.
ὑμνεῖ δ' ἡ μὲν νόστον ὀδυσσῆος πολύπλαγκτον.
ἡ δὲ, τὸν ἰλιακὸν δαρδανίων πόλεμον.

Εἰς τὸν αὐτόν.

Τίς ποθ' ὁ τὸν τροίης πόλεμον σελίδεσσι χαράξας,
ἢ τίς ὁ τὴν δολιχὴν λαρτιάδαο πλάνην;
οὐκ ὄνομ' εὑρίσκω σαφὲς, οὐ πόλιν. οὐράνιε Ζεῦ,
μήποτε σῶν ἐπέων δόξαν ὅμηρος ἔχει;

Εἰς τὸν αὐτόν.

Ὁππoίας τὸν ὅμηρον ἀναγραψώμεθα πάτρης,
κεῖνον, ἐφ' ᾧ πᾶσαι χεῖρ' ὀρέγουσι πόλεις.
ἢ τὸ μὲν ἐστιν ἄγνωστον, ὁ δ' ἀθανάτοις ἴσος ἥρως,
ταῖς μούσαις ἔλιπεν πατρίδα καὶ γενεήν.

Εἰς τὸν αὐτόν.

Οὐχὶ πέδον σμύρνης ἐλοχεύσατο θεῖον ὅμηρον,
οὐ κολοφὼν τρυφερῆς ἄστρον ἰηονίης,
οὐ χίος, οὐκ αἴγυπτος εὔσπορος, οὐ κύπρος ἁγνὴ,
οὐ νῆσος κραναὴ λαρτιάδαο πάτρη,
οὐκ ἄργος ἀχαιῶν, κυκλωπείη τε μυκήνη,
οὐδὲ τὸ κεκροπίων ἄστυ παλαιογόνων.

οὐ γὰρ ἐφημερίου ὅδ' ἔργον. ἀπ' αἰθέρος ἀλλὰ ἐ μουσᾶν
πεμφθὲν, ἵν' ἡμερίοις δῶρα ποθητὰ φέρῃ.

Εἰς τὸν αὐτόν. Ἀντιπάτρου.

Οἱ μέν σευ κολοφῶνα τιθηνήτειραν ὅμηρε
οἱ δὲ, καλὰν σμύρναν, οἱ δ' ἐνέπουσι χίον.
οἱ δ' ἴον. οἱ δ' ἐβόασαν εὔκλαρον σαλαμῖνα.
οἱ δέ νυ, τὰν λαπιθᾶν ματέρα θεσσαλίην.
ἄλλοι δ' ἄλλην γαῖαν ἀνίαχον. εἰ δέ με φοίβου
χρὴ λέξαι πινυτὰς ἄνδιχα μαντοσύνας,
πάτρα σοι τελέθει μέγας οὐρανός. ἐκ δὲ τεκούσης
οὐ θνατᾶς, ματρὸς δ' ἔπλεο Καλλιόπας.

Εἰς τὸν αὐτόν.

Ἑπτὰ ἐριδμαίνουσι πόλεις διὰ ῥίζαν ὁμήρου,
κύμη, σμύρνα, χίος, κολοφὼν, πύλος, ἄργος, ἀθῆναι.

Εἰς τὸν αὐτόν.

Ἑπτὰ πόλεις μάρναντο σοφὴν διὰ ῥίζαν ὁμήρου,
σμύρνα, χίος, κολοφὼν, ἰθάκη, πύλος, ἄργος, ἀθῆναι.

Εἰς τὸν αὐτόν.

Χίος ἔφυς; οὔ φημι. τί δαὶ, σμυρναῖος; ἀπαυδῶ.
κύμη δ', ἢ κολοφὼν, πατρὶς ὅμηρε σέθεν;
οὐδετέρη. σαλαμὶς δὲ τεὴ πόλις; οὐδ' ἀπὸ ταύτης
ἐξέφυν. ἀλλ' αὐτὸς λέξον ὅπῃ γέγονας.
οὐκ ἐρέω. τίνος ἥδ' ἄρα; πέπεισμ' ὅτι τἀτρεκὲς εἰπὼν,
ἕξω τὰς ἄλλας ἄμμιν ἀπεχθομένας.

Εἰς τὸν αὐτόν.

Εἰς αἰῶνας ὅμηρε, καὶ ἐξ αἰῶνος ἀείδῃ,
οὐρανίης μούσης δόξαν ἀειράμενος.
μῆνιν μὲν γὰρ ἄεισας ἀχιλλέος. αὐτὰρ ἀχαιῶν
στρομβηδὸν νηῶν σύγχυσιν ἐν πελάγει.

ALEXANDER PP VI ... FERDINANDI

τειρόμενόν τε πλάνῃσιν ὀδυσσέα ποικιλόβουλον,
τοῦ λέχος ἀσπασίως εἴσιδε Πηνελόπη.

Εἰς τὸν αὐτὸν.

Εἰ θεός ἐστιν ὅμηρος, ἐν ἀθανάτοισι σεβέσθω.
εἰ δ' αὖ μὴ θεός ἐστι, νομιζέσθω θεὸς εἶναι.

Εἰς τὸν αὐτόν.

Εὗρε φύσις μόλις εὗρε. τεκοῦσα δ' ἐπαύσατο μόχθων,
εἰς ἕνα μοῦνον ὅμηρον ὅλην τρέψασα μενοινήν.

Εἰς τὸν αὐτόν.

Τίς ποθ' ὁμηρείης μεγάλης ὀπός ἐστιν ἀπωθής;
τίς χθών; τίς δὲ θάλασσα μάχην οὐκ οἶδεν ἀχαιῶν;
δῆμος ὁ κιμμερίων πανδερκέος ἄμμορος αἴγλης
ἠελίου, τροίης ὄνομ' ἔκλυεν. ἔκλυεν ἄτλας,
οὐρανὸν εὐρύστερνον ἔχων ἐπικείμενον ὤμοις.

Εἰς τὸν αὐτὸν.

Δεξιῶν ὅμηρε τὴν κεκαυμένην,
φθονεῖν ἀφῆκας τὰς ἀπορθήτους πόλεις.

Αντιπάτρου εἰς εἰκόνα Πινδάρου.

Νεβρείων ὁπόσον σάλπιγξ ὑπερίαχεν αὐλῶν,
τόσον ὑπὲρ πάσας ἔκραγε σεῖο χέλυς.
οὐδὲ μάτην ἁπαλὸς ξουθὸς περὶ χείλεσιν ἑσμὸς
ἔπλασε κηρόδετον Πίνδαρε σεῖο μέλι.
μάρτυς ὁ μαινάλιος κερόεις θεὸς ὕμνον ἀείσας
τὸν σέο, καὶ νομίων λησάμενος δονάκων,

Εἰς τὸν αὐτὸν. Κύρου ἀπὸ ὑπάτων.

Πίνδαρον ἱμερόεντα παρ' ὕδασι Κῦρος ἐγείρει,
οὕνεκα φορμίζων εἶπεν ἄριστον ὕδωρ.

Λεωνίδου ταραντίνου εἰς ἀνακρέοντα.

Πρέσβυν ἀνακρείοντα χύδαν σεσαλαγμένον οἴνῳ,
θάεο δινωτοῦ στρεπτὸν ὕπερθε λίθου,

ALEXANDER PP VI VALENTINVS FERDINANDVS ARAGONVM

ὡς ὁ γέρων ἴχνοισιν ἐπ᾽ ὄμμασιν ὑγρὰ δεδορκὼς,
ἄχρι καὶ ἀστραγάλων ἕλκεται ἀμπεχόναν.
δισσῶν δ᾽ ἀρβυλίδων, τὰν μὲν μίαν, οἷα μεθυπλὴξ
ὤλεσεν. ἐν δ᾽ ἑτέρᾳ ῥικνὸν ἄραρε πόδα.
μέλπει δ᾽ ἠὲ Βάθυλλον ἐφίμερον, ἠὲ Μεγιστᾶν,
αἰωρῶν παλάμᾳ τὰν δυσέρωτα χέλυν.
ἀλλὰ πάτερ Διόνυσε, φύλασσέ μιν. οὐ γὰρ ἔοικεν
ἐκ Βάκχου πίπτειν Βακχιακὸν θεράποντα.

Λεωνίδου.

Ἰδ᾽ ὡς ὁ πρέσβυς ἐκ μέθης Ἀνακρέων
ὑπεσκέλισται, καὶ τὸ λῶπος ἕλκεται
τὸ ἄχρι γυίων. τῶν δὲ βλαυτίων τὸ μὲν,
ὅμως φυλάσσει, θάτερον δ᾽ ἀπώλεσεν.
μελίσδεται δὲ τὰν χέλυν διακρέκων,
ἤτοι Βάθυλλον, ἢ καλὸν Μεγιστέα.
φύλασσε Βάκχε τὸν γέροντα, μὴ πέσῃ.

Εὐγένους.

Τὸν βὶς μελιχροῖς ἱμέροισι σύντροφον
λυαῖος, Ἀνακρέοντα Τήϊον κύκνον,
ἔσφηλας ὑγρῇ νέκταρος μεληδόνι.
λοξὸν γὰρ αὐτοῦ βλέμμα. καὶ ποδὶ σφυροῖς
ῥιφθεῖσα λῶπους πέζα, καὶ μονοζυγὲς
μέθην ἐλέγχει σάνδαλον. χέλυς δ᾽ ὅμως
τὸν εἰς ἔρωτας ὕμνον ἀθροΐζεται.
ἀπλῶτα τήρει τὸν γεραιὸν εὔιε.

Ἀδέσποτον. Εἰς τὸν αὐτόν.

Τήϊον ἀμφοτέρων με βλέπεις ἀκόρεστον ἐρώτων
πρέσβυν, ἴσον κούροις, ἴσον ἀδοῦντα κόραις.
ὄμμα δέ μου Βρομίῳ βεβαρημένον, ἠδ᾽ ἀπὸ κώμων
στεφανὰ φιλαγρύπνων σήματα παννυχίδων.

Εἰς εἰκόνα Σαπφοῦς. Δημοχάριδος.

Αὐτή σοι πλάστειρα φύσις παρέδωκε τυπῶσαι
τὴν Μιτυληναίαν ζωγράφε Πιερίδα.
ἀγλαΐζει τὸ διαυγὲς ἐν ὄμμασι. τοῦτο δ' ἐναργῶς
δηλοῖ φαντασίην ἔμπλεον εὐστοχίης.
αὐτομάτως δ' ὁμαλή τε, καὶ οὐ περίεργα κομῶσα
σὰρξ, ὑποδεικνυμένην τὴν ἀφέλειαν ἔχει.
ἄμμιγα δ' ἐξ ἱλαροῖο, καὶ ἐκ νοτεροῖο προσώπου
μοῦσαν ἀπαγγέλλει Κύπριδι μιγνυμένην.

Εἰς εἰκόνα γραμματικοῦ Ζηνο-
βίου γραμματικοῦ.

Αὐτὴν γραμματικὴν ὁ ζωγράφος ἤθελε γράψαι,
Βίκτορα δὲ γράψας, τὸν σκοπὸν εἶπεν ἔχω.

Εἰς εἰκόνα Ἡσιόδου. Ἀσκληπιάδου.

Αὐταί ποιμαίνοντα μεσημβρινὰ μῆλά σε Μοῦσαι,
ἔδρακον ἐν κραναοῖς οὔρεσιν Ἡσίοδε.
καί σοι καλλιπέτηλον ἐρυσάμεναι περὶ πᾶσαι,
ὤρεξαν δάφνης ἱερὸν ἀκρέμονα.
δῶκαν δὲ κρήνης Ἑλικωνίδος ἔνθεον ὕδωρ.
τὸ πτανοῦ πώλου πρόσθεν ἔκοψεν ὄνυξ.
οὗ σὺ κορεσάμενος μακάρων γένος, ἔργα τε μολπαῖς,
καὶ γένος ἀρχαίων ἔγραφες ἡϊθέων.

Ὡς ἀπὸ τῆς βίβλου Λυκόφρονος.

Ἄδηλα.

Οὐκ ἂν ἐν ἡμετέροισι πολυγνάμπτοις λαβυρίνθοις
ῥηϊδίως προμόλοις εἰς φάος, αἴκε τύχοις.
τοίους γὰρ Πριαμὶς Κασσάνδρη φοίβασε μύθους,
ἄγγελος οὓς βασιλεῖ ἔφρασε λοξοτρόχις.
εἰ δέ σε φίλατο Καλλιόπη, λάβε μ' εἰς χέρας. ἢν δὲ
νῆϊς ἔφυς Μουσέων, χερσὶ βάρος φορέεις.

ARAGONVM · ALEXANDER PP VI

Εἰς ὀππιανόν.

Ὀππιανὸς σελίδεσσιν ἁλίπλοα φῦλα συνάψας,
θήκατο πᾶσι νέοις ὄψον ἀπειρέσιον.

Ἄδηλον.

Καλλιόπη βασίλεια γεώργιον εἶπεν ἰδοῦσα,
οὗτος ἐμὸς γενέτης γνήσιος, οὐ κρονίδης.

Ἄδηλον.

Ἔλθετε πρὸς τέμενος γλαυκώπιδος ἀγλαὸν ἥρης,
λεσβίδες ἁβρὰ ποδῶν βήματα ἑλισσόμεναι
ἔνθα χορὸν καλὸν στήσασθ᾽, ὔμμιν δ᾽ ἀπάρξει
Σαπφὼ χρυσείην χερσὶν ἔχουσα λύρην,
ὄλβιαι ὀρχηθμοῦ πολυγηθέος. ἦ γλυκὺν ὕμνον,
εἰσαΐειν αὐτῆς δόξετε καλλιόπης.

## ΕΙΣ ΠΟΛΕΙΣ. 28

Εἰς ἡράκλειαν τὴν πόντου. Ἀδέσποτον.

Εἰ πόλιν ἡρακλῆος ὁμώνυμον οἶδα καὶ ἄλλην,
ἴσθι με τὴν πόντου μηδὲν ἀτιμοτέρην.

Εἰς μῶλον ἐν σμύρνῃ τῇ θαλάττῃ ἐπικείμενον, ἐν ᾧ καὶ ὑδρεῖον.

Ἀδέσποτον.

Τίς βυθὸν ἠπείρωσε; τίς ἐν ῥοθίοισιν ἔτευξεν
ἀκτὴν ἀμφιρύτην λάεσι μαρμαρέοις;
τίς δ᾽ ἐνὶ κύμασι τεῦξε ποτὸν, πλωτῆρας ἀφύσσειν
αὐτῇ ἐκ νηῶν χερσὶν ἀφυομένους;
οὗτος ὁ ποικιλόμητις ἀνὴρ βενέτιος ἀμύμων,
κτίσμασι νικήσας Θησέα, καὶ Πέλοπα.

Εἰς φάρον ἐν τῇ αὐτῇ.

Τίς τόσον ἔργον ἔτευξε; τίς ἡ πόλις; ἢ τὸ γέρας τίς;
ἀμβρόσιος, μυλασεὺς, τὸν φάρον, ἀνθύπατος.

Εἰς φάρον

Εἰς φάρον ἀλεξανδρείας. Ἀδέσποτον.

Πύργος ἐγὼ ναύτῃσιν ἀλωομένοισιν ἀρήγων
εἰμί, Ποσειδάωνος ἀπ' ἐχθέα πυρσὸν ἀνάπτων.
καί με πεσεῖν μέλλοντα βαρυγδούποισιν ἀήταις,
στῆσεν ἑοῖς καμάτοις Ἀμμώνιος, ὃς βασιλῆος
ἐστὶ πατήρ. κείνῳ δὲ μετ' ἄγρια κύματα ναῦται,
χεῖρας ἀερτάζουσιν, ἅτε κλυτῷ ἐννοσιγαίῳ.

Εἰς τὸν αὐτὸν ἐν σμύρνῃ.

Μηκέτι δειμαίνοντες ἀμεμφέα νυκτὸς ὀμίχλην,
εἰς ἐμὲ θαρσαλέως πλώετε ποντοπόροι.
πᾶσιν ἀλωομένοις τηλαυγέα δαλὸν ἀνάπτω,
τῶν ἀσκληπιαδῶν μνημοσύνην καμάτων.

Ἐν ἄσσῳ. Ἀδέσποτον.

Πᾶσα μὲν ἀξιόχῳ πόλις εὔχεται. ἄλλο γὰρ ἄλλης
σῆμα παρασείχων, ὡς θεὸς ἠκέσατο.
ἔξοχα δὲ, κραναῇ ῥόον ὕδατος ὤπασεν ἄσσῳ,
πολλῶν πετράων σκληρὰ μέτωπα τεμών.
μηκέτι φεύγετε πάντες ἀποπλεθέοντες ὁδῖται.
πλημμύρω ψυχροῖς ὕδασιν ἀξιόχου.

Εἰς τὴν Εὐγενίου πύλην ἐν Βυζαντίῳ.

Οὗτος ἰουλιανὸς λαοσσόα τείχεα πήξας,
στῆσε τρόπαιον, ἑῆς σύμβολον ἀγρυπνίης,
σφώζειν ἀντιβίους ἐχθροὺς ἀπάνευθε μενοινῶν,
ἢ περιπάροιθε κροτεῖν τῆς πόλεως πολέμους.

Εἰς τὴν ἀψῖδα ἐν τῇ βασιλικῇ, ἐν Βυζαντίῳ.

Τετραπόροις ἀψῖσι πόλιν Θεόδωρος ἐγείρας,
ἄξιός ἐστι πόλιν καὶ τέτρατον ἡνιοχεύειν.

Εἰς τὸ ἕτερον μέρος τῆς αὐτῆς ἀψῖδος.

Ἔπρεπέ σοι Θεόδωρε τύχης εὐκίονα νηὸν
ἔργου κοσμῆσαι θαύματι τοσσατίου,



ALEXANDRI · ARAGONUM · DEI · FERDINANDUS · INFANS

δῶρά τε λυδίηντα πορεῖν χρυσάσπιδι ῥώμῃ,
ἥς ὕπατον τεῦξεν, καὶ τρισέπαρχον ὁρᾷ.

Εἰς τὴν μόψου ἑστίαν.

Μόψου τὴν δ' ἐσορᾷς κλεινὴν πόλιν, ἥν ποτε μάντις
δείματο, τῷ ποταμῷ κάλλος ὑποκρεμάσας.

Ἄδηλον.

Τήκει καὶ πέτρην ὁ πολὺς χρόνος. ἀλλ' ἀγ. τάων
ἀσκληπιοδότου τὸ κλέος, ἀθάνατον.
ὅσσα, καὶ οἷα πόρεν γέρα πατρίδι. τοῖς ἔπι πᾶσι,
καὶ τόδε μετρείσθω κοῖλον ἔρεισμα θόλου.

Εἰς τὴν πύλην Ξυλοκερκοῦ
ἐν Βυζαντίῳ.

Θευδόσιος τόδε τεῖχος ἄναξ, καὶ ὕπαρχος ἑώας
Κωνσταντῖνος, ἔτευξαν ἐν ἤμασιν ἑξήκοντα.

Εἰς τὴν πύλην τοῦ ῥηγίου ἐν Βυζαντίῳ.

Ἤμασιν ἑξήκοντα φιλοσκήπτρῳ βασιλῆϊ
Κωνσταντῖνος ὕπαρχος ἐδείματο τείχεϊ τεῖχος.

Εἰς τὴν πύλην τοῦ ἄργος.

Τὴν δὲ πύλην λάεσσιν εὐξέστοις ἀραρυῖαν
ἀμφότερον κόσμον τε πάτρῃ, καὶ θάμβος ὁδίταις
τεῦξε Κλέης, Κλεάδης ἀγαυῆς πόσις εὐπατερείης
λερναίων ἀδύτων πυλιώσιος ἀργειοφάντης,
τερπόμενος δώροισιν ἀγαθοφρόνων βασιλήων.

Εἰς σωτήρια, ἐν σμύρνῃ. Ἀγαθίου σχολαστικοῦ.

Γαῦ τὸ βροτῶν ἀπατάλημα, καὶ ἡ πολύολβος ἐδωδὴ,
ἐνθάδε κειμένη, τὴν πρὶν ὄλεσσε χάριν.
οἱ γὰρ φασιανοί τε, καὶ ἰχθύες, αἵ θ' ὑπὸ γ' ἴγδην
τρίψιες, ἥτε τόση βρώματος ἐξαπάτη,
γίγνεται ἐνθάδε κόπρος. ἀποστόσσει δ' ἄρα γαστὴρ
ὁππόσα περ ναλέη δέξατο λαιμαργίη.

ὀψὲ δὲ γιγνώσκει τίς, ὅτ' ἄφρονα μῆλον ἀείρων
  χρυσοῦ τοσσατίου τὴν κόνιν ἐπρίατο.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Τί στυγν' ἄχθῃς κεφαλὴν κεκακωμένος; ἢν τί δὲ πικρὰ
  οἰμώζεις, μελέων πάγχυ βαρυνομένων;
ἢν τί δὲ γαστέρα σεῖο ῥαπίσμασιν ἀμφιπατάσσεις,
  ἐκθλίψαι δονέων μάσταγος ἐργασίην;
μόχθων τοσσατίων οὔ σοι χρέος, εἰ παρὰ δαιτὶ
  μὴ τοῦ ἀναγκαίου πολὺ παρεξετάθης.
ἀλλ' ἤδη μὲν στιβάδος φρονέεις μέγα, καὶ στόμα τέρπεις
  βρώμασιν, εὐτυχίην κεῖνα λογιζόμενος.
ἐνθάδε δ' ἀσχαλάᾳς. μούνη δ' ἀλιτήματα λαιμοῦ
  ἡ γαστὴρ τίνει πολλάκι τυπτομένη.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Εὔγε μάκαρ τλήθυμε γεωπόνε, σοὶ βίος αἰεὶ
  μίμνειν, καὶ σκαπάνης ἄλγεα, καὶ πενίης.
λιτὰ δέ σοι καὶ δεῖπνα, καὶ ἐν ξυλόχοισι καθεύδεις,
  ὕδατος ἐμπλήσας λαιμὸν ἀμετροπότην.
ἔμπης δ' ἀρτίπος ἐσσί. καὶ ἐνθάδε βαιὰ καθεσθεὶς,
  αὐτίκα γαστέρα σὴν θῆκας ἐλαφροτάτην.
οὐδὲ κατατήχεις ἰορὴν ῥάχιν. οὐδέ τι μηροὺς
  τύπτεις, αὐτομάτως φόρτον ἀπωσάμενος.
τλήμονες, οἳ πλουτοῦσι, καὶ οἱ κείνοισι συνόντες,
  οἷς πλέον ἀρτεμίης εὔαδεν εἰλαπίνη.

Ἀντιπάτρου.

Τίς τόδε μουνόγληνος ἄπαν δωμήσατο Κύκλωψ
  λάϊνον Ἀσσυρίης χῶμα Σεμιράμιος;
ἢ ποῖοι χθονὸς υἷες ἀνυψώσαντο γίγαντες
  κείμενον ἑπταπόρων ἀγχόθι Πληϊάδων;

ἀκλινὲς ἀστυφέλικτον, ἀθωέος ἶσον ἐρίπνᾳ
φυρηθὲν γαίης εὐρυπέδοιο βάρος.

Εἰς σωτήρια ἐν σμύρνῃ.

Εἰ τραφόρης πάσης ἀλιτέρμονα κύκλον ὁδεύσεις,
οὔποτέ μοι τινὰ χῶρον ἀρείονα τοῦδε νοήσεις.
θέσκελον οἷον ἔτευξεν ἀγακλειτὸς Ἰωάννης,
κυδαίνων βασίλειαν ὅλης χθονός. ἐκ ῥοθίων γὰρ
τερπωλὴν ἀκόρητον ἐν ἄστεϊ θῆκεν Ὁμήρου.

Μακηδονίου.

Τμώλῳ ὑπ' ἠνεμόεντι ῥοὴν παρὰ γείτονος ἕρμου
σαρδιαλέη λυδῶν ἔξοχός εἰμι πόλις.
μάρτυς ἐγὼ πρώτη γενόμην Διός. οὐ γὰρ ἐλέγχειν
λάθριον υἷα ῥέης ἤθελον ἡμετέρης.
αὐτὴ καὶ βρομίῳ γενόμην τροφός. ἐν δὲ κεραυνῷ
ἔδρακον εὐρυτέρῳ φωτὶ φαεινόμενον.
πρώτους δ' ἡμετέροισιν ἐν ὀργάσιν οἰνὰς ὀπώρη
οὔθατος ἐκ βοτρύων ξανθὸν ἄμελξε γάνος.
πάντα με κοσμήσαντο. πολὺς δέ με πολλάκις αἰὼν
ἄστεσιν ὀλβίστοις εὗρε μεγαιρομένην.

Εν τῷ πορφυρῷ κίονι εἰς τὸ φιλαδέλφιον.

Εὔνους μὲν βασιλεῖ Μουσήλιος, ἔργα βοῶσι
δημόσια. ἀθεναφὴν πράγματα πίστιν ἔχει.
μουσεῖον ῥώμη δ' ἐχαρίσατο, καὶ βασιλῆος
εἰκόνα θεσπεσίην, ἐντὸς ἔγραψε δόμων.

Εἰς τὸ αὐτό.

Τιμὴν μουσοπόλοις, πόλεως χάριν, ἐλπίδα κυρῶν,
ὅπλα δὲ ταῖς ἀρεταῖς, χρήματα τοῖς ἀγαθοῖς.

Εἰς τὸ αὐτό.

Ταῦτα λόγοις ἀνέθηκεν ἑκὼν Μουσήλιος ἔργα,
πιστεύων καθαρῶς ὡς θεός ἐστι λόγος.

ΕΙΣ ΠΟΤΑΜΟΥΣ. Σιμωνίδου. 29

Ω ἴτε Δήμητρος πρὸς ἀνάκτορον, ὦ ἴτε μύσται.
μηδ' ὕδατος προχοὰς δείδετε χειμερίους.
τοῖον Ξενοκλῆς γὰρ ὁ λίνδιος ἀσφαλὲς ὔμμιν
ζεῦγμα διὰ πλατέος τοῦδ' ἔβαλεν ποταμοῦ.

Εἰς ἀλφειὸν, καὶ ἀρέθουσαν.

Αλφεὸς, ἄρσεν ὕδωρ. ἀρέθουσα δέ ἐστι τὸ θῆλυ.
καὶ ποτὸν εὗρεν ἔρως, κιρναμένων ὑδάτων.

Εἰς στρυμόνα. Τυλλίου γεμίνου.

Εἰμὶ μὲν ἐν ποταμοῖς, πελάγει δ' ἴσα μέτρα διώκω
στρυμὼν, ἠμαθίης τὸ γλυκερὸν πέλαγος.
βένθος ὁμοῦ, καὶ ἄγρεα δ' ὕδατος. ἢ γὰρ ἐγχείρω
ὀλυμπιακῶν χαρίτων ἡδύτερον τὸ ἔβολον.
ἔστι καὶ ἠμαθίης γόνιμος βυθός. ἄμμι δὲ κεῖλε,
κρείσσων ἔσθ' ὁ φέρων τὸν στάχυν, οὐχ ὁ τρέφων.

Αγαθίου σχολαστικοῦ εἰς γέφυραν
τοῦ σαγγαρίου.

Καὶ σὺ μεθ' ἑσπερίην ὑψαύχενα, καὶ μετὰ μήδων
ἔθνεα, καὶ πᾶσαν βαρβαρικὴν ἀγέλην
σαγγάριε, κρατερῇσι ῥοὰς ἀψῖσι πεδηθεὶς,
αὕτως ἐδουλώθης κοιρανικῇ παλάμῃ.
ὁ πρὶν δὲ σκαφέεσσιν ἀνέμβατος, ὁ πρὶν ἀτειρὴς,
κεῖσαι λαϊνέῃ σφιγκτὸς ἀλυκτοπέδῃ.

ΕΙΣ ΠΡΟΑΣΤΕΙΑ. 30

Κωμητᾶ χαρτουλαρίου.

Εἰπὲ νομεῦ, τίνος εἰσὶ φυτῶν στίχες; αἱ μὲν ἐλαῖαι,
Παλλάδος. αἱ δὲ πέριξ ἡμερίδες; βρομίου.
καὶ τίνος οἱ στάχυες; Δημήτερος. ἄνθεα ποίων
εἰσὶ θεῶν; ἥρης, καὶ ῥοδέης Παφίης.

καὶ φίλε, τὴν κιχλίδα μίμνε τεοῖς ἐπὶ χείλεσι σύρων.
ἠχὼ γὰρ ὑλήεις τοῖσδ' ἐνὶ θηλοπέδοις.

Ἀραβίου σχολαστικοῦ.

Ὕδασι, καὶ κήποισι, καὶ ἄλσεσι, καὶ Διονύσῳ,
καὶ πόντου πλήθει γείτονος εὐφροσύνη.
τερπνὰ δέ μοι γαίης τε, καὶ ἐξ ἁλὸς ἄλλοθεν ἄλλος,
καὶ γριπεὺς ὀρέγει δῶρα, καὶ ἀγρονόμος.
τοὺς δ' ἐν ἐμοὶ μίμνοντας, ἢ ὀρνίθων τις ἀείδων,
ἢ γλυκὺ πορθμήων φθέγμα παρηγορέει.

Εἰς ἕτερον προάστειον ὀνομαζόμενον ἔρωτα ἐν ἀμασείᾳ. Μαριανοῦ σχολαστικοῦ.

Ἡ καλὸν ἄλσος ἔρωτος, ὅπου καλὰ δένδρεα ταῦτα
πρηὺς ἐπιπνείων ἀμφιδονεῖ ζέφυρος.
ἦχι καὶ ἑρσήεις ἀμαρύσσεται ἄνθεσι λειμὼν
πουλὺν ἰοστεφάνων κόσμον ἀνεὶς καλύκων.
καὶ γλυκερῆς τρίστοιχος ἐπεμβαδὸν ἄλλος ἐπ' ἄλλῳ
μαζὸς ἀναθλίβει χεύματα νηϊάδος,
ὁππόθι δενδρήεντα γέρων παρανήχεται Ἶρις
χῶρον ἀμαδρυάδων ἔνδιον ἀβροκόμων.
καὶ λιπαρῆς εὔβοτρυς ἀν' ὀργάδα καρπὸς ἐλαίης
θάλλει, ἐρισταφύλων πάντοθι θηλοπέδων.
αἱ δὲ πέριξ λαλαγεῦσιν ἀηδόνες. ᾧ δὲ, μελίζει
αὐτῳδὸν τέττιξ φθέγματος ἁρμονίαν.
ἀλλὰ τὸν ἀκλήϊστον ὅπως ξένε μήμε παρέλθῃς
τόνδε δόμον. λιτῆς δ' ἀντίασον ξενίης.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Δεῦρ' ἴθι βαιὸν ὁδῖτα πεσὼν ὑπὸ δάσκιον ἄλσος,
ἄμπαυσον καμάτου γυῖα πολυπλανέος,
χῶρον ὅπου πλατάνων αὐτόῤῥυτον ἐς μέσον ὕδωρ
καλὰ πολυκρούνων ἐκπορέει στομάτων.

ὁππόθι πορφυρέης ὑπὸ αὔλακος εἴαρι θάλλει
ὑγρὸν ἴον, ῥοδέῃ κιρνάμενον κάλυκι.
ἠνὶ δὲ πᾶς δροσεροῖο πέδον λειμῶνος ὀρέψειν.
ἔγχυτον εὐχαίτης κισσὸς ἔπλεξε κόμην.
ἐνθάδε καὶ ποταμὸς λασίην παραμείβεται ὄχθην,
πέζαν ὑπὸ ξύων αὐτοφύτοιο νάπης.
ὄντως ἔρως. τί γὰρ ἄλλο καὶ ἔπρεπεν οὔνομα χώρῳ
πάντοθεν ἱμερτῶν πληθομένῳ χαρίτων;

## ΕΙΣ ΕΙΚΟΝΑΣ ΡΗΤΟΡΩΝ. 31

Εἰς εἰκόνα Πτολεμαίου ἐν Ἀντιοχείᾳ.

Ἀδέσποτον.

Εἰκών, τίς σ᾽ ἀνέθηκε; λόγοι. τίνος εἶ; Πτολεμαίου.
ποίου; τοῦ Κρητός. τοῦ χάριν; ἀντ᾽ ἀρετῆς.
τῆς ποδαπῆς; πάσης. τῆς δ᾽ οὖν τίνας; οὖν δικηλέκτας.
καὶ ξύλον ἀρκεῖ; ναί. χρύσιον οὐ δέχεται.

Ἀραβίου σχολαστικοῦ.

Εἰκόνα Λογγίνῳ χρυσέην πόλις εἶχεν ὀπάσσαι,
εἰ μὴ πότνια Δίκη χρυσὸν ἀπεστρέφετο.

Θωμᾶ σχολαστικοῦ.

Ῥητορικῆς φιλέω τρεῖς ἀστέρας, οὕνεκα μοῦνοι
πάντων ῥητήρων εἰσὶν ἀριστότεροι.
στεῖο πόνους φιλέω Δημοσθένεος. εἰμὶ δὲ λίην
καὶ φιλαριστείδης, καὶ φιλοθουκυδίδης.

Μιχαηλίου γραμματικοῦ.

Η πόλις Ἀγαθίαν τὸν ῥήτορα, τὸν στιχαοιδόν,
δίζυγος εὐεπίης ῥυθμὸν ἀγασσαμένη,
ὡς μήτηρ ἐτέλεσσεν ἐφ᾽ υἱεῖ, καὶ πόρε τῷδε
εἰκόνα, καὶ στοργῆς μάρτυρα, καὶ σοφίης.



ALEXANDER · ARAGONIAM · REX · FERDINANDI · SANCTI

μεμνόνιον δὲ τοκῆα, κασίγνητόν τε σὺν αὐτῷ
ἔστησεν, γενεῆς σύμβολα σεμνοτάτης.

Παλλαδᾶ.

Κωφὸν ἄναυδον ὁρῶν τὸν Γέσσιον, εἰ λίθος ἐστὶ
δήλιε μαντεύου, τίς, τίνος ἐστὶ λίθος.

Εἰς εἰκόνα ῥήτορος ἀφυοῦς.

Τίς σε τὸν οὐ λαλέοντα τύπῳ ῥήτορος ἔγραψε;
σιγᾷς; οὐ λαλέεις; οὐδὲν ὁμοιότερον.

Εἰς τὸν αὐτόν.

Εἰκόνος ἀνθρώποισι φίλον γέρας. ἀλλὰ Μαρίνῳ
ὕβρις, ἐλεγχομένης εἴδεος ἀπρεπίης.

Εἰς ἄγαλμα ἀριστείδου τοῦ ῥήτορος.

Νεῖκος ἀριστείδης ἰάδων κατέπαυσε πολήων,
τὸ, πρὶν ὁμηρείης εἶχον ὑπὲρ γενεῆς.
φασὶ γὰρ πᾶσαι, σμύρνη τέκε θεῖον ὅμηρον,
ἣ καὶ ἀριστείδην ῥήτορα γειναμένη.

Αδήλου.

Εἰκὼν Καλλίστου τοῦ ῥήτορος. οἱ δὲ παρ᾽ αὐτὴν
ἐρχόμενοι, ἑρμῇ σπένδετε τῷ λογίῳ.

Αδήλου.

Θύρμος με, θύρμον. πυρφόρος, τὸν πυρφόρον.
ὁ παῖς ὁ ῥήτωρ, τὸν πατέρα τὸν ῥήτορα.

## ΕΙΣ ΣΚΕΥΗ. 32

Εἰς κωνωπεῶνα. Παύλου σιλεντιαρίου.

Οὐ βριαρόν τινα θῆρα, καὶ οὔ τινα πόντιον ἰχθὺν,
οὐ πτερὸν ἀγρεύω πλέγμασιν ἡμετέροις,
ἀλλὰ βροτοὺς ἐθέλοντας. ἀλεξήτειρα δὲ τέχνη
ἀνέρα μυιάων κέντρον ἀλευόμενον,

ἐκ θαλίης ἁβρῶντα μεσημβριάοντα φυλάσσει,
οὐδὲν ἀφαυροτέρη τείχεος ἀσυνόχου.
ὕπνου δ' ἀσυφήλικτον ἄγω χάριν. ἀλλὰ καὶ αὐτοῦ
δμῶας, μυοσόβου ῥύομαι ἀτμενίης.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Καλλιγάμοις λέκτροις περιπέπταμαι. εἰμὶ δὲ κεδνῆς
δίκτυον οὐ φοίβης, ἀλλ' ἁπαλῆς Παφίης.
ἀνέρα δ' ὑπνώοντα, μίτῳ πολύωπι καλύπτω,
ζωοφόρων ἀνέμων οὐδὲν ἀτεμβόμενον.

Αδηλον.

Πλέγμασι μὲν σκοπός ἐστι, περισφίγξαι πετεηνῶν
ἔθνεα, καὶ ταχινοὺς ἔνδοθεν ὀρταλίχους.
αὐτὰρ ἐγὼ στεύειν ἤδη τέρπομαι, οὐδὲ καλύπτω
ἔνδοθεν, ἀλλ' εἴργω μᾶλλον ἐπερχομένους.
οὐδέ με τὶς λήσειε, καὶ εἰ βραχὺς ἔπλετο κώνωψ,
ἡμετέρης διαδὺς πλέγμα λινοστασίης.
ὄρνεα που σώζω. μερόπεσσι δὲ λέκτρα φυλάσσω.
ἢ ῥα, τίς ἡμείων ἐστὶ δικαιότερος;

Τοῦ αὐτοῦ εἰς τάβλαν.

Ἑζόμενος μὲν τῇδε παρ' εὐλάιγγι τραπέζῃ,
παίγνια κινήσεις τερπνὰ βολοκτυπίης.
μήτε δὲ νικήσας μεγαλίζεο, μήτ' ἀπολειφθεὶς,
ἄχνυσο, τὴν ὀλίγην μεμφόμενος βολίδα.
καὶ γὰρ ἤδη σμικροῖσι νόος διαφαίνεται ἀνδρός.
καὶ κύβος ἀγγέλλει βένθος ἐχεφροσύνης.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Παίγνια μὲν τάδε πάντα. τύχης δ' ἑτερότροπος ὁρμὴ,
ταῖς ἀλόγοις ταύταις ἐμφέρεται βολίσιν.
καὶ βροτέου βιότου σφαλερὸν μίμημα νοήσεις,
νῦν μὲν ὑπερβάλλων, νῦν δ' ἀπολειπόμενος.

αἰνοῦμεν δὴ κεῖνον, ὃς ἐν βιότῳ τε, κύβῳ τε,
χάρματι, καὶ λύπῃ μέτρον ἐφηρμόσατο.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Τοῖς μὲν πενθομένοις, τάδε παίγνια. τοῖς δ' ἀκολάστοις,
λύσσα, καὶ ἀμπλακίη, καὶ πόνος αὐτόματος.
ἀλλὰ σὺ μὴ λέξῃς τι θεημάχον ὕστατος ἕρπων.
μηδ' ἀναῤῥοιβδήσῃς ῥινοβόλῳ πατάγῳ.
δεῖ γὰρ μήτε πονεῖν ἐν ἀθύρμασι, μήτε τι παίζειν
ἐν σπουδῇ. καιρῷ δ' ἴσθι νέμειν τὸ πρέπον.

Εἰς φιάλην ἔχουσαν κινουμένους ἰχθύας.
Ἰουλιανοῦ ἀπὸ ὑπάρχων.

Οὕτω Βάκχον ἔδεκτο Θέτις. νῦν μῦθος Ὁμήρου
ὀψὲ μὲν, ἀλλ' ἔργῳ πίστιν ἐτητυμίης.

Εἰς ἀρχοντικὸν πέλεκυν.
Τοῦ αὐτοῦ.

Ἢν μὲν ἀλιτραίνῃς, πέλεκυν βλεφάροισι δοκεύεις.
ἢν δὲ σαοφρονέῃς, ἄργυρός εἰμι μόνον.

Εἰς κάγκελον οἰκίας.

Ἢν κλείσῃς μ', ἀνέῳγα. καὶ ἢν οἴξῃς, κλείσεις με.
τοῖος ἐὼν, τηρεῖν σὸν δόμον οὐ δύναμαι.

Εἰς μινσώριον ἔχον τὰ δώδεκα
ζώδια, καὶ ἕτερα.

Ἀργύρεος πόλος οὗτος, ὅπῃ φαέθοντα σελήνη
δέρκεται, ἀντιτύπων πιμπλαμένη φαέων.
ἀπλανέες δ' ἑκάτερθε, καὶ ἀντιθέοντες ἀλῆται
ἀνδρομένης γενεῆς πᾶσαν ἄγουσι τύχην.

Μεσομήδου.

Ταν ὕελον ἐκόμιζε κόψας ἐργάτας ἀνήρ.
ὃν δὲ πῦρ ἔθηκε βῶλον, ὡς σίδηρον ὤνιον.
ἁ δ' ὕελος οἷα κηρὸς ἐξεχεῖτο παμφάγοισι

φλοξὶν ἐκπυρσωμένοισι. θαῦμα δ' ἦν ἰδεῖν βροτοῖς
ὄλκον ἐκ πυρὸς ῥέοντα, καὶ τὸν ἐργάτην
τρέμοντα, μὴ πεσὼν διαρραγῇ.
τὸν δὲ διπτύχων ἀκμὰς χειλέων ἔθηκε Βάλων.

Εἰς δίσκον. Ἀσκληπιάδου.

Ἥφαιστός μ' ἐτέλεσσε καμὼν χρόνῳ. ἀλλὰ Κυθείρη
ἀνδρὸς ἐν θαλάμων εἷλέ με λαθριδίως.
ἀγχίσῃ δ' ἔπορε κρυφίης μνημήϊον εὐνῆς.
καί μ' ἀσκληπιάδης εὗρε παρ' αἰνεάδαις.

Ἀδήλου.

Ἡ γραφὶς ἀργυρέη μὲν ὅτ' ἐκ πυρὸς ἦλθον, ἐτύχθην.
σαῖσι δὲ καὶ χρυσέη γίνομαι ἐν παλάμαις.
ὧδέ σοι ὦ χαρίεσσα Λεόντιον, εὖ μὲν ἀθήνη
τέχνης, εὖ δ' εἶδος ἄκρα δέδωκε Κύπρις.

Σαμμίου.

Πρόσθε μὲν ἀγραύλοιο διὰ τριχὸς ἰξάλου αἰγὸς
δοιὼ ὑπὲρ χλωροῖς ἐστεφόμην πετάλοις.
νῦν δέ με Νικομάχῳ κεραοξόος ἥρμοσε τέκτων
ἐντανύσας ἕλικος καρτερὰ νεῦρα βοός.

Εἰς μυστώριον ἔχον ἀφροδίτην, καὶ ἔρωτας.

Τέσσαρές εἰσιν ἔρωτες. ὁ μὲν, σέφος ἀμφικαλύπτει
μητρὸς ἑῆς. ὁ δὲ, χεῖλος ἔχει ποτὶ πίδακι μαζοῦ.
οἱ δὲ δύω παίζουσι παρ' ἴχνεσιν. εἷμα δὲ κρύπτει
μηρῶν γείτονα χῶρον ὅλης γυμνῆς ἀφροδίτης.

Ἀδέσποτον.

Βάκχῳ, καὶ νύμφαις μέσος ἵσταμαι. ἐν δὲ κυπέλλοις
αἰεὶ τόνδε χέω τὸν παραλειπόμενον.

Ἀδέσποτον.

Χαλκοτύπος τὸν ἔρωτα μεταλλάξας, ἐποίησε
τήγανον. οὐκ ἀλόγως, ὅττι καὶ αὐτὸ φλέγει.

Φιλίππου.

Ἀδριανοῖο κύτος λαιμὸς τὸ πάλαι μελίγηρυς
ἀνίκ᾽ ἐγαστροφόρουν Βακχιακὰς χάριτας.
νῦν κλασθεὶς, κεῖμαι νεοθηλέϊ καρτερὸν ἕρκος
κλήματι, πρὸς τρυφερὴν τεινομένῳ καλύβην.
αἰεί τι Βρομίῳ λατρεύομεν. ἢ γεραὸν γὰρ
φρουροῦμεν πιστῶς, ἢ νέον ἐκτρέφομεν.

## ΕΙΣ ΦΙΛΟΣΟΦΟΥΣ. 33

Εἰς ἀνδριάντα Πυθαγόρου. Ἰουλιανοῦ ἀπὸ ὑπάρχων.

Οὐ τὸν ἀναπτύσσοντα φύσιν πολύμητιν ἀριθμῶν
ἤθελεν ὁ πλάστης Πυθαγόρην τελέσαι,
ἀλλὰ τὸν ἐν σιγῇ πινυτόφρονι. καὶ τάχα φωνὴν
ἔνδοθεν ἀποκρύπτει, καὶ τόδ᾽ ἔχων ὀπάσαι.

Εἰς τὸ αὐτό.

Αὐτὸν Πυθαγόρην ὁ ζωγράφος. ὃν μετὰ φωνῆς
εἶδες ἄν, εἴγε λαλεῖν ἤθελε Πυθαγόρης.

Εἰς εἰκόνα Σωκράτους. Ἰωάννου
ποιητοῦ τοῦ Βαρβουκάλλου.

Ὡς σοφὸς ὁ γράψας, ζωὰν οὐκ ἔμβαλε κηρῷ,
Σωκρατίου ψυχᾶς τοῦτο χαριζόμενος.
Ζωγράφε, τὰν μορφὰν ἀπομάξας αἴθ᾽ ἐνὶ κηρῷ
καὶ ψυχὰν ἐδάης σωκρατικὰν βαλέειν.

Εἰς εἰκόνα Πλάτωνος.

Τὸν τῶν διδασκάλων αἰθεροβατεῖν Πλάτων,
τὸν τῶν ὑπὲρ νοῦν ἐξερεύγεται λόγους.

Εἰς εἰκόνα Ἀριστοτέλους.

Οὗτος Ἀριστοτέλης, μετρῶν χθόνα καὶ πόλον ἄστρων.

Εἰς τὸν αὐτόν.

Νοῦς, καὶ Ἀριστοτέλους ψυχὴ, τύπος ἀμφοτέρων εἷς.

Εἰς εἰκόνα Πλουτάρχου. Ἀγαθίου σχολαστικοῦ.

Σεῖο πολυκλήεντα τύπον στήσαντο χαιρωνεῦ
Πλούταρχε, κρατερῶν υἷες αὐσονίων.
ὅττι παραλλήλοισι βίοις ἕλληνας ἀρίστους
ῥώμης εὐπολέμοις ἥρμοσας ἐνναέταις.
ἀλλὰ τεοῦ βιότοιο παράλληλον βίον ἄλλον,
οὐδὲ σύ γ᾽ ἂν γράψαις. οὐ γὰρ ὅμοιον ἔχεις.

Εἰς εἰκόνα Αἰσώπου.

Τοῦ αὐτοῦ.

Εὖγε ποιῶν Λύσιππε γέρον σικυώνιε πλάστα,
δείκελον Αἰσώπου στήσαο τοῦ Σαμίου
ἑπτὰ σοφῶν ἔμπροσθεν, ἐπεὶ κεῖνοι μὲν ἀνάγκην
ἔμβαλον, οὐ πειθὼ φθέγμασι τοῖς σφετέροις.
ὃς δὲ, σοφοῖς μύθοις, καὶ πλάσμασι καίρια λέξας,
παίζων, ἐν σπουδῇ πείθει ἐχεφρονέειν.
φευκτὸν δ᾽ ἡ τρηχεῖα παραίνεσις. ἡ σαμίου δὲ,
τὸ γλυκὺ τοῦ μύθου καλὸν ἔχει δέλεαρ.

Εἰς Διογένην. Ἀντιφίλου Βυζαντίου.

Ἡ πήρη, καὶ χλαῖνα, καὶ ὕδατι πιληθεῖσα
μάζα, καὶ ἡ πρὸ ποδῶν ῥάβδος ἐρειδομένη,
καὶ δέπας ἐκ κεράμοιο, σοφῷ κυνὶ μέτρα βίοιο
ἄρκια. κἠν τούτοις ἦν τι περισσότερον.
κοίλαις γὰρ πόμα χερσὶν ἰδὼν ἀρύοντα βοώτην,
εἶπε, τί καὶ σέ μάτην ὄστρακον ἠχθοφόρευν;

Εἰς τὸν αὐτὸν τοῦ αὐτοῦ.

Γηράσκει καὶ χαλκὸς ὑπὸ χρόνου. ἀλλὰ σὸν οὔτι
κῦδος ὁ πᾶς αἰὼν Διόγενες καθελεῖ.
μοῦνος γὰρ βιοτῆς αὐταρκέα δόξαν ἔδειξας
θνητοῖς, καὶ ζωῆς οἶμον ἐλαφροτάτην.

ARAGONVM · ALEXANDER

Εἰς τὴν βάσιν τοῦ ὡρολογίου τοῦ εἰς τὴν ἀντίδα τὴν εἰς βασιλικήν.

Δῶρον Ἰουστίνοιο τυραννοφόνου βασιλῆος,
καὶ Σοφίης ἀλόχου, φέγγος ἐλευθερίης,
ὡράων σκοπίαζε σοφὸν σημάντορα χαλκόν,
αὐτῆς ἐκ μονάδος, μέχρι δυωδεκάδος.
ὅντινα συληθέντα, δίκης θρόνον ἡνιοχεύων,
εὗρεν Ἰουλιανὸς χερσὶν ἀδωροδόκοις.

Εἰς ἕτερον. Ἀδέσποτον.

Ὡράων ἀχεροῦσα σοφὰ λίθος, ἃ διὰ τυτθοῦ
γνώμονος ἀελίῳ παντὶ μεριζομένα.

Εἰς ἕτερον δι' ὕδατος.

Παύλου σιλεντιαρίου.

Ἐνθάδε μιστύλλουσι δρόμον φαεθοντίδος αἴγλης
ἀνέρες, ὡράων ἀμφὶ δυωδεκάδι.
ὕδασι δ' ἠελίοιο ταλαντεύουσι κελεύθους,
ἐς πόλον ἐκ γαίης μῆτιν ἐρεισάμενοι.

Εἰς ἕτερον. Ἀδέσποτον.

Κῆπος ἔην ὅδε χῶρος. ἀπὸ σκιερῶν δὲ πετήλων
νυκτοφανὴς τελέθων, ἔσκεπεν ἠέλιον.
νῦν δὲ παναιγλήεντα, καὶ εὔδιον εὗρε τελέσσας
Σέργιος αὐτόπτης μυστοπόλος τριάδος,
ἔνθα λίθος στατὸς οὗτος, ἀειδίνητον ἀναγκὴν
ἑπτάκις ἀγγέλλει ἄντυγος οὐρανίης.

Ἄδηλον.

Μηχανικὴ φαέθοντα βιάζεται ἁρμονικοῖσι
γνώμοσιν, ἀγρεύειν τὸν δρόμον ἠελίου.
βαιὸς δ' ἀμφιέπει λίθος ἄντυγας ἠεραχθείης,
ὡρονόμου σοφίης, καὶ σκιόεντι τύπῳ.

σεργίου ἀρχιερῆος ἐπουρανίῃσιν ἐφετμαῖς,
ὅσσα συνεργάσθη ἔργον ἐπιχθονίων.

Ἄδηλον.

Σῆμα δυωδεκάμοιρον ἀφεγγέος ἠελίοιο
τριοσάκις ἀγλώσσῳ φθεγγόμενον στόματι,
εὖτ' ἂν θλιβομένοιο ποτὶ στενὸν ὕδατος ἀὴρ
αὐλὸν ἀποστείλῃ πνεῦμα δυωλύγιον,
θῆκεν Ἀθηναῖος Δήμου χάριν, ὥστ' ἂν ἐναργὴς
εἴη κὴν φθονεραῖς ἠέλιος νεφέλαις.

Ἄδηλον.

Μὴ νεμέσα Βαιοῖσι χάρις, Βαιοῖσιν ὀπηδεῖ.
Βαιὸς καὶ Παφίης ἔπλετο κοῦρος Ἔρως.

ARAGONVM · ALEXANDER · DEI GRA REX · FERDINANDVS

# ΑΡΧΗ ΤΟΥ ΠΕΜΠΤΟΥ ΤΜΗΜΑΤΟΣ.

Ἐν τῷδε τῷ πέμπτῳ τμήματι περιέχεται ἔκφρασις Χριστοδώρου ποιητοῦ θηβαίου κοπίτου, τῶν ἀγαλμάτων τῶν εἰς τὸ δημόσιον γυμνάσιον, τὸ ἐπικαλούμενον τοῦ Ζευξίππου. Ἔτι δὲ καὶ τὰ ἐπιγράμματα τῶν ἐν τῷ ἱπποδρόμῳ κωνσταντινουπόλεως ἡνιόχων.

ΕΙΣ

## ΕΙΣ ΔΗΙΦΟΒΟΝ.

Δηΐφοβος μὲν πρῶτος ἐϋγλύπτῳ
ἐπὶ βωμῷ,
ἵστατο τολμήεις, κεκορυθμένος,
ὄβριμος ἥρως,
τοῖος ἐών, οἷός περ ἐπ' ὀρνυμένῳ
Μενελάῳ
περθομένων ἤντησεν ἑῶν προπάροιθε μελάθρων.
ἵσταο δὲ προβιβῶντι πανείκελος. εὖ δ' ἐπὶ κόσμῳ
δόχμιος ἦν. μανίῃ δὲ κεκυφότα νῶτα συνέλκων,
δειμὸν μένος ξυνάγειρεν. ἔλισσε δὲ φέγγος ὀπωπῆς,
οἷά τε δυσμενέων μερόπων πεφυλαγμένος ὁρμήν.
λαιῇ μὲν, σάκος εὐρὺ προΐσχετο. δεξιτερῇ δὲ,
φάσγανον ὑψόσ' ἄειρεν. ἔμελλε δὲ μαινομένη χεὶρ
ἀνέρος ἀντιβίοιο κατὰ χροὸς ἆορ ἐλάσσειν.
ἀλλ' οὐ χαλκὸν ἔθηκε φύσις πειθήμονα λύσσῃ.

Εἰς Αἰσχίνην ῥήτορα.

Κεκροπίδης δ' ἤστραπτε νοήμονος ἄνθεα πειθοῦς
Αἰσχίνης. λασίης δὲ συνείρυε κύκλα παρειῆς,
οἷα πολυτροχάλοισιν ἀεθλεύων ἀγορῇσι.
στεῖνε γὰρ πυκινῇσι μελεδῶσιν. ἄγχι δ' ἐκείνου.

Εἰς ἀριστοτέλην.

Ἦν ἀριστοτέλης, σοφίης πρόμος. ἱστάμενος δὲ,
χεῖρε περιπλέγδην συνεέργαθεν. οὐδ' ἐνὶ χαλκῷ
ἀφθόγγῳ φρένας εἶχεν ἀεργέας, ἀλλ' ἔτι βουλὴν
σκεπτομένῳ μὲν ἔικτο. συνισταμέναι δὲ παρειαί,
ἀνέρ[illegible] ἀμφ[illegible]λισσαν ἐμαντεύοντο μενοινήν.
καὶ τροχαλαὶ σήμαινον ἀολλέα μῆτιν ὀπωπαί.



ALEXAND… ARAGONUM … FERDINANDI … SANC…

Εἰς Δημοσθένην.

Καὶ Παιανιέων δημηγόρος ἔπρεπε σάλπιγξ,
ῥήτρης εὐκελάδοιο, πατὴρ σοφός, ὁ πρὶν Ἀθήναις
πειθοῦς θελξινόοιο νοήμονα πυρσὸν ἀνάψας.
ἀλλ' οὐκ ἠρεμέων διεφαίνετο. πυκνὰ δὲ βουλὴν
ἐστρώφα. πυκινὴν γὰρ ἐείδετο μῆτιν ἑλίσσειν,
οἷα κατ' εὐόπλων τεθοωμένος Ἠμαθιήων.
ἦ τάχα κεν κοτέων, τροχαλὴν ἐφθέγγετο φωνήν,
ἄπνοον αὐδήεντα τιθεὶς τύπον. ἀλλά ἑ τέχνη
χαλκείης ἐπέδησεν ὑπὸ σφρηγῖδι σιωπῆς.

Εἰς Εὐριπίδην.

Ἵστατο δ' Εὐρίποιο φερώνυμος. ὡς δὲ δοκεύω,
λάθρη δ' ὑπὸ κραδίην τραγικαῖς ὡμίλεε μούσαις,
ἔργα σαοφροσύνης διανεύμενος. ἦν γὰρ ἰδέσθαι,
οἷά τε που θυμέλῃσιν ἐν ἀτθίσι θύρσα τινάσσων.

Εἰς Παλαίφατον.

Δάφνῃ μὲν πλοκαμῖδα Παλαίφατος ἔπρεπε μάντις
στεφόμενος. δόκεεν δὲ χέειν μαντώδεα φωνήν.

Εἰς Ἡσίοδον.

Ἡσίοδος δ' Ἀσκραῖος, ὀρειάσιν εἴδετο μούσαις
φθεγγόμενος. χαλκὸν δ' ἐβιάζετο θυιάδι λύσσῃ,
ἔνθεον ἱμείρων ἀνάγειν μέλος. ἐγγύθι δ' αὐτοῦ.

Εἰς Πολύειδον μάντιν.

Μαντιπόλος πάλιν ἄλλος ἔην φοιβηΐδι δάφνῃ
κοσμηθεὶς Πολύειδος. ἀπὸ στομάτων δὲ τινάξαι
ἤθελε μὲν κελάδημα θεοτρόπον. ἀλλά ἑ τέχνη,
δεσμῷ ἀφωνήτῳ κατερήτυεν. οὐδὲ σὺ μολπῆς.

Εἰς Σιμωνίδην.

Εὔνασας ἀβρὸν ἔρωτα Σιμωνίδη, ἀλλ' ἔτι χορδῆς
ἱμείρεις. ἱερὴν δὲ λύρην οὐ χερσὶν ἀράσσεις.
ὤφελεν ὁ πλάσσας σε Σιμωνίδη, ὤφελε χαλκῷ

συγκεράσαι μέλος ἡδύ. σὲ δ' ἂν καὶ χαλκὸς ἄναυ-
αἰδόμενος, ξυνοῖσι λύρης ἀνέχευε μολπήν. (δῆς

Εἰς ἀναξιμένην.

Ἦν μὲν ἀναξιμένης νοερὸς σοφός. ἐν δὲ μενοινῇ,
δαιμονίης ἐλέλιζε νοήματα ποικίλα βουλῆς.

Εἰς Κάλχαντα.

Θεσπέσιος δ' ἄρα μάντις ἐύσκοπος ἵστατο Κάλχας,
οἷά τε θεσπίζων. ἐδόκει δέ τι θέσφατα κεύθειν,
ἢ στρατὸν οἰκτείρων ἑλλήνιον, ἢ ἔτι θυμῷ
δειμαίνων βασιλῆα πολυχρύσοιο μυκήνης.

Εἰς Πύῤῥον, τὸν καὶ Νεοπτόλεμον.

Δέρκεό μοι σκύμνον πτολιπόρθιον αἰακιδάων
Πύῤῥον ἀχιλλείδην, ὅσον ἤθελε χερσὶν ἑλίσσειν
τεύχεα χαλκήεντα. τὰ, μή οἱ ὤπασε τέχνη.
γυμνὸν γάρ μιν ἔτευξεν. ὁ δ' ὑψόσε φαίνετο λεύσσων,
οἷα πρὸς ἠνεμόεσσαν ἐς ἴλιον ὄμμα τιταίνων.

Εἰς ἀμυμώνην.

Ἦν δ' ἀμυμώνη ῥοδοδάκτυλος. εἰς ὀπίσω μὲν,
βόστρυχον ἀκρήδεμνον ἐπὶ συνέεργεν ἐθείρης.
γυμνὸν δ' εἶχε μέτωπον. ἀναστέλλουσα δ' ὀπωπάς,
εἰνάλιον σκοπίαζε μελαγχαίτην παρακοίτην.

Εἰς Ποσειδῶνα.

Ἐγγύθι δ' εὐρυσθενὴς ἐφαίνετο κυανοχαίτης,
γυμνὸς ἐών. πλόκαμον δὲ καθειμένον εἶχεν ἐθείρης.
καὶ δ' ἱερὸν δελφῖνα προΐσχετο, χειρὶ κομίζων
δῶρα πολυζήλοιο γάμων μνηστήρια κούρης.

Εἰς Σαπφώ.

Πιερικὴ δὲ μέλισσα λιγύθροος ἕζετο Σαπφὼ
λεσβιὰς ἠρεμέουσα. μέλος δ' εὔυμνον ὑφαίνειν
σιγαλέαις δοκέεσκεν ἀναψαμένη φρένα μούσαις.

Εἰς Ἀπόλλωνα.

Φοῖβος δ' εἱστήκει τριποδηλάλος· ἦν δ' ἄρα χαίτας
εἰσοπίσω σφίγξας ἄδετον πλόκον· ἀλλ' ἐνὶ χαλκῷ
γυμνὸς ἔην, ὅτι πᾶσιν ἀνερχομένοισιν Ἀπόλλων
γυμνῶσαι δεδάηκεν ἀληθέα θέσφατα μοίρης,
ἢ ὅτι πᾶσιν ὁμῶς ἀναφαίνεται· ἠέλιος γὰρ
Φοῖβος ἄναξ, καθαρὴν δὲ φέρει τηλεσκόπον αἴγλην.

Εἰς Ἀφροδίτην.

Ἀγχι δὲ Κύπρις ἔλαμπεν, ἔλειβε δὲ νώροπι χαλκῷ
ἀγλαΐης ῥαθάμιγγας· ἀπὸ στέρνοιο δὲ γυμνὴ
φαίνετο μέν, φᾶρος δὲ συνήγαγεν ἄντυγι μηρῶν,
χρυσείῃ πλοκαμῖδας ὑποσφίγξασα καλύπτρῃ.

Εἰς Κλεινιάδην.

Κλεινιάδην δὲ τέθηπα, περιστίλβοντα νόησας
ἀγλαΐῃ· χαλκῷ γὰρ ἀνέπλεκε κάλλεος αἴγλην,
τοῖος ἐών, οἷός περ ἐν Ἀτθίδι μητέρι μύθων
ἀνδράσι Κεκροπίδῃσι πολύφρονα μῆτιν ἀγείρων.

Εἰς Χρύσην.

Χρύσης δ' αὖ ἱερεὺς πέλας ἵστατο, δεξιτερῇ μέν
σκῆπτρον ἀνασχόμενος Φοιβήϊον, ἐν δὲ καρήνῳ
στέμμα φέρων· μεγέθει δὲ κεκασμένος ἔπρεπε μορφῆς
οἷά περ ἡρώων ἱερὸν γένος· ὡς δοκέω δέ,
Ἀτρεΐδην ἱκέτευε· βαθὺς δέ οἱ ἤνθεε πώγων,
καὶ τανάης ἄπλατος ἐσύρετο βότρυς αἰθείρης.

Εἰς Ἰούλιον Καίσαρα.

Καῖσαρ δ' ἐγγὺς ἔλαμπεν Ἰούλιος, ὅς ποτε Ῥώμην
ἀντιβίων ἔστεψεν ἀμετρήτοισι βοείαις,
αἰγίδα μὲν βλοσυρῶπιν ἐπωμαδὸν ὑψόσ' ἀείρων.

δεξιτερῇ δὲ, κεραυνὸν ἀγάλλετο χειρὶ κομίζων·
οἷα Ζεὺς νέος ἄλλος ἐν αὐσονίοισιν ἀκούων.

Εἰς Πλάτωνα.

Εἱστήκει δὲ Πλάτων θεοείκελος, ὁ πρὶν Ἀθήναις
δείξας κρυπτὰ κέλευθα θεοκράντων ἀρετάων.

Εἰς ἀφροδίτην.

Ἄλλην δ' εὐπατέρειαν ἴδον χρυσέην ἀφροδίτην,
γυμνὴν παμφανόωσαν. ὑπὸ στέρνων δὲ θεαίνης,
αὐχένος ἐξ ὑπάτοιο χυθεὶς ἐλελίζετο κεστός.

Εἰς ἑρμαφρόδιτον.

Ἵστατο δ' ἑρμαφρόδιτος ἐπήρατος, οὐδ' ὅλος ἀνήρ,
οὔτε γυνή. μικτὸν γὰρ ἔην βρέτας. ἦ τάχα κοῦρον
Κύπριδος εὐκόλποιο, καὶ ἑρμάωνος ἐνίψεις.
μαζοὺς μὲν σφριγόωντας ἐδείκνυεν οἷά τε κούρη.
σχῆμα δὲ πᾶσιν ἔφαινε φυτοσπόρον ἄρσενος αἰδοῦς,
ξυνῆς ἀγλαΐης κεκερασμένα σήματα φαίνων.

Εἰς ἤρινναν.

Παρθενικὴ δ' ἤριννα λιγύθροος ἕζετο κούρη,
οὐ μίτον ἀμφαφάουσα πολύπλοκον, ἀλλ' ἐνὶ σιγῇ
πιερικῆς ῥαθάμιγγας ἀποσταλάουσα μελίσσης.

Εἰς Τέρπανδρον.

Μήτι λίπῃς Τέρπανδρον εὔθροον, ὃν τάχα φαίης
ἔμπνοον, οὐκ ἄφθογγον ἰδεῖν βρέτας. ὡς γὰρ ὀΐω,
κινυμέναις πραπίδεσσιν ἀνέπλεκε μυστίδα μολπήν,
ὥς ποτε δινήεντος ἐπ' εὐρώταο ῥοάων,
μυστιπόλῳ φόρμιγγι κατεπρήϋνεν ἀείδων,
ἀγχεμάχων κακότητας ἀμυκλαίων ναετήρων.

Εἰς Περικλῆ.

Ἠγασάμην δ' ὁρόων σε Περίκλεες, ὅτι καὶ αὐτῷ
χαλκῷ ἀναυδήτῳ δημηγόρον ἦθος ἀνάπτεις,

ὡς ἔτι κεκροπίδῃσι θεμιστεύων πολιήταις,
ὃ μόθον ὀτρύνων πελοπήιον, ἱστάμενος δέ.

Εἰς Πυθαγόραν.

Ἔπρεπε Πυθαγόρης σάμιος σοφός. ἀλλ' ἐν ὀλύμπῳ
ἐνδιάειν ἐδόκευε, φύσις δ' ἐβιάζετο χαλκοῦ,
πλημμύρων νοερῇσι μελεδῶσιν. ὡς γὰρ ὀΐω,
οὐρανὸν ἀχράντοισιν ἐμέτρεε μοῦνον ὀπωπαῖς.

Εἰς Στησίχορον.

Στησίχορον δ' ἐνόησα λιγύθροον, ὅν ποτε γαῖα
σικελίη μὲν, ἔφερβε. λύρης δ' ἐδίδαξεν ἀπόλλων
ἁρμονίην, ἔτι μητρὸς ἐνὶ σπλάγχνοισιν ἐόντα.
τοῦ, γὰρ τικτομένοιο, καὶ ἐς φάος ἄρτι μολόντος,
ἔκποθεν ἠερόφοιτος ὑπὲρ στομάτεσσιν ἀηδὼν
λάθρῃ ἐφεζομένη, λιγυρὴν ἀνεβάλλετο μολπήν.

Εἰς Δημόκριτον.

Χαῖρέ μοι ἀβδήρων Δημόκριτε, κῦδος ἀρούρης,
ὅτι σὺ καλλιτόκοιο φυῆς ἐφράσαο θεσμοὺς,
λεπτὰ διακρίνων πολυΐδμονος ὄργια μούσης.
αἰεὶ δὲ σφαλερὰς ἐγέλας βιότοιο κελεύθους,
εὖ εἰδὼς, ὅτι πάντα γέρων παραμείβεται αἰών.

Εἰς ἡρακλῆν.

Ἡρακλέης δ' ἀγένειον ἐδείκνυε κύκλον ὑπήνης,
μῆλα λεοντοφόνῳ παλάμῃ χρύσεια κομίζων,
γαίης ὄλβια δῶρα λιβυστίδος. ἐγγύθι δ' αὐτοῦ.

Εἰς Αὔγην.

Παλλάδος ἀρήτειρα παρίστατο παρθένος Αὔγη,
φᾶρος ὑποστείλασα κατωμαδόν. οὐ γὰρ ἐθείρας
κρηδέμνῳ συνέεργεν. ἑὰς δ' ἀνετείνετο χεῖρας,
οἷά τε κικλήσκουσα Διὸς γλαυκώπιδα κούρην
ἀρκαδικῆς τεγέης ὑπὸ δειράδας. ἵλαθι γαίης

Εἰς Αἰνείαν.

Τρωϊάδος βλάστημα σακεσπάλον, ἵλαθι λάμπων
Αἰνεία, τρώων βουληφόρε. σαῖς γὰρ ὀπωπαῖς
ἀγλαΐης πνείουσα σοφὴ ποιλείβεται αἰδὼς,
θέσκελον ἀγγέλλουσα γόνον χρυσῆς ἀφροδίτης.

Εἰς Κρέουσαν.

Ηγασάμην δὲ Κρέουσαν ἰδὼν πενθήμονι κόσμῳ,
σύγγαμον Αἰνείαο κατάσκιον. ἀμφὶ γὰρ αὐτῆς
ἀμφοτέραις κρήδεμνον ἐφελκύσασα παρειαῖς,
πάντα πέριξ ἐκάλυψε ποδηνεκέϊ χρόα πέπλῳ,
οἷά τε μυρομένη. τὰ δὲ χάλκεα δάκρυα νύμφης,
ἄρεϊ δουρικτητον ἐμαντεύοντο ἀθήνην,
ἴλιον ἀργείοισιν ἑλωμένον ἀσπιδιώταις.

Εἰς ἕλενον.

Οὐθ' ἕλενος κοτέων ἀπεπαύετο. πατρὶ δὲ νηλὴς
φαίνετο, δυσμενέων ἔτι που χόλον. ἣν μὲν ἀείρων
δεξιτερῇ φιάλην ἐπιλοίβιον. ὡς δοκέω δὲ,
ἐσθλὰ μὲν ἀργείοις μαντεύετο. καὶ δὲ πιθήνης,
ἀθανάτοις ἠρᾶτο πανύστατα σήματα φαίνειν.

Εἰς ἀνδρομάχην.

Ανδρομάχη δ' ἕστηκε ῥοδόσφυρος ἠετιώνη,
οὔτι γόον σταλάουσα πολύστονον. ὡς γὰρ ὀΐω,
οὔπω ἐνὶ πτολέμοιο κορυθαιόλος ἤριπεν ἕκτωρ,
οὐδὲ φερεσσακέων ὑπὸ θούρου υἷες ἀχαιῶν,
δαρδανίην ξύμπασαν ἐληΐσαντο τιθήνην.

Εἰς μενέλαον.

Ην δ' ἐσιδεῖν Μενέλαον ἀρήϊον. ἀλλ' ὑπὸ νίκῃ
γηθόσυνον. φαιδρὸν γὰρ ἐθάλπετο χάρματι πολλῷ
δερκόμενος ῥοδόπηχυν ὁμόφρονα τυνδαρεώνην.

Εἰς ἑλένην.

Ἠγασάμην δ' ἑλένης ἐρατὸν τύπον, ὅττι καὶ αὐτὸς
χαλκῷ κόσμον ἔδωκε πανίμερον. ἀγλαΐη γὰρ
ἔπνεε θερμὸν ἔρωτα καὶ ἀψύχῳ ἐνὶ τέχνῃ.

Εἰς ὀδυσσέα.

Πυκναῖς δὲ πραπίδεσσιν ἀγάλλετο δῖος ὀδυσσεύς.
οὐ γὰρ ἔην ἀπάνευθε πολυστρέπτοιο μενοινῆς,
ἀλλ' ἔτι κόσμον ἔφαινε σοφῆς φρενός. ἦν δ' ἐνὶ θυμῷ
καγχαλόων. τροίην γὰρ ἐγήθεε πᾶσαν ὀλέσσας
ἧσι δολοφροσύνῃσι. σὺ δ' ἕκτορος ἔννεπε μῆτερ.

Εἰς ἑκάβην.

Τίς σε πολυτλήμων ἑκάβη τόσα δάκρυα λείβειν
ἀθανάτων ἐδίδαξεν, ἀφωνήτῳ ἐνὶ κόσμῳ;
οὐδέ σε χαλκὸς ἔπαυσεν ὀϊζύος, οὐδέ σε τέχνη
ἄπνοος οἰκτείρασα δυσαλγέος ἔσχεθε λύσσης.
ἀλλ' ἔτι δακρυχέουσα παρίστασαι. ὡς δὲ δοκεύω,
οὐκ ἔτι δυστήνου μόρον ἕκτορος, οὐδὲ παλαιῆς
ἀνδρομάχης βαρὺ πένθος ὀδύρεαι, ἀλλὰ πεσοῦσαν
πατρίδα σήν. φᾶρος γὰρ ἐπικρεμὲς ἀμφιπρόσωπον
πήματα μὲν δείκνυσιν. ἀπαγγέλλουσι δὲ πέπλοι,
πένθος ὑπὸ βρύχιον κεχαλασμένοι ἄχρι πεδίλων.
ἄλγεϊ γὰρ πυμάτῳ δέδεσαι φρένα. καὶ δὲ παρειῆς,
δάκρυα μὲν στάλαεις. τὸ δὲ δάκρυον ἔσβεσε τέχνη,
ἄπλετον ἀγγέλλουσα δυσαλθέος αὐχμὸν ἀνίης.

Εἰς Κασάνδραν.

Κασάνδρην δ' ἐνόησα θεοπρόπον. ἀλλ' ἐνὶ σιγῇ
μεμφομένη γενετῆρα, σοφῆς ἀνεπίμπλατο λύσσης,
οἷά τε θεσπίζουσα πανύστατα πήματα πάτρης.

Εἰς Πύῤῥον.

Πύῤῥος δ' ἄλλος ἔην πτολιπόρθιος, οὐκ ἐπὶ χαίτης
ἱπποκόμον τρυφάλειαν ἔχων, οὐκ ἔγχος ἑλίσσων,
ἀλλ' ἄρα γυμνὸς ἔλαμπε, καὶ ἄχνοον εἶχεν ὑπήνην·
δεξιτερὴν δ' ἀνέτεινεν ἑὴν ἐπὶ μάρτυρα νίκης,
λοξὰ Πολυξείνην βαρυδάκρυον ὄμμασι λεύσσων.

Εἰς Πολυξένην.

Εἰπὲ Πολυξείνη δυσπάρθενε, τίς τοι ἀνάγκη
χαλκῷ ἐν ἀφθόγγῳ κεκρυμμένα δάκρυα λείβειν.
πῶς δὲ τεῷ κρήδεμνον ἐπειρύσασα προσώπῳ,
ἵστασαι αἰδομένῃ μὲν ἀλίγκιος, ἀλλ' ἐνὶ θυμῷ
πένθος ἔχεις. μὴ, δή σε τεὸν πτολίεθρον ὀλέσσας
ληΐδα Πύῤῥος ἔχει Φθιώτιος; οὐδέ σε μορφὴ
ῥύσατο, τοξεύσασα Νεοπτολέμοιο μενοινὴν,
ὁππότε θηρεύσασα τεοῦ γενετῆρα φονῆος,
εἰς λίνον αὐτοκέλευστον ἀέλπεος ἦγεν ὀλέθρου.
ναὶ μὰ τὸν ἐν χαλκῷ νοερὸν τύπον. εἰ σὺ τοίην
ἔδρακε Πύῤῥος ἄναξ, τάχα κεν ξυνήονα λέκτρων
ἤγετο, πατρῴης προλιπὼν μνημήια μοίρης.

Εἰς Αἴαντα τὸν Λοκρόν.

Ἠγασάμην δ' Αἴαντα, τὸν ὀβριμόθυμος Ὀϊλεὺς
Λοκρίδος ἐσπέρμηνε πελώριος ἕρκος ἀρούρης.
φαίνετο μὲν νεότητι κεκασμένος. οὐδὲ γὰρ ἤεν
αὐθεῖ λαχνήεντι γενειάδος ἄκρα χαράξας.
γυμνὸν δ' εἶχεν ἅπαν στιβαρὸν δέμας. ἠνορέῃ δὲ
βεβριθὼς, ἐλέλιζε μαχήμονος οἶστρον ἐνυοῦς.

Εἰς Πάριν.

Αἰδομένῳ μὲν ἔοικεν ὁ βουκόλος. εἶχε δ' ὀπωπὴν
πλαζομένην ἑτέρωσε δυσίμερος. ἄζετο γάρ που
Οἰνώνην βαρύδακρυν ἰδεῖν κεβρηνίδα νύμφην.

Εἰς Οἰνώνην.

Οἰνώνη δὲ χόλῳ φρένας ἔζεεν· ἔζεε πικρῷ
ζήλῳ θυμὸν ἔδουσα. Πάριν δ᾽ ἐνέλευσσε λαβοῦσα
ὄμματι μαινομένῳ· κρυφίην δ᾽ ἤγγελλεν ἀπειλὴν
δεξιτερῇ βαρύποτμον ἀναινομένη παρακοίτην.

Εἰς Μίλωνα.

Η δὲ παλαισμοσύνην δεδαημένος ὄβριμος ἀνήρ.
εἰ δὲ φίλων ἥκουσε, πελώριος, εἴτε Φιλάμμων,
εἴτε Μίλων Σικελῆς ἔρυμα χθονὸς, οὐδὲν ἀπολλων
οὐ γὰρ ἐγὼ δεδάηκα διακρῖναι καὶ ἀεῖσαι
οὔνομα θαρσαλέου κλυτὸν ἀνέρος. ἀλλὰ καὶ ἔμπης,
ἔπνεεν ἠνορέην. λάσιος δέ οἱ εἵλκετο πώγων,
καὶ φόβον ἠκόντιζον ἀεθλητῆρα παρειαί,
καὶ κεφαλῆς ἔφριξεν ἐθείραδες. ἀμφὶ δὲ πυκνοὶ
μυῶνες μελέεσσιν ἀνοιδαίνοντο παγέντες
τρηχαλέοι. δοιοὶ δὲ συνισταμένων παλαμάων
εὐρέες ἐσφηκῶντο βραχίονες ἠύτε πέτραι,
καὶ τραχὺς ἀλκήεντι τένων ἐπανίστατο νώτῳ,
αὐχένος εὐγνάμπτοιο περὶ πλατὺν αὐλὸν ἀέρ(ων)

Εἰς Δάρητα.

Αὐαλέῳ δὲ Δάρης ἐζώννυτο χεῖρας ἱμᾶσι,
πυγμαχίης κήρυκα φέρων χόλον. ἠνορέης δὲ
ἔπνεε θοῦρον ἄημα πολυστρέπτοισιν ὀπωπαῖς.

Εἰς Ἔντελλον.

Ἔντελλος δὲ Δάρητος ἐναντίον ὄμμα τιταίνων,
γειτονέοντας μύρμηκας ἐμαίνετο χερσὶν ἑλίσσων.
πυγμαχίης δ᾽ ὤδινε φόνου διψῶσαν ἀπειλήν.

Εἰς Χαρίδημον.

Δέρκεό μοι Χαρίδημον, ὃς Ἀτθίδος ἦγε μενοινὴν,
κεκροπίδην στρατὸν εἶχεν ἐπιφράδμονα βουλῆς.

Εἰς Μελάμποδα.

Ἤκην ἰδὼν ἀγάσαιο Μελάμποδα. μάντι πόλ[illegible]
ἱερὸν εἶδος ἔφαινεν. ἔοικε δὲ θεσπιδὸς ὀμφῆς
σιγηλοῖς στομάτεσσι θεοπρόπον ἆσθμα τιταίνειν.

Εἰς Πάνθουν.

Πάνθοος ἦν Τρώων βουληφόρος. ἀλλ' ἔτι δεινὴν
οὔπω μ…ιν ἔπαυσε κατ' ἀργείων στρατιάων.

Εἰς Θυμοίτην.

Δημογέρων δὲ νόημα πολύπλοκον εἶχε Θυμοίτης,
ἀμφασίης πελάγεσσιν ἐελμένος. ἦ γὰρ ἐῴκει
σκεπτομένῳ τινὰ μῆτιν ἐπὶ Τρώεσσιν ὑφαίνειν.

Εἰς Λάμπωνα.

Λάμπων δ' ἀχνυμένῳ ἐναλίγκιος ἦεν ἰδέσθαι.
οὐ γὰρ ἔτι φρεσὶν εἶχε κυλινδομένοιο κυδοιμοῦ,
τειρομένοις Τρώεσσι τεκεῖν παιήονα βουλήν.

Εἰς Κλύτιον.

Εἱστήκει Κλύτιος μὲν ἀμήχανος. εἶχε δὲ δοιὰς
χεῖρας ὁμοπλεκέας κρυφίης κήρυκας ἀνίης.

Εἰς ἰσοκράτην τὸν
ῥήτορα.

Χαῖρε φάος ῥητῆρος ἰσόκρατες, ὅττι σὺ χαλκῷ
κόσμον ἄγεις. δοκέεις γὰρ ἐπίφρονα μήδεα φαίνειν,
εἰ καὶ ἀφωνήτῳ σε πόνῳ χαλκεύσατο τέχνη.

Εἰς ἀμφιά-
ραον.

Ἔστενε δ' ἀμφιάρηος ἔχων περιλαμπέα χαίτην
στέμματι δαφναίῳ. κρυφίην δ' ἐλέλιζεν ἀνίην,
θεσπίζων ὅτι πᾶσι λυρόκτιτος ἄνδρασι θήβη,
ἀνδράσιν ἀργείοισιν ὑπότροπον ἦμαρ ὀλέσσει.

Εἰς ἀγλαόν.

Ἀγλαὸς ἑστήκει χρησμολόγος, ὅντινα φασὶ
μαντιπόλου γενετῆρα θεοφραδέος Πολυΐδου.
εὐπετάλῳ δὲ κόμας ἐστεμμένος ἔπρεπε δάφνῃ.

Εἰς ἀπόλλωνα.

Εἶδον ἀκειρεκόμην ἑκατὸν θεόν. εἶδον ἀοιδῆς
κοίρανον, ἀτμήτοισι κεκασμένον αὐθέτῳ χαίτην.
εἶχε γὰρ ἀμφοτέροισι κόμης μεμερισμένον ὤμοις
βόστρυχον αὐτοέλικτον. ἔλισσε δὲ μάντιν ὀπωπὴν
οἷά τε μαντοσύνῃ μεροπήϊα πήματα λύων.

Εἰς Αἴαντα τὸν μέγαν.

Γυμνὸς δ' ὀβριμόθυμος ἔην τελαμώνιος Αἴας,
μήπω πρῶτον ἴουλον ἔχων. ἐκέκαστο δὲ μορφῆς
αὔθεσι πατρῴης. πλοκάμους δ' ἐσφίγγετο μίτρῃ.
οὐ γὰρ ἔην τρυφάλειαν ἔχων, οὐκ ἔγχος ἑλίσσων,
οὐ σάκος ἑπταβόειον ἐπωμαδόν. ἀλλὰ τοκῆος
θαρσαλέην ἀνέφαινεν ἀγηνορίην Τελαμῶνος.

Εἰς Σαρπηδόνα.

Ἵστατο Σαρπηδὼν λυκίων πρόμος. ἠνορέῃ μὲν,
φρικτὸς ἔην. ἁπαλοῖς δὲ νεοτρεφέεσσιν ἰούλοις
οἴνοπος ἄκρα χάρασσε γενειάδος. ἀμφὶ δὲ χαίτῃ
εἶχε κόρυν. γυμνὸς μὲν ἔην δέμας. ἀλλ' ἐνὶ μορφῇ
σπέρμα διὸς σήμαινεν. ἀπ' ἀμφοτέρης γὰρ ὀπωπῆς
μαρμαρυγὴν ἀνέπεμπεν ἐλευθερίου γενετῆρος.

Εἰς ἀπόλλωνα.

Καὶ τρίτος εὐχαίτης τριποδηλάλος ἦεν ἀπόλλων.
καλὸς ἰδεῖν. πλόκαμος γὰρ ἔλιξ ἐπιδέδρομεν ὤμοις
ἀμφοτέροις. ἐρατὴ δὲ θεοῦ διεφαίνετο μορφή.

χαλκῷ κόσμον ἄγουσα. θεὸς δ' ἐπὶ πᾶσιν ὀπωπὰς
οἷά τε μαντιπόλοισιν ὑπὲρ τριπόδεσσι δοκεύων.

Εἰς Κύπριν.

Καὶ τριτάτην θάμβησα πάλιν χρυσῆν ἀφροδίτην,
φαίδρει κόλπον ἔχουσαν ἐπίσκιον. ἀμφὶ δὲ μαζοὺς
κεστὸς ἕλιξ κεχάλαστο. χάρις δ' ἐνενήχετο κεστῷ.

Εἰς Ἀχιλλέα.

Αἰχμητὴς δ' ἀνίουλος ἐλάμπετο δῖος ἀχιλλεύς,
γυμνὸς ἐὼν σκεπέων. ἐδόκευε μὲν ἔγχος ἑλίσσειν
δεξιτερῇ, σκαιῇ δὲ σάκος χάλκειον ἀείρειν
σχήματι τεχνήεντι. μόθου δ' ἀπέπεμπεν ἀπειλὴν,
θάρσει τολμήεντι τεθηγμένος. αἱ γὰρ ὀπωπαὶ,
γνήσιον ἦθος ἔφαινον, ἀρήιον αἰακιδάων.

Εἰς ἑρμῆν.

Ἦν δὲ καὶ ἑρμείης χρυσόρραπις. ἱστάμενος δὲ,
δεξιτερῇ προβόωντος ἀνείρυε δεσμὰ πεδίλου,
εἰς ὁδὸν ἀΐξαι λελιημένος. εἶχε γὰρ ἤδη
δεξιὸν ὀκλάζοντα θοὸν πόδα. τῷ ἔπι, λαιὴν στῆσε,
χεῖρα ταθεῖσαν, ἔπεμπεν δ' ἐς αἰθέρα κύκλον ὀπωπῶν,
οἷά τε πατρὸς ἄνακτος ἐπιτροπέοντος ἀκούων.

Εἰς ἀπουλήιον τὸν μάγον.

Καὶ νοερῆς ἄφθεγκτα λατινίδος ὄργια μούσης
ἄζετο παπταίνων ἀπουλήιος. ὅντινα μύστην,
αὐσονὶς ἀρρήτου σοφίης ἀνεθρέψατο σειρήν.

Εἰς ἄρτεμιν.

Φοίβου δ' ὀρεσίφοιτος ὁμόγνιος ἵστατο κούρη
ἄρτεμις. ἀλλ' οὐ τόξον ἑκηβόλον, οὐδὲ φαρέτρην
ἰοδόκον κατέχουσα κατωμαδόν. ἦν δ' ὑπὲρ γούνων
παρθένιον λεγνωτὸν ἀναζωσθεῖσα χιτῶνα,
καὶ τριχὸς ἀκρήδεμνον ἀνειμένη πλόκον αὔραις.

ALEXAND ... ARAGONUM ... REX ... FERDINANDI ... SANT

Εἰς ὅμηρον.

Ἔμφρονα χαλκὸν ὅμηρος ἐδείκνυεν, οὔτε μενοινῆς
ἄμμορον, οὔτε νόου κεχρημένον, ἀλλ' ἄρα μούνης
φωνῆς ἀμβροσίης. ἀνέφαινε δὲ θυιάδα τέχνην.
ἦ καὶ χαλκὸν ἔχευεν ὁμοῦ θεὸς εἴδεϊ μορφῆς.
οὐ γὰρ ἐγὼ κατὰ θυμὸν ὀΐομαι ὅττι μιν ἀνὴρ
ἐργοπόνος χάλκευσε παρ' ἐσχαρεῶνι δαάσσων,
ἀλλ' αὐτὴ πολύμητις ἀνέπλασε χόρσιν ἀθήνη,
εἶδος ἐπισταμένη τὸ, τ' ἐώκειν. ἐν γὰρ ὁμήρῳ
αὐτὴ ναιετάουσα, σοφὴν ἐφθέγγετο μολπὴν
σύννομος ἀπόλλωνι. πατὴρ δ' ἐμὸς, ἰσόθεος φὼς,
ἵστατο θεῖος ὅμηρος. ἔικτο μὲν ἀνδρὶ νοῆσαι
γηραλέῳ. τὸ δὲ γῆρας, ἔην γλυκύ. τοῦτο γὰρ αὐτῷ
πλειοτέρην ἔσταξε χάριν. κεκέραστο δὲ κόσμῳ
αἰδοίῳ τε, φίλῳ τε. σέβας δ' ἀπελάμπετο μορφῆς.
αὐχένι μὲν κύπτοντι, γέρων ἐπεσύρετο βότρυς,
χαίτης εἰσοπίσω πεφορημένος. ἀμφὶ δ' ἀκουὰς
πλαζόμενος, κεχάλαστο. κάτω δ' εὐρύνετο πώγων
ἀμφιταθείς. μαλακὸς δὲ, καὶ εὔτροχος. οὐδὲ γὰρ ἦεν
ὀξυτενὴς, ἀλλ' εὐρὺς ἀπεπαύετο, κάλλος ὑφαίνων
στήθεϊ γυμνωθέντι, καὶ ἱμερόεντι προσώπῳ.
γυμνὸν δ' εἶχε μέτωπον. ἐπ' ἀπλοκάμῳ ἢ μετώπῳ,
ἧστο σωφροσύνη κουροτρόφος. ἀμφὶ δ' ἄρ' ὀφρῦς
ἀμφοτέρας προβλῆτας ἐΰσκοπος ἔπλασε τέχνη.
οὔτι μάτην. φαέων γὰρ ἐρημάδες ἦσαν ὀπωπαί.
ἀλλ' οὐκ ἦν ἀλαῷ ἐναλίγκιος ἀνδρὶ νοῆσαι.
ἕζετο γὰρ κενεοῖς χάρις ὄμμασιν. ὡς δὲ δοκεύω,
τέχνη τοῦτο τέλεσσεν, ὅπως πάντεσσι φανείη
φέγγος ἀπὸ κραδίης σοφίης ἄσβεστον ἀείρων.
δοιαὶ μὲν ποτὶ βαιὸν ἐκοιλαίνοντο παρειαὶ,

γήραϊ ῥικνώσαντι κατάσχετοι. ἀλλ' ἐν ἐκείναις,
αὐτογενὴς χαρίτεσσι συνέστιος ἵζανεν αἰδώς.
πιερικὴ δὲ μέλισσα, πόθεν στόμα θεῖον ἀλᾶτο,
κηρίον ὠδίνουσα μελισταγές. ἀμφοτέρας δὲ
χεῖρας ἐπ' ἀλλήλῃσι τιθεὶς, ἐπορείδετο ῥάβδῳ,
οἷά περ ἐν ζωοῖσιν. ἐὴν δ' ἔκλινεν ἀκουὴν
δεξιτερ[illegible]νος. δόκεεν δὲ καὶ ἀπόλλωνος ἀκούειν,
ἢ καὶ πιερίδων τινὸς ἐγγύθεν. ἐν δ' ἄρα θυμῷ,
σκεπτομένῳ μὲν ἔικτο. νόος δέ οἱ ἔνθα καὶ ἔνθα
ἐξ ἀδύτων πεφόρητο πολυτρέπτοιο μενοινῆς,
πιερικῆς σειρῆνος ἀρήϊον ἔργον ὑφαίνων.

Εἰς Φερεκύδην.

Καὶ σύριος σελάγιζε σαοφροσύνῃ φερεκύδης
ἑσταμένος. σοφίης δὲ θεουδέα κέντρα νομεύων,
οὐρανὸν ἐσκοπίαζε, μετάρσιον ὄμμα τιταίνων.

Εἰς ἡράκλειτον.

Καὶ σοφὸς ἡράκλειτος ἔην θεοείκελος ἀνήρ.
ἔνθεον ἀρχαίης ἐφέσου κλέος. ὅς ποτε μῦθον
αὐδομένης ἔκλαιεν ἀναλκέος ἔργα γενέθλης.

Εἰς Κρατῖνον.

Καὶ τύπος ἁβρὸς ἔλαμπεν ἀριστόνοιο Κρατίνου,
ὅς ποτε δημοβόροισι πολυαστόχοισιν ἰώνων,
θυμοδακεῖς ἐθόωσεν ἀκοντιστῆρας ἰάμβους,
κώμου ἀεξήσας φιλοπαίγμονος ἔργον ἀοιδῆς.

Εἰς Μένανδρον.

Ἑστήκει δὲ Μένανδρος. ὃς εὐπύργοισιν ἀθήναις
ὁπλοτέρου κώμοιο σελασφόρος ἔπρεπεν ἀστήρ.
πολλάων γὰρ ἔρωτας ἀνέπλασε παρθενικάων,
καὶ χαρίτων θεράποντας ἐγείνατο παῖδας ἰάμβους,

ἁρπάγας οἳ στήσαντας ἀεδνώτοιο κορείης,
μίξας σεμνὸν ἔρωτι μελίφρονος ἄνθος ἀοιδῆς.

Εἰς ἀμφιτρύωνα.

Ἀμφιτρύων δ᾽ ἤστραπτεν, ἀπ᾽ ἁβρογάμῳ τρίχα δάφνῃ
στεψάμενος. πᾶσιν μὲν εὔσκοπος εἴδετο μάντις,
ἀλλ᾽ οὐ μάντις ἔην. ταφίης δ᾽ ἄρα σήματι νίκης,
στέμμα πολυστρέπτοισιν ἐπαρμένος εἶχεν ἐθείραις,
ἀλκμήνης μενέχαρμος ἀριστοτόκου παρακοίτης.

Εἰς Θουκυδίδην.

Θουκυδίδης δ᾽ ἐλέλιζεν ἑὸν νόον. ἦν δὲ νοῆσαι,
οἷά περ ἱστορίης δημηγόρον ἦθος ὑφαίνων.
δεξιτερὴν γὰρ ἀνέσχε μετάρσιον, ὡς πρὶν ἀείδων
σπάρτης πτερὸν ἄρηα, καὶ αὐτῶν κεκροπιδάων,
ἑλλάδος ἀμητῆρα πολυθρέπτοιο τιθήνης.

Εἰς ἡρόδοτον.

Οὐδ᾽ ἁλικαρνασσοῦ με παρέδραμε θέσπις ἀοιδὸς
ἡρόδοτος πολυΐδρις, ὃς ὠγυγίων κλέα φωτῶν
ὅσσα μὲν ἠπείρων δυὰς ἤγαγεν, ὅσσα περ αἰὼν
ἔδρακεν ἑρπύζων, ἐννέα τοὺς ἀνεθήκατο μούσαις,
μίξας εὐεπίῃσιν ἰωνίδος ἄνθεα φωνῆς.

Εἰς Πίνδαρον.

Θήβης δ᾽ ὠγυγίης ἑλικώνιος ἵστατο κύκνος,
Πίνδαρος ἱμερόφωνος, ὃν ἀργυρότοξος ἀπόλλων,
ἔτρεφε βοιωτοῖο παρὰ σκοπιὴν ἑλικῶνος,
καὶ μέλος ἁρμονίης ἐδιδάξατο. πιτναμένου γὰρ
ἑζόμεναι λιγυροῖσιν ἐπὶ στομάτεσσι μέλισσαι,
κηρὸν ἀνεπλάσσαντο σοφῆς ἐπιμάρτυρα μολπῆς.

Εἰς Ξενοφῶντα.

Ξεινοφόων δ᾽ ἤστραπτε φραδάμονος ἀστὸς ἀθήνης.
ὃς πρὶν ἀχαιμενίδαο μένος Κύρου ὀλιγαίνων,

εἶπεν

εἶπε φωνήεντι Πλατωνίδος ἤθεϊ Μούσης,
ἱστορίης φιλάεθλον ἀριστώδινος ὀπώρην,
συγκεράσας ῥαθάμιγγι φιλαγρύπνοιο μελίσσης.

Εἰς ἀλκμαίωνα.

Ἵστατο δ' Ἀλκμαίων κεκλημένος οὔνομα μάντις.
ἀλλ' οὐ μάντις ἔην ὁ βοώμενος, οὐδ' ἐπὶ χαίτης
δάφνης εἶχε κόρυμβον. ἐγὼ δ' Ἀλκμᾶνα δοκεύω,
ὃς πρὶν ἐϋφθόγγοιο λύρης ἠσκήσατο τέχνην,
Δώριον εὐκελάδοισι μέλος χορδῇσιν ὑφαίνων.

Εἰς Πομπήϊον.

Καὶ πρόμος εὐκνημάτων Πομπήϊος αὐσονιήων,
φαιδρὸν ἰσαυροφόνων κειμήλιον ἠνορεάων,
στειβομένας ὑπὸ ποσσὶν ἰσαυρίδας εἶχε μαχαίρας,
σημαίνων ὅτι δοῦλον ὑπὸ ζυγὸν αὐχένα ταύρου
εἴρυσεν, ἀρρήκτῳ πεπεδημένον ἅμματι νίκης.
κεῖνος ἀνὴρ, ὃς πᾶσιν ἔην φάος. ὃς βασιλῆος
ἠγαθέην ἐφύτευσεν ἀναστασίοιο γενέθλην.
τοῦτο δὲ πᾶσιν ἔδειξεν ἐμὸς σκηπτοῦχος ἀμύμων,
δηώσας σακέεσσιν ἰσαυρίδος ἔθνεα γαίης.

Εἰς ὅμηρον.

Ἵστατο δ' ἄλλος ὅμηρος, ὃν οὐ πρόμον εὐεπιάων
θέσκελον υἷα μέλητος ἐϋρρείοντος ὀΐω,
ἀλλ' ὃν θρηϊκίῃσι παρ' ἠόσι γείνατο μήτηρ
Μυρὼ, κυδαλίμη, βυζαντίη. ἣν ἔτι παιδνὴν
ἔτρεφον εὐεπίης ἡρωΐδος ἵδμονα μοῦσαι.
κεῖνος γὰρ τραγικῆς πινυτὴν ἠσκήσατο τέχνην,
κοσμήσας ἐπέεσσιν ἑὴν βυζαντίδα πάτρην.

Εἰς Βιργίλλιον.

Καὶ φίλος αὐσονίοισι λιγύθροος ἔπρεπε κύκνος,
πνείων εὐεπίης Βιργίλλιος. ὅν ποτε ῥώμης

ἀμμβειάς ἄλλον ὅμηρον ἀνέτρεφε πάτριος ἠχώ.

Εἰς τὰς ἐν τῷ ἱπποδρόμῳ Κωνσταντινουπόλεως στήλας τῶν ἀθλητῶν, ἐπιγράμματα. Εἰς Πορφύριον.

Πορφύριον Κάλχαντος, ἄναξ, καὶ δῆμος ἐγείρει,
πολλοῖς εὐκαμάτοις βριθόμενον στεφάνοις
πᾶσι μεθ' ἡνιόχοισι νεώτατον, ὅσσον ἄριστον,
ἀλλὰ τόσων νίκης κάρτος ἐνεγκάμενον.
ἔπρεπέ μιν χρυσέῳ ἐν ἀγάλματι, μηδ' ἐνὶ χαλκῷ
τοῦτον τοῖς ἄλλοις εἴκελον ἑστάμεναι.

Εἰς τὸν αὐτόν.

Τέτρακα μὲν τὸ πάροιθε διακριδὸν ἴαχε δῆμος,
τὸν Καλχαντιάδην Πορφύριον ποθέων.
αὐτὰρ ὁ δεξιτεροῖσιν ἀνακτορέοιο θοώκου
ἡνία, καὶ ζώνην ἔππότιν ἀνθέμενος,
κεῖθεν ἐπισπέρχων ἐλάᾳ. μεσσηγὺ δ' ἀέθλων
χάλκεος ἱδρύνθη, πρῶτον ἴσον ἔχων.
εἰ δ' ἐτέων γέρας ἦλθε θοώτερον, ἀλλ' ἐπὶ νίκαις
ὄψιμον, ἀλλὰ μόλις, ἀλλὰ μετὰ στέφεα.

Εἰς τὸν αὐτόν.

Ἀγχίσην Κυθέρεια, καὶ ἐνδυμίωνα σελήνη
φίλατο, καὶ νίκη νῦν τάχα Πορφύριον.
ὃς καὶ ἑοὺς ἵππους, καὶ ὁμόφρονος ἡνιοχῆος
ἐξ ἑτέρων ἑτέρους αἰὲν ἀμειβόμενος,
πολλάκι κρατὰ πύκασσε πανυμορίοισιν ἀέθλοις,
οὐ μογέων, ἑτάρους μοῦνον ἐφεσπομένους.

Εἰς τὸν αὐτόν.

Τοῦτό σοι ἠϊθέων νίκη γέρας. ὁ χρόνος ἄλλοις
ὀψὲ μόλις πολιοῖς ὤπασε, Πορφύριε.

καὶ γὰρ ἀριθμήσασα πολυστεφέας σέο μόχθους,
εὕρετο γηραλέων κρέσσονας ἡνιόχων.
τίς πλέον, ὅττι καὶ αὐτὸς ἐπευφήμησεν ἀύσας
σὸν κλέος ἀντιπάλων δῆμος ἀγασσάμενος;
ὀλβίη ἡ Βενέτων πανελεύθερός ἐστι γενέθλη,
ἥ σε μέγας βασιλεὺς δῶρον ἔδωκεν ἔχειν.

Εἰς τὸν αὐτόν.

Ἄλκιμοι ἀλκήεντα, σοφοὶ σοφόν, ἔρεα νίκης,
οἱ νίκης παῖδες Πορφύριον Βένετοι
ἄνθεσαν. ἀμφοτέραις γὰρ ἀμειβόμενος ἔπι πώλοις
κυδιάει νίκαις, οἷς πόρεν, οἷς ἔλαβεν.

Εἰς τὸν αὐτόν.

Ἄλλοις παυσαμένοισιν, ἀεθλεύοντι δὲ μούνῳ
Πορφυρίῳ βασιλεὺς τοῦτο δέδωκε γέρας.
πολλάκι νικήσας γάρ, ἑοὺς πόρεν ὠκέας ἵππους.
λάζετο δ' ἀντιπάλων, καὶ πάλιν ἐστέφετο.
ἔνθεν ἔην πρασίνοις ἔρις ἄσπετος, ἔνθεν ἀυτή.
ὃς Βενέτους τέρψεις κοίρανε, καὶ πρασίνους.

Εἰς τὸν αὐτόν.

Αἱ πάντων ψῆφοί με καὶ εἰσέτι διφρεύοντα
ἔστησαν νίκης ἐγγύθι Πορφύριον.
δῆμος μὲν γὰρ ἐμὸν γέρας ἤτεεν. οἱ δ' ἕτεροί με
δίζοντ' αὖθις ἔχειν νῖκος ἀπειπάμενοι.
μήτι δ' ἡνιόχων περιγίγνομαι. οἷσι καὶ ἵππους
κρείσσονας ἀντιπορών, δεῖξα χερειοτέρους.

Εἰς τὸν αὐτόν.

Αὐτὸν Πορφύριον μὲν ἀπηκριβώσατο χαλκῷ
ὁ πλάστης, ἔμπνουν οἷα τυπωσάμενος.
τίς δὲ χάριν, τίς ἄεθλα, τίς ἔνθεα δίνεα τέχνης
τεύξει, καὶ νίκην οὔποτ' ἀμειβομένην;



[library stamp]

Εἰς τὸν αὐτόν.

Εἰκόνι χαλκείῃ τὸν χάλκεον ἡνιοχῆα
ἄνθετο νικητὴς κοίρανος αὐσονίων,
ὡς σοφὸν, ὡς βενέτοις πεφιλημένον. ἀλλ' ἐπὶ νίκαις
Πορφυρίου. πολλὰς εἰκόνας ὀψόμεθα.

Εἰς τὸν αὐτόν.

Πορφύριος λίβυς οὗτος. ἀεθλοφόροις δ' ἐπὶ νίκαις
μοῦνος πανδαπὰς ἀμφέθετο στεφάνους.
νίκη γὰρ βασίλεια μεριζομένη κατὰ δῆμον,
χρώμασι καὶ πέπλοις συμμετέβαλλε τύχας.
ἥρμοσε δ' αὐτὸν ἔχειν βενέτοις πλέον. ἔνθεν ἀνέστη
χρύσεος ἀντ' ἀρετῆς, χάλκεος ἀντὶ πόνων.

Εἰς τὸν αὐτόν.

Τίς τελέθεις φίλε κοῦρε γενειάδος ἄκρα χαράσσων;
ὦ ξένε, Πορφύριος. τίς πατρίς; ἡ λιβύη.
τίς δέ σε νῦν τίμησεν; ἄναξ, χάριν ἱπποσυνάων.
τίς μάρτυς τελέθει; δῆμος ὁ τῶν βενέτων.
ἔπρεπέ σοι Λύσιππον ἔχειν ἐπιμάρτυρα νίκης
δαστατίης, πλάστην ἴδμονα Πορφύριε.

Εἰς τὸν αὐτόν.

Τοῦτον Πορφύριον λιβύη τέκε, θρέψε δὲ ῥώμη,
νίκη δ' ἐστεφάνωσεν ἀμοιβαδὸν, ἄλλοτ' ἀπ' ἄλλου
χρώματος, ἄκρα φέροντα καρήατι σύμβολα νίκης.
πολλάκι γὰρ δήμους ἠλλάξατο, πολλάκι πώλους.
καὶ νῦν μὲν, πρῶτος, ποτὲ δ' ὕστατος, ἄλλοτε μέσσος,
πάντας ὁμοῦ νίκησε καὶ ἀντιπάλους, καὶ ἑταίρους.

Εἰς τὸν αὐτόν.

Ἐγγύθι τῆς νίκης, καὶ ἀλεξάνδρου βασιλῆος,
ἕστης, ἀμφοτέρων κύδεα δρεψάμενος.

Εἰς τὸν αὐτόν.

Πάντα τύχης ὀφθαλμὸς ἐπέρχεται. ἀλλ' ὧδε μόνοις
Πορφυρίου καμάτοις ἕλκεται ὄμμα τύχης.

Εἰς τὸν αὐτόν.

Πορφύριον λήξαντα πόνων, λύσαντά τε μίτρην,
καὶ πάρος αὐτ' ἀρετῆς χάλκεον ἑσταότα,
τῇδε πάλιν χαλκοῦ τε καὶ ἀργύρου ἱδρύσαντο.
πρέσβυ, σὺ δὲ ξείνων ἀντιάσας γεράων,
δήμου μὲν Βοόωντος ἔλων παλίνορσον ἱμάσθλην.
ὡς δὲ δὶς ἡβήσας, μαίνεαι ἐν σταδίοις.

Εἰς τὸν αὐτόν.

Σὴν προτέρην μάστιγα, καὶ ἀσπίδα δῆμος ἀγασθείς,
ἤθελέ σε στῆσαι διπλόον ὥσπερ ἔδει,
ἡνίοχον κρατερὸν, καὶ ἀριστέα. διχθὰ δὲ χαλκὸς
οὐκ ἐχύθη ψυχὴν σεῖο τυπωσάμενος.

Εἰς τὸν αὐτόν.

Πορφύριον σταδίοισι, τίνος χάριν ἡνιοχῆα
δῆμος ὁ πρῶτα φέρων ἄνθετο τῶν πρασίνων;
αὐτὸς ἄναξ κήρυξε. τί γὰρ πλέον; ὅττι γεραίρει
εἵνεκεν εὐνοίης, εἵνεκεν ἱπποσύνης.

Εἰς τὸν αὐτόν.

Πορφυρίῳ μετ' ἄεθλα γέρας πόρεν ἄξιον ἔργων
κοίρανος ὁ πρασίνοις τοῦτο χαριζόμενος.
πολλάκι γὰρ δῆμος προφερέστατα ἔργα νομίζων,
ἤνεσε Καλλιόπαν, καὶ πάλι Πορφύριον.
διπλόον οὔνομα τοῦτο, τόπερ λάχε χάλκεος ἥρως
οὗτος, ὁ τεθρίπποις κῦδος ἑλὼν ἀρετῆς.

Εἰς τὸν αὐτόν.

Ὤφελεν ὅπλα φέρειν, οὐ φάρεα ταῦτα νομίζειν,
ὡς ἐλατὴρ τελέθων καὶ πολέμων πρόμαχος.



ALEXAN... ARAGONUM ... FERDINAND...

...ε γὰρ ἦλθεν ἄνακτος ὀλεσιτύραννος ἀκωκή,
καὶ σὺ συναιχμάζων ἥψαο ναυμαχίης.
καὶ διδύμης πολύμητι σοφῆς ἐδράξαο νίκης,
τῆς μὲν, πωλομάχου. τῆς δὲ, τυραννοφόνου.

Εἰς τὸν αὐτόν.

Οὐ μόνον ἐν σταδίοις σε κατέστεφε πότνια νίκη,
ἀλλὰ καὶ ἐν πολέμοις δεῖξεν ἀεθλοφόρον.
εὖτ᾽ ἂν ἄναξ πολέμιζεν ἔχων πρασίνους ὑποεργούς
ἄγρια μαινομένῳ ἐχθρῷ ἀνακτορέῳ,
καὶ πέσεν αἰνοτύραννος ἀποφθιμένης τότε ῥώμης,
ἦμαρ δ᾽ αὐσονίης ἦλθεν ἐλευθερίης.
τοὔνεκα τοῖς μὲν, ἔδωκεν ἄναξ γέρας, ὡς πάρος εἶχον.
σοὶ δὲ τύπον, τέχνη ἔξεσε Πορφύριε.

Εἰς τὸν αὐτόν.

Ὑμετέρων κήρυκες ἀμεμφέες εἰσὶν ἀγώνων,
οἱ καὶ ἀπ᾽ ἀντιβίων Πορφύριε στέφανοι.
πάντας γὰρ σταδίοισιν ἀμοιβαδὸν αἰὲν ἐλέγχεις
ἀντιτέχνους, τῆς σῆς παίγνιον ἱπποσύνης.
τοὔνεκα καὶ ξεῖνον πρεσβήϊον εὕραο μοῦνος,
εἰκόνα χαλκείην δήμῳ ἐν ἀμφοτέρῳ.

Εἰς τὸν αὐτόν.

Γλαύσης χαλκὸν ἔτευξεν ὁμοίϊον ἡνιοχῆϊ.
εἴθε δὲ καὶ τέχνης ὄγκον ἀπειργάσατο,
ὄγκον ὁμοῦ καὶ κάλλος. ὅπερ φύσις ὀψὲ τεκοῦσα,
ὤμοσεν, ὠδίνειν δεύτερον οὐ δύναμαι.
ὤμοσεν, εὐόρκοις ὑπὸ χείλεσι. Πορφυρίῳ γὰρ
πρώτῳ, καὶ μούνῳ, πᾶσαν ἔδωκε χάριν.

Εἰς τὸν αὐτόν.

Εἰ φθόνος ἠρεμέοι, κρίνειν δ᾽ ἐθέλοιεν ἀέθλους,
πάντες Πορφυρίου μάρτυρές εἰσι πόνων.

ALEXANDER PP VI

καὶ τάχα καὶ φήσαιεν ἀριθμήσαντες ἀγῶνας,
βαιὸν τοῦτο γέρας τοσσατίων καμάτων.
ὅσσα γὰρ ἡνιοχῆας ἀεὶ μεμερισμένα κοσμεῖ,
εἰς ἓν ἀολλίσσας, τηλίκος ἐξεφάνη.

Εἰς τὸν αὐτόν.

Αἰδομένη χαλκῷ σε πόλις τριπόθητε γεραίρει.
ἤθελε γὰρ χρυσῷ· ἀλλ' ἴδεν εὖ νέμεσιν.
εἰ δὲ τεὴν μέλπων ὁ παύεται ἠθάδα νίκην,
εὐγνώμων δῆμος Πορφύριε πρασίνων,
ἔμπνοά σοι ξύμπαντες ἀγάλματα. πᾶς δὲ πεδιοστὸς
καὶ χρυσὸς τούτοις εἰς ἔριν ἐρχόμενος.

Εἰς τὸν αὐτόν.

Οὔπω σοι μογέοντι τύχη πόρεν ἄξια νίκης.
νῖκαι γὰρ τῆς σῆς μείζονος εὐτυχίης.
ἀλλὰ μέρει πρώτῳ σταθερῷ, καὶ ἀρείονι μίμνοις,
τὴν φθονερὴν τήκων δυσμενέων κραδίην.
οἳ σέθεν εἰσορόωντες ἀεὶ νικῶσαν ἱμάσθλην,
μέμφονται σφετέρην αἰὲν ἀταρθαλίην.

Εἰς τὸν αὐτόν.

Ἄλλοις μὲν, γεράων πρόφασις χρόνος. οἱ δ' ἐπὶ νίκαις
κρινόμενοι, πολιῆς οὐ χατέουσι κόμης,
ἀλλ' ἀρετῆς, ὅθεν εὖχος ἀναπτεται. εἷς ἀπὸ τοίων
Πορφύριος δώρων δὶς λάχεν ἀγλαΐην,
οὐκ ἐτέων δεκάδας, νίκης δ' ἑκατοντάδας αὐχῶν
πολλὰς, καὶ πάσας συγγενέας χαρίτων.

Εἰς τὸν αὐτὸν Λεοντίου σχολαστικοῦ.

Ἀγχίσην Κυθέρεια, καὶ Ἐνδυμίωνα σελήνη
φίλατο. μυθεῦνται τοῖα παλαιγενέες.
νῦν δὲ νέος τὶς μῦθος ἀείσεται, ὡς τάχα νίκη,
ὄμματα καὶ δίφρους φίλατο Πορφυρίου.



ALEXAN... ARAGONUM ... FERDINANDUS ... SAN...

Εἰς Καλλιόπαν.

Πρεσβυτέρους κοῦρος μὲν ἐών, πρέσβυς δέ τε κούρους
νικᾷς, τεθρίππων κοίρανος ἀθλοφόρων.
ἓξ δ᾽ ἐτέων μ᾽ ἀνύσας δεκάδας, στήλην ἐπὶ νίκαις
εἷλες Καλλιόπα νεύματι κοιρανίης,
ὄφρα μένοι καὶ ἔπειτα τεὸν κλέος. αἴθε τοι εἴη
ὡς κλέος ἀθάνατον, καὶ δέμας ἀθάνατον.

Εἰς τὸν αὐτόν.

Σῆς τόδε διφρελάτειρα τὸ χάλκεον ἄνθετο νίκα
δείκηλον, μορφᾶς Καλλιόπα ζαθέας,
πρέσβυς ὅτι σφριγόωντας ἐν ἱπποδάμῳ πλέον ἀλκᾷ
νίκησας, γεραρὸς δ᾽ ὢν νέος, ἐν σοφίῃ.
ἔνθεν ἐλευθρόπαις Βενέτων σέο πήξατο δῆμος
δοιά. τὰ μέν, τέχνας ἆθλα. τὰ δέ, σθένεος.

Εἰς τὸν αὐτόν.

Σὸν γῆρας, νεότητα τὴν ὑπέρδραμε νίκαις.
καὶ πάντων κρατέεις πάντοτε Καλλιόπα.
ἔνθεν ἄναξ, καὶ δῆμος ἐλεύθερος αὖθις ἐγείρει
τοῦτο γέρας, σοφίης μνῆμα, καὶ ἠνορέης.

Εἰς τὸν αὐτόν.

Οὗτος ἐγερσιθέατρε τεὸς τύπος, ὅν τοι ἐγείρει
ἑσμὸς ἀριζήλων Καλλιόπα στεφάνων.
οὔτε γὰρ ἡνίοχός σε παρήπαφεν, οὔτε χαλινοῖς
δύσνομος ἱππείη σοῖς ἀπίθησε γενύς.
μοῦνος δὴ νίκης γέρας ἄρνυσαι. ἢ παρὰ πᾶσι
δόξαν ἔχεις ἀέθλων, ἆθλα λιπεῖν ἑτέροις.

Εἰς τὸν αὐτόν.

Καλλιόπα κλυτόμοχθε, τί σοι πλέον, ὅττι γεραίρει
εἰκόνι χαλκοτύπῳ σοὺς βασιλεὺς καμάτους;

δῆμος ὁ μυριόφωνος; ὅλη πόλις; εὖτε καὶ αὐτὴ
 δυσμενέων παλάμη σοῖς ἐπιὼν δῦτε πόνοις;

Εἰς Φαυστῖνον.

Μητέρες εὐάθλων γεράων, φρὴν εὖ, τὸ κράτος ἥβης,
 τὸ τάχος ἱπποσύνης, ὁ χρόνος εὐτυχίης.
ἱλήκοι Φαυστῖνε τεὸς νόος. ᾧ τάδε πάντα
 ἕσπεται, ᾧ νίκη σύντροφος ἀθανάτως.

Εἰς τὸν αὐτόν.

Γρίν σε νέον Φαυστῖνε, νόος πεφόβητο γερόντων.
 νῦν δέ σε πρεσβυγενῆ, κάρτος ἔφριξε νέων.
δεύτερα δ' εὕρετο πάντα τεὸς πόνος. ὅς σε γεραίρει
 πρέσβυν ἐν ἠϊθέοις, ἐν δὲ γέρουσι, νέον.

Εἰς Κωνσταντῖνον.

Ἐξότε Κωνσταντῖνος ἔδυ δόμον ἄϊδος εἴσω,
 ᾤχετο σὺν κείνῳ πᾶν κλέος ἡνιόχων.

Εἰς τὸν αὐτόν.

Χάλκεος οὐκ ἔστης βιόων ἔτι Κωνσταντῖνε.
 αὐτὶ γὰρ εὐκλείης, ἤρκεσε βασκανίη.
ὡς δ' ἔθανες, τότε δή σε πόλις ξύμπασα γεραίρει
 οἷς δύναται. τί δὲ σῆς ἄξιον ἱπποσύνης;

Εἰς τὸν αὐτόν.

Ἐξότε Κωνσταντῖνος ἔδυ δόμον ἄϊδος εἴσω,
 πλῆτο κατηφείης ἱπποσύνης στάδιον.
τερπωλὴ δ' ἀπέλειπε θεήμονας. οὐδ' ἐν ἀγυιαῖς
 κείνας τὰς φιλίας ἔστιν ἰδεῖν ἔριδας.

Εἰς τὸν αὐτόν.

Χρύσεον ἀντ' ἀρετῆς γέρας ἔπρεπε Κωνσταντίνῳ,
 οὐ λίθα τῆς τέχνης τοῖον ἐνεγκαμένης.
κουρίζων, νίκησεν ἀεθλοφόρους ἐλατῆρας.
 γηραλέος δὲ, νέους δεῖξεν ἀφαυροτέρους.

ἀντία καὶ μετὰ πότμον ἀειμνήστῳ τινὶ θεσμῷ
δῆμος, καὶ βασιλεὺς, ἵδρυσαν ἁζόμενοι.

Εἰς τὸν αὐτόν.

Εἰκόνα Κωνσταντῖνε τεὴν ἀνέθεντο πολῖται,
μυρόμενοι ψυχῆς τέρψιν ἀποιχομένης.
σοὶ κλέος ὁπότε δῆμος ἐπεσφρήγιζε θανόντι,
μνήσατο σῶν καμάτων καὶ μετὰ πότμον ἄναξ.
εἵνεκεν ἱπποσύνης φιλοκέρτομος ὤλετο τέχνη,
ἐν σοὶ παυσαμένη πᾶσα, καὶ ἀρξαμένη.

Εἰς τὸν αὐτόν.

Εἰσέτι μὲν ζώοντι πόλις ποτὲ Κωνσταντίνῳ,
εἰκόνα χαλκείην βαιὸν ἔκρινε γέρας.
ἤδεε γὰρ πᾶς δῆμος ὅσους ἐπὶ κύδεϊ νίκης
αἰὲν ἀεθλεύων ἀμφέθετο στεφάνους.
ὡς δ' ἔθανεν, ποθέουσα, φίλον τύπον ἄνθετο τόνδε,
ὄφρα καὶ ἐσσομένοις, μνῆστιν ἔχει καμάτων.

Εἰς τὸν αὐτόν.

Οἱ Βένετοι πρασίνοισιν ἐναντίοι αἰὲν ἐόντες,
εἰς ἓν ὁμοφροσύνης ἐξεβόησαν ὅρον,
ὥστε σε Κωνσταντῖνε λαβεῖν ἐπιτύμβιον εὖχος,
πᾶσιν ἀειδόμενον, πᾶσιν ἀρεσκόμενον.

Εἰς τὸν αὐτόν.

Ἀντολίης, δύσιός τε, μεσημβρίης τε, καὶ ἄρκτου,
σὸς δρόμος ὑψιφαὴς ἀμφιβέβηκεν ὅρους,
ἄφθιτε Κωνσταντῖνε. θανεῖν δέ σε μήτις ἐνίσπῃ.
τῶν γὰρ ἀνικήτων ἅπτεται οὐδ' Ἀΐδης.

Εἰς τὸν αὐτόν.

Ἐγγύθι τῆς σφετέρης γενεῆς λάχεν εἰκόνα τήνδε.
ἔπρεπε γὰρ τρισσοῖς εἰν ἑνὶ χώρῳ ἔχειν,

ALEXANDER PP VII

οἳ καὶ ἐνὶ σταδίοις ἀρετῆς κλέος εἴκελον εὗρον,
κηρέθμων στεφάνων ἐσμὸν ἑλόντες ἴσον.

Εἰς τὸν αὐτόν.

Τὸν φαυστινιάδην πόλις αὔθετο Κωνσταντῖνον,
γείτονα μὲν γενεῆς, κρέσσονα δ' ἡνιόχων.
δὴν γὰρ ἀεθλεύσας, οὐκ ἤμβροτεν ἀλλ' ἐπὶ νίκῃ
παύσατο, σὺν νίκῃ καὶ πάρος ἀρξάμενος.
ὃν καὶ κοῦρον ἐόντα, παλαίτεροι ἡνιοχῆες
στεψάμενοι σταδίοις, εἷσαν ἀγωνοθέτην.

Εἰς τὸν αὐτόν.

Σοὶ τόδε κωνσταντῖνε τεὴ τροφὸς ὤπασε νίκη,
παιδόθεν ἑσπομένη πᾶσαν ἐφ' ἡλικίην.
πρίν τε γὰρ ἐν σταδίοις δεκάδας τελέσας ἐνιαυτῶν,
οὐδ' ἴσον, οὐδ' ὀλίγον εὕρεο λειπόμενον.
ἀλλ' ἔτι κουρίζων τε, καὶ ἄχνοος, ἄνδρας ἐνίκας
ἥλικας, ἡβῶντας. γηραλέος δὲ, νέους.

Εἰς τὸν αὐτόν.

Ἤθελε κωνσταντῖνον ἀεὶ πόλις ἡνιοχεύειν,
ἤθελεν, ἀλλὰ πόθῳ οὐκ ἐπένευσε φύσις.
ἔνθεν ἐὼν τόδ' ἄγαλμα παραίφασιν εὗρεν ἐρώτων,
ὄφρα ἑ μὴ λήθη, καὶ χρόνος, ἀμφιβάλῃ,
ἀλλὰ μένοι ποθέουσιν ἔρως, ζῆλος δ' ἐλατῆρσι,
κόσμος δὲ σταδίοις, ἐσσομένοις δὲ, φάτις.
καί τις ἰδὼν μετόπισθε χερείονας ἡνιοχῆας,
ὀλβίσσῃ προτέρην, ἥν μιν ἴδεν γενεήν.

Εἰς τὸν αὐτόν.

Πρίν τε, καὶ εἴκοσι μοῦνος ἀέθλια Κωνσταντῖνος
εἰς μίαν ἠριγένειαν ἑλὼν, ἤμειψε μὲν ἵππους
ἀντιπάλοις. κείνους δὲ λαβὼν, οὓς πρόσθεν ἐνίκα,

τοῖς αὐτοῖς πάλιν εἷλε μίαν τε, καὶ εἴκοσι νίκας.
πολλάκι δ' ἀμφοτέρων μερέων ἔρις ἔμπεσε δήμοις
τίς μιν ἔχοι. κείνῳ δὲ δόσαν κρίσιν ἐκ δύο πέπλων.

Εἰς τὸν αὐτόν.

Ἔγρεο Κωνσταντῖνε. τί χάλκεον ὕπνον ἰαύεις;
σεῖο δίφρους ποθέει δῆμος ἐνὶ σταδίοις.
σῆς τε διδασκαλίης ἐπιδεύεες ἡνιοχῆες,
εἵαται ὀρφανικοῖς παισὶν ὁμοιότατοι.

Εἰς Οὐράνιον.

Σοὶ καὶ ἀεθλεύοντι μόνῳ, λήξαντί τ' ἀέθλων,
τοῦτο γέρας νίκη δὶς πόρεν Οὐράνιε,
δήμου ἀπ' ἀμφοτέροιο. σὺ γὰρ πάρος ἐν βενέτοις μὲν,
εἴκοσι κυδίστων στέμμα φέρεις ἐτέων.
παύσαο δ' ἱπποσύνης. πρασίνων δέ σε δίζετο δῆμος.
τοῖς δὲ, σὺ μὲν, νίκην οἱ δ' ἄρα, σοὶ τὸ γέρας.

Εἰς τὸν αὐτόν.

Ἀμφοτέροις εἷς μοῦνος ἀριστεύσας παρὰ δήμοις,
κῦδος ἀπ' ἀμφοτέρων ἔλλαχεν Οὐράνιος,
εἰσέτι διφρεύων. τὸ δέ οἱ γέρας ἤλυθε πρῶτον
ἐκ πρασίνων, οἷς δὴ γείτονα χῶρον ἔχει.
αὖθι καὶ σταδίοιο πεπαυμένον, ἤγαγον αὖθις
ἐς δίφρους, νίκης μνωόμενοι προτέρης.

Εἰς τὸν αὐτόν.

Παυσάμενον σταδίων βασιλεὺς ἐπ' ἀγακλέϊ νίκῃ,
αὖθις ὑπὲρ δίφρων βῆσεν ἀεθλοφόρων
Οὐράνιον δήμοισι φέρων χάριν. ἣ ποθέει γὰρ
ἡ πόλις Οὐρανίου νόσφιν ἀεθλοσύνας.
τοὔνεκα διφρεύοντα τὸ δεύτερον ἐσχατίης τῆς
νίκης, καὶ προτέρης, στῆσεν ἀγασσαμένη.

Εἰς τὸν αὐτόν.

Σὺν κυδαλίμοις φαυστινιάδεσσι, καὶ αὐτῷ
Φαυστίνῳ, βασιλεὺς στῆσε παρ᾽ ἀμφοτέροις
οὐράνιον. τῷ, δῆμος ἀμετρήτους διὰ νίκας,
ἣ γαθέου Πέλοπος θῆκεν ἐπωνυμίην,
ὡς κεῖ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον,
τοῦ δὲ ὡς εἰσορόων φθέγξεται ἀτρεκέως.

Εἰς τὸν αὐτόν.

Οὐράνιος νίκαισιν ἔχει πέλας, ὁπλοτέρην τε
ῥώμην. τῆς μὲν, ἐών. τῇ δ᾽ αὖ, κῦδος ἑλών.
νικᾷ δ᾽ ἀμφοτέρωθεν, ἐπεὶ ποδὶ δέξιος ἦεν
τῇ καὶ τῇ προθέειν, ἠὲ παρεξελάαν.
τοὔνεκα καὶ χρυσῷ μιν ἀνεγράψαντο μετάλλῳ,
κυδίστῳ κτεάνων κύδιμον ἡνίοχον.

Εἰς ἰουλιανόν.

Τοῦτον ἰουλιανὸν Τυρίης βλάστημα πόληος
ἡνίοχον, πολλοὺς δεξάμενον στεφάνους,
αὐτὸς ἄναξ, καὶ δῆμος ἅπας, καὶ πότνια βουλὴ,
ἔστησαν κοινὴν ψῆφον ἐνεγκάμενοι.
γήραϊ γὰρ σταδίων ἀπεπαύσατο. πᾶσι δὲ φίλτρον
κάλλιπεν, οἷσιν ὄρως ἤνθεεν ἀντιπάλων.

Εἰς ἀναστάσιον Θωμᾶ πατρικίου,
καὶ λογοθέτου τοῦ δρόμου.

Τὸν θρασὺν ἡνιοχῆα, λελασμένον ἅρματος ἄθλων,
ἐνθάδ᾽ ἀναστάσιον κείμενον, οὖδας ἔχει.
ὃς τόσσους ἀνεδήσατο πρὶν στεφάνους, ὅσα ἄλλοι
ἔδρακον ἡνιόχων ἤματα ἱππασίης.

Εἰς Πορφύριον, μέρους βενέτων.

Ἐν γῇ κρατήσας παντὸς ἁρματηλάτου,
καλῶς ἐπήρθη καὶ πρὸς αἰθέρα τρέχειν,

ALEXANDER REX VALENTINUS FERDINANDUS DEI GRATIA ARAGONUM

Πορφύριος τὸ θαῦμα δήμου βενέτων.
νικῶν γὰρ οὗτος πάντα γῆς διφρηλάτην,
ἄνεισιν, ὥσ' ἂν καὶ σὺν ἡλίῳ δράμοι.

Εἰς τὸν αὐτόν.

Ιουλον αὐθαδῶν πρῶτος οὗτος, ἡνίας
Πορφύριος Καλχάντος εἷλκε Βενέτου.
ἐκπλήττομαι δὲ πῶς γραφῇ χεὶρ ἔμπνοος
τούτου τὶς ἵππους. καὶ γὰρ ἂν πλήξῃ πάλιν,
οἶμαι δραμεῖται νῖκος εὑρεῖν καὶ πάλιν.

Εἰς Φαυστῖνον, μέρους πρασίνων.

Σκόπει τὸ δρᾶμα μηχανουργοῦ τοῦ δόμου.
εἰ μὴ γὰρ ἐστέγαστο καρτερᾷ σκέπῃ,
πρὸς οὐρανοὺς ἂν ὦρτο Φαυστῖνος τρέχων,
ὡς ζῶν σὺν ἵπποις τὸ κλέος πρὶν πρασίνων,
ἆρον στέγος γάρ, καὶ φθάνει πρὸς αἰθέρα.

Εἰς τὸν αὐτόν.

Φαυστῖνος οὗτος ὁ πρὶν ἁρματηλάτης,
ὃν δῆμος εὑρὼν τοῦ μέρους τῶν πρασίνων,
τὴν ἧτταν ἠγνόησε παντελῶς δρόμου.
γέρων μὲν ἦν γάρ, ὡς βλέπεις. τὸ δὲ σθένος,
ἦν τις νεάζων, οὐ δόλως ἡττώμενος.

Εἰς Κωνσταντῖνον ἡνίοχον λευκῶν.

Λευκοῦ μεθέλκων ἡνίας Κωνσταντῖνος,
ἂν μὴ καθεῖρκτο στερρότητι τοῦ δόμου,
σὺν τρεῖς ἐνίκα πρῶτος, αἰθέρα φθάνων.
πνοῆς ἄνευθεν εἶδες αἰθροδρόμον.
τέχνη με πείθει τοῦτον ἔμπνοον βλέπειν.

Εἰς τὸν αὐτόν.

Κωνσταντῖνος ἦν; ἀλλὰ τοῖς πάλαι χρόνοις
λευκῆς χρόας τέθριππον ἕλκων εὐστρόφως.

ἀφ' οὗ δὲ τοῦτον ἥρπασε δράκων, ἔδυ
τὸ φῶς ἁμίλλης ἱππικῶν δρομημάτων,
καὶ πᾶσα τέρψις τοῦ θεάτρου, καὶ τέχνη.

Εἰς ἰουλιανὸν ἡνίοχον
ῥουσίων.

Κεὶρ εἰ δὲ γείρει τοὺς πάλαι τεθνηκότας.
ἰουλιανὸς καὶ γὰρ ὡς πάλαι ἀθλεύει,
ἕλκων, μεθέλκων ῥουσίου τὰς ἡνίας.
καὶ νῦν γραφεὶς, ἕστηκεν ὑψοῦ σὺν δίφρῳ.
τὸ νεῦμα χεὶρ μένει δὲ, τὴν νύσσαν δότε.

Εἰς τὸν αὐτόν.

ἰουλιανὸς οὗτος ἅρμα ῥουσίου
ἔχων, ἐνίκα τοὺς ἐναντίους δρόμῳ.
ἀλλ' εἰ γραφεὺς παρεῖχε καὶ πνοῆς χάριν,
ἕτοιμός ἐστι καὶ πάλιν διφρηλάτης
καὶ πρόσθεν ἐλθεῖν, καὶ λαβεῖν καὶ τὸ στέφος.

ΤΕΛΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ
ΤΜΗΜΑΤΟΣ.

DEI GRA REX ARAGONVM · ALEXANDER ... FERDINANDVS

# ΑΡΧΗ ΤΟΥ ΕΚΤΟΥ ΤΜΗΜΑΤΟΣ.

Ἐν τῷδε τῷ ἕκτῳ τμήματι ἀναθηματικὰ ἐπιγράμματα ἔχοντι, τάδε τὰ κεφάλαια περιέχεται.


Εἰς ἄγαλμα, τῷ ἡλίῳ παρὰ τῶν ῥοδίων. 1
Ἀναθήματα τῶν ἀθλητῶν 2
Παρὰ ἁλιέων. 3
Ἀντιστρέφοντα. 4
Παρὰ βακχευομένων. 5
Γερόντων. 6
Γεωργῶν. 7
Γυναικῶν. 8
Ἐρωτικά. 9
Εὐκτικά. 10
Εἰς θήρας. 11
Ἰσόψηφα. 12
Καρκινωτά. 13
Παρὰ κηπωρῶν. 14
Κυνηγῶν. 15
Κιθαρῳδῶν. 16
Μαγείρων. 17
Μεθύσων. 18
Εἰς ναούς. 19
Παρὰ ναυτῶν. 20
Ναυηγῶν. 21
Νέων. 22
Παιζόντων. 23
Ποιμένων. 24
Στρατιωτῶν. 25
Ταχυγράφων. 26
Χειρωνακτῶν. 27

## ΕΙΣ ΑΓΑΛΜΑ ΤΩι ΗΛΙΩι ΠΑΡΑ ΤΩΝ ΡΟΔΙΩΝ, Ι

Υτῷ σοὶ πρὸς ὄλυμπον ἐμακύ-
ναντο κολοσσὸν
τόνδε, ῥόδου ναέται δωρί-
δος ἀέλιε,
χάλκεον, ἁνίκα κῦμα κατευ-
νάσαντες ἐνυοῦς,
ἔστεψαν πάτραν δυσμενέων σκύλοις.
οὐ γὰρ ὑπὲρ πελάγευς μόνον ἄνθεσαν, ἀλλὰ καὶ ἐν γᾷ
ἁβρὸν ἀδουλώτου φέγγος ἐλευθερίης.
τοῖς γὰρ ἀφ' ἡρακλῆος ἀεξηθεῖσι γενέθλης,
πάτριος ἐν πόντῳ, κἠν χθονὶ κοιρανίη.

Μακεδονίου ὑπάτου.

Τὸν κύνα, τὸν πάσης κρατερῆς ἐπιΐδμονα θήρης,
ἔξεσε μὲν Λεύκων, ἄνθετο δ' ἀλκιμένης.
ἀλκιμένης δ' οὐχ εὗρε τί μέμψεται. ὡς δ' ἴδ' ὁμοίην
εἰκόνα, παντοίῳ σχήματι φαινομένην,
κλοιὸν ἔχων, πέλας ἦλθε, λέγων Λεύκωνα κελεύειν
τῷ κυνὶ καὶ βαίνειν. πεῖθε γὰρ ὡς ὑλάων.

Μυροῦς.

Νύμφαι ἁμαδρυάδες, ποταμοῦ κόραι, αἳ τάδε βένθη
ἀμβρόσιαι ῥοδέοις στείβετε ποσσὶν ἀεί,
χαίρετε καὶ σώζοιτε Κλεώνυμον. ὃς τάδε καλὰ
εἴσαθ' ὑπαὶ πιτύων ὔμμι θεαὶ ξόανα.

Ἀντιπάτρου.

Η τὰ π[illegible]ιλα φέρουσα, Μνησικράτις. ἡ δὲ τὸ φάρος,
Φημονόη. Πρηξὼ δ' ἡ τὸ κύπελλον ἔχει.



ALEXANDRI ... ARAGONUM ... DEI GRATIA ... FERDINANDI ... SANCTI

τῆς παφίης δ᾽ ὁ νεὼς, καὶ τὸ βρέτας. αὔθεμα δ᾽ αὐτῶν,
ξυνόν. στρυμονίου δ᾽ ἔργον ἀριστομάχου.
πᾶσαι δ᾽ ἀσταὶ ἔσαν, καὶ ἑταιρίδες. ἀλλὰ τυχοῦσαι
Κύπριδος εὐκρήτου, νῦν ἑνός εἰσι μία.

## ΑΠΟ ΑΘΛΗΤΩΝ. 2

Φιλοδήμου.

Κέντρα διωξικέλευθα, φιλορρώθωνά τε κημόν,
τόν τε περὶ στέρνοις κόσμον ὀδοντοφόρον,
καὶ στλεγγίδ᾽ ἀπὸ βώμων τῶν περὶ θύροισι πόσειδον,
αὔθετό σοι νίκης Χάρμος ἀπ᾽ ἰσθμιάδος,
καὶ ψήκτρην ἵππων ἐρυσίτριχα, τήν τ᾽ ἀπὸ νώτων
μάστιγα, ῥοίζου μητέρα θαρσαλέην.
ἀλλὰ σὺ κυανοχαῖτα, δέχευ τάδε. τὸν δὲ Λυκίνου
υἷα, καὶ εἰς μεγάλην στέψον ὀλυμπιάδα.

Φιλίππου.

Τίς τὸν ἄχνουν ἑρμῆν σε παρ᾽ ὑσπλήγγεσσιν ἔθηκεν;
ἑρμογένης. τίνος ὤν; Δαϊμονέως. ποδαπός;
ἀντιοχεύς. τιμῶν σε χάριν τίνος; ὡς συναρωγόν
ἐν σταδίοις. ποίοις; ἰσθμόθι, κἠν νεμέᾳ.
ἔτρεχε γάρ; καὶ πρῶτος. ἔχων τίνας; ἐννέα παῖδας.
ἔπτη δ᾽ ὥς ἂν ἔχων τοὺς πόδας ἡμετέρους.

## ΑΠΟ ΑΛΙΕΩΝ. Λεωνίδου. 3

Εὐκαμπὲς ἄγκιστρον, καὶ δούρατα δουλιχόεντα,
χώρμιην, καὶ τὰς ἰχθυδόκους σπυρίδας,
... τοῦτον νηκτοῖσιν ἐπ᾽ ἰχθύσι τεχνηθέντα
κύρτον, ἁλιπλάγκτων εὕρεμα δικτυβόλων,
τρηχύν τε τριόδοντα ποσειδαώνιον ἔγχος,
καὶ τοὺς ἐξ ἀκάτων δισσοὺς ἐρετμοὺς,
ALEXANDER ... ARAGO... FERDINANDI

ὁ γριπεὺς Διόφαντος ἀνάκτορι θήκατο τέχνης,
ὡς θέμις, ἀρχαίης λείψανα τεχνοσύνης.

ΦΙΛΙΠΠΟΥ.

Δόνακας ἀκροδέτους, καὶ τὴν ἁλινηχέα κώπην,
γυρῶν τ' ἀγκίστρων λαιμοδακεῖς ἀκίδας,
καὶ λίνον ἀκρομόλιβδον, ἀπαγγελτῆρά τε κύρτου
φελλὸν, καὶ δισσὰς σχοινοτενεῖς σπυρίδας,
καὶ τὸν ἐγερσιφαῆ πυρὸς ἔγγονον ἔμφλογα πέτρον,
ἄγκυράν τε νεῶν πλαζομένων παγίδα,
πείσων ὁ γριπεὺς ἑρμῇ πόρεν, ἔντρομος ἤδη
δεξιτερὴν πολλοῖς αἰθόμενος καμάτοις.

ΑΔΗΛΟΝ.

Ἑρμείη, σήραγγος ἁλίκτυπον ὃς τόδε ναίεις
εὐστιβὲς αἰθυίαις ἰχθυβόλοισι λέπας,
δέξο σαγηναίοιο λίνου τετριμμένον ἅλμῃ,
λείψανον αὐχμηρῶν ξανθὸν ὑπ' ἠϊόνων,
γρίπους τε, πλωτῶν τε πάγην ποδιδινέα κύρτον,
καὶ φελλὸν κρυφίων σῆμα λαβόντα βόλων,
καὶ βαθὺν ἱππείης πεπεδημένον ἅμματι χαίτης,
οὐκ ἄτερ ἀγκίστρων λιμνοφυῆ δόνακα.

ΑΔΗΛΟΝ.

Δαίμονι τῇ συρίῃ τὸ μάτην τριβὲν ἡλιόδωρος
δίκτυον ἐν νηοῦ τοῦδ' ἔθετο προθύροις.
ἁγνὸν ἀπ' ἰχθυβόλου θήρης τόδε. πολλὰ δ' ἐν αὐτῷ
φυκί' ἀπ' εὐόρμων εἵλκυσεν αἰγιαλῶν.

Ἰουλιανοῦ ἀπὸ ὑπάρχων αἰγυπτίου.

Κεκμηκὼς χρονίης πεπονηκότα δίκτυα θήρης,
ἄνθετο ταῖς νύμφαις ταῦτα γέρων Κινύρης.
οὐ γὰρ ἔτι τρομερῇ παλάμῃ περιηγέα κόλπον
εἶχεν ἀκοντίζειν οἰγομένοιο λίνου.

εἰδ' ὀλίγου δώρου τελέθει δόσις, οὐ τόδε νύμφαι
μέμψις, ἐπεὶ Κινύρου ταῦθ' ὅλος ἔσκε βίος.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ταῖς νύμφαις Κινύρης τόδε δίκτυον. οὐ γὰρ ἀείρει
γῆρας ἀκοντισθὲν μόχθον ἐκηβολίης.
ἰχθύσιν, ἀλλὰ νέμοισθε γεγηθότες, ὅττι θαλάσσῃ
δῶκεν ἔχειν Κινύρου γῆρας ἐλευθερίην.

Θεαιτήτου σχολαστικοῦ.

Ἰχθυβόλον πολυωπὸν ἀπ' εὐθήρου λίνον ἄγρης,
τήν τ' ἀγκιστροδέτων συζυγίην δονάκων,
καὶ πιστὸν βυθίων παγίδων σημάντορα φελλὸν,
καὶ λίθον ἀντιτύπῳ κρούματι πυρσοτόκον,
ἄγκυράν τ' ἐπὶ τοῖς, ἐχενηΐδα, δεσμὸν ἀέλλης,
στρεπτῶν τ' ἀγκίστρων ἰχθυπαγῆ στόματα,
δαίμοσιν ἀγροδότησι θαλασσοπόροις πόρε Βαίτων,
γήραϊ νουσοφόρῳ βριθομένης παλάμης.

Ἰουλιανοῦ εἰς τὸ αὐτό.

Καμπτομένους δόνακας, κώπην θ' ἅμα νηὸς ἱμάσθλην,
γυρῶν τ' ἀγκίστρων καμπυλόεσσαν ἴτυν,
εὐκόλπου τε λίνοιο περίπλεα κύκλα μολίβδῳ,
καὶ φελλοὺς κύρτων μάρτυρας εἰναλίων,
ζεῦγός τ' εὐπλεκέων σπυρίδων, καὶ μητέρα πυρσῶν
τήνδε λίθον, νηῶν θ' ἕδρανον ἀσταθέων
ἄγκυραν, γριπεὺς ἐριούνιε σοὶ τάδε Βαίτων
δῶρα φέρει, τρομεροῦ γήραος ἀντιάσας.

Μακεδονίου ὑπάτου.

[illegible]κτυον ἀκρομόλιβδον ἀμύντιχος ἀμφὶ τριαίνῃ
δῆσε γέρων, ἁλίων παυσάμενος καμάτων.
εἶπε δὲ ποσειδάωνα, καὶ ἁλμυρὸν οἶδμα θαλάσσης
εἶπεν, ἀποσπένδων δάκρυον ἐκ βλεφάρων,

οἶσθα μάκαρ, κέκμηκα κακῷ δ' ὑπὸ γήραος ἤδη,
ἄλλυτος ἡ βάσκει γυιοτακὴς πενίη.
θρέψον ἔτ' ἀσπαῖρον τὸ γερόντιον. ἀλλ' ἀπὸ γαίης
ὡς ἐθέλεις, μεδέων καὶ χθονὶ, καὶ πελάγει.

Μαικίου.

Αἰγιαλῖτα Πρίηπε, σαγηνευτῆρες ἔθηκαν
δῶρα παρακταίης σοὶ τάδ' ἀπ' ὠφελίης
θύννων, εὐκλώστοιο λίνου βυσσώμασι ῥόμβον
φράξαντες γλαυκαῖς ἐν παρόδοις πελάγευς,
φηγίνεον κρητῆρα, καὶ αὐτόεργον ἐρείκης
βάθρον, ἰδ' ὑαλέην οἰνοδόκον κύλικα,
ὡς ἂν ὑπ' ὀρχηθμῶν λελυγισμένον ἔγκοπον ἴχνος
ἀμπαύσῃς, ξηρὴν δίψαν ἐλαυνόμενος.

Φιλίππου.

Δίκτυά σοι μολίβῳ στεφανούμενα δυσιθάλασσα,
καὶ κώπην, ἅλμης τὴν μεθύουσαν ἔτι,
κητοφόνον τε τρίαιναν ἐν ὕδασι καρτερὸν ἔγχος,
καὶ τὸν ἀεὶ φελλοῖς κύρτον ἐλεγχόμενον,
ἄγκυράν τε νεῶν στιβαρὴν χέρα, καὶ φιλοναύτην
σπέρμα πυρὸς σῴζειν πέτρον ἐπιστάμενον,
ἀρχιθάλασσε Πόσειδον, ἀμύντιχος ὕστατα δῶρα
θῆκατ', ἐπεὶ μογερῆς παύσαθ' ἁλιπανίης.

Μαικίου κοΐντου.

Ἀκταίης νησῖδος ἀλεξάντοισι Πρίηπε
χοιράσι, καὶ τρηχεῖ τερπόμενος σκοπέλῳ,
σοὶ Πάρις ὀστρακόδερμον ὑπ' εὐθήροισι δαμέντα
ὁ γριπεὺς καλάμοις κάραβον ἐκρέμασεν.
σπέρμα μὲν ἔμπυρον αὐτὸς ὑφ' ἡμίβρωτον ὀδόντα
θεὶς μάκαρ, αὐτὸ δέ σοι τοῦτο πόρε σκύβαλον.

ζεῦ, σὺ δίδου μὴ πολλά. ἐν δ' εὐάγρου δὲ λίνοιο
δαῖμον, ὑλακτούσης νηδύος ἡσυχίην.

Ἀπολλωνίδου.

Τρίγλαν ἀπ' ἀνθρακιῆς, καὶ φυκίδα σοὶ λιμενῖτιν
ἄρτεμι δωροῦμαι Θῆρις ὁ δικτυβόλος,
καὶ ζωρὸν κεράσας ἰσοχειλέα, καὶ τρύφος ἄρτου
αὖον ἀποθραύσας, τὴν πενιχρὴν θυσίην.
ἀνθ' ὧν μοι πλήθοντα δίδου θηράμασιν αἰεὶ
δίκτυα. σοὶ δ' ἔδοται πάντα μάκαιρα λίνα.

Στατυλλίου φλάκκου.

Ῥαιβοσκελῆ, δίχηλον, ἀμμοδυότην,
ὀπισθοβάμον', ἀτράχηλον, ὀκτάπουν,
νηκταῖ' ἐρυμνόνωτον, ὀστρακόχροα,
τῷ Πανὶ τὸν πάγουρον ὁρμηβόλος
ἄγρας ἀπαρχὰν ἀντίθησι Κώπασος.

## ΑΝΤΙΣΤΡΕΦΟΝΤΑ. 4

Νικοδήμου ἡρακλεώτου πάντα.

Πηνελόπη, τόδε σοι φᾶρος, καὶ χλαῖναν ὀδυσσεὺς
ἤνεγκεν, δολιχὴν ἐξανύσας ἀτραπόν.
Τὸν τραγόπουν ἐμὲ Πᾶνα φίλον βρομίοιο, καὶ υἱὸν
ἀρκάδος, ἀντ' ἀλκᾶς ἔγραφεν ὠφελίων.
Ἀερόπης δάκρυον ἴσης καὶ λείψανα δείπνων
δύσνομα, καὶ ποινὴν ἔγραφεν ὠφελίων.
Πραξιτέλης ἔπλασε Δανάην, καὶ φάρεα νυμφῶν
λύγδινα, καὶ πέτρης Πᾶνά με πεντελικῆς.
Κύπριδι κουροτρόφῳ δάμαλιν ῥέξαντες ἔφηβοι,
χαίροντες, νύμφας ἐκ θαλάμων ἄγομεν.
Αἰθομένας ὑπὸ δᾳσὶν ἐν εὐρυχόρῳ πατρὸς οἴκῳ,
παρθένον ἐκ χειρῶν ἠγαγόμην Κύπριδος.

Ἀσκανίη μέγα χαῖρε καλή, καὶ χρύσεα Βάκχου
ὄργια, καὶ μύσται πρόκειται Εὐΐεω.

ὅπως ἀντιστρέφονται ταῦτα,

παράδειγμα.

Εὐΐεω πρόκειται μύσται καὶ ὄργια Βάκχου
χρύσεα, καὶ καλὴ χαῖρε μέγ᾽ Ἀσκανίη.

## ΑΠΟ ΒΑΚΧΕΥΟΜΕΝΩΝ. 5

Ἀλέξιδος.

Μῆτερ ἐμὴ γαίη, Φρυγίων θρέπτειρα λεόντων,
ἡ μὲν ἔχεις γε μόνης μύσταις οὐκ ἀπάτητον ὄρος,
σοὶ τόδε θῆλυς Ἄλεξις ἑῆς οἰστρήματα λύσσης,
αὔθετο, χαλκοτύπου παυσάμενος μανίης.
κύμβαλά τ᾽ ὀξύφθογγα, βαρυφθόγγων τ᾽ ἀλαλητὸν
αὐλῶν, οὓς μόσχου λοξὸν ἔκαμψε κέρας.
τύμπανά τ᾽ ἠχήεντα, καὶ αἵματι φοινιχθέντα
φάσγανα, καὶ ξανθάς, τὰς πρὶν ἔσεισε κόμας.
ἵλαος ὦ δέσποινα, τὸν ἐν νεότητι μανέντα,
γηραλέον, προτέρης παῦσον ἀγριοσύνης.

Μακεδονίου ὑπάτου.

Κισσοκόμᾳ Βρομίῳ σάτυρον σεσαλαγμένον οἴνῳ,
ἀμπελουργὸς ἀνὴρ αὔθετο Λυσαγόρας.
τῷ δὲ, καρηβαρέοντι, δέρην, τρίχα, κισσὸν, ὀπώρην,
πάντα λέγεις μεθύειν, πάντα συνεκλέλυται.
καὶ φύσιν ἀφθόγγοισι τύποις μιμήσατο τέχνη,
ὕλης ἀντιλέγειν μηδὲν ἀναχομένης.

Ἀγαθίου σχολαστικοῦ.

Βασσαρὶς Εὐρυνόμη σκοπελοδρόμος, ἥ ποτε ταύρων
πολλὰ τανυκραίρων στέρνα χαραξαμένη,

ἡ μέγα καγχάζουσα λεοντοφόνοις ἐπὶ νίκαις,
παίγνιον ἀτλήτου θηρὸς ἔχουσα κάρη,
ἱλήκοις Διόνυσε, τεῆς ἀμέλησα χορείης,
Κύπριδι βακχεύειν μᾶλλον ἐπειγομένη.
θῆκα δέ σοι τάδε ῥόπτρα. παραρρίψασα δὲ κισσὸν,
χεῖρα περισφίγξω χρυσοδέτῳ σπατάλῃ.

Τοῦ αὐτοῦ.

Πορφυρέῃ ἡ Κνιδίη τὰ στέμματα, καὶ τὸ Λίβυρσον
τοῦτο τὸ λογχωτὸν, καὶ τὸ περισφύριον,
εἰς αὐέδην Βάκχου, ὅτ' ἐν Διόνυσον ἐφοίτα,
κισσῷ τὴν στέρνοις νεβρίδ' ἀναπτομένη,
ἁβρονόμη Διόνυσε, πρὸ πασάδος ἠώρησεν
ταῦτα, τὰ τοῦ κάλλους κόσμια, καὶ μανίης.

## ΑΠΟ ΓΕΡΟΝΤΩΝ. 6

Ισιδώρου σχολαστικοῦ.

Λέκτρα μάτην μίμνοντα, καὶ ἀπρήκτου σκέπας εὐνῆς,
αὔθετό σοι μίαν, ὦ φίλος ὑλυμίων
αἰδόμενος. πολιὴ γὰρ ὅλου κρατέουσα καρήνου,
οὐ σώζει προτέρης ἴχνιον ἀγλαΐης.

Αγαθίου σχολαστικοῦ.

Σὸς πόσις Ἀγχίσης, τοῦ εἵνεκα πολλάκι Κύπρι
ὑπρίν ἐν Ἰδαίην ἔτρεχες ἠιόνα,
νῦν μόλις εὗρε μέλαιναν ἀπὸ κροτάφων τρίχα κόψαι.
θῆκε δέ σοι προτέρης λείψανον ἡλικίης.
ἀλλὰ θεὰ, δύνασαι γὰρ, ἢ ἡβητῆρα με τεῦξον,
ἢ καὶ τὴν πολιὴν, ὡς νεότητα δέχου.

## ΑΠΟ ΓΕΩΡΓΩΝ. Φιλίππου. 7

Δράγματα σοι χώρου μικραύλακος ὦ φιλόπυρε
Δηοῖ, Σωσικλέης θῆκεν ἀρουροπόνος,

εὐσταχύων ἀμήσαις τὸν νῦν σπόρον. ἀλλὰ καὶ αὖτις,
ἐκ καλαμητομίης ἀμβλὺ φέροι δρέπανον.

Αγαθίου σχολαστικοῦ.

Χαλκὸν ἀροτρητῆρα, κλασιβώλακα, νειοτομῆα,
καὶ τὴν ταυροδέτην βύρσαν ἐπαυχενίην,
καὶ βουπλῆκτρον ἄκαιναν, ἐχετλήεντά τε γόμφον,
Δηοῖ Καλλιμένης ἄνθετο γειοπόνος,
τμήξας εὐαρότρου ῥάχιν ὀργάδος. εἰ δ' ἐπινεύσεις
τὸν στάχυν ἀμῆσαι, καὶ δρεπάνην κομίσω.

Λεωνίδου.

Γλευκοπόταις σατύροισι, καὶ ἀμπελοφύτορι βάκχῳ
ἡρῶναξ, πρώτης δράγματα φυταλίης
τρισσῶν οἰνοπέδων, τρισσοὺς ἱδρώσατο τούσδε
ἐμπλήσας οἴνου πρωτοχύτοιο κάδους.
ὧν ἡμεῖς σπείσαντες ὅσον θέμις οἴνοπι βάκχῳ,
καὶ σατύροις, σατύρων πλείονα πιόμεθα.

Αδήλου.

Οξέσι λαχνήεντα δέμας κέντροισιν ἐχῖνον
ῥαγολόγον, γλυκερῶν σίντορα θηλοπέδων,
σφαιρηδὸν σταφυλῇσιν ἐπιτροχάοντα, δοκεύσας
Κώμαυλος, Βρομίῳ ζωὸν ἀνεκρέμασεν.

Αδέσποτον.

Κώμαυλος τὸν ἐχῖνον ἰδὼν ἐπὶ νῶτα φέροντα
ῥᾶγας, ἀπέκτεινεν τῷδ' ἐπὶ θηλοπέδῳ.
αὐήνας δ' ἀνέθηκε φιλακρήτῳ Διονύσῳ,
τὸν τὰ Διωνύσου δῶρα λεϊζόμενον.

Βακχυλίδου.

Εὔδημος τὸν νηὸν ἐπ' ἀγροῦ τόνδ' ἀνέθηκε
τῷ πάντων ἀνέμων πιοτάτῳ ζεφύρῳ,

εὐξαμένῳ γάρ οἱ, ἦλθε βοηθόος, ὄφρα τάχιστα
λικμήσῃ πεπόνων καρπὸν ἀπ' ἀσταχύων.

Ἀγαθίου σχολαστικοῦ.

Εἶδον ἐγὼ τὸν πῶκα καθήμενον ἐγγὺς ὀπώρης
Βακχιάδος, πολὺν βότρυν ἀμεργόμενον.
ἀγρονόμῳ δ' ἀγόρευσα, καὶ ἔδρακεν ἀπὸ δ' ἰάλλης δὲ
ἐγκέφαλον πλήξας, ἐξεκύλισε λίθῳ.
εἶπε δὲ καὶ χαίρων ὁ γεωπόνος, ἆ τάχα Βάκχῳ
λοιβῆς, καὶ θυέων μικτὸν ἔδωκα γέρας.

Τοῦ αὐτοῦ.

Αὔλακα Πὰν λυπῆτα τάδε Στρατόνικος ἀροτρεὺς
ἀντ' εὐεργεσίης ἄνθετο σοι τεμένη.
Βόσκε δ' ἔφη χαίρων τὰ σὰ ποίμνια, καὶ σέο χώρην
δέρκεο, τὴν χαλκῷ μηκέτι τεμνομένην.
αἴσιον εὑρήσεις τὸ ἐπαύλιον. ἐνθάδε γάρ σοι
ἠχὼ τερπομένη, καὶ γάμον ἐκτελέσει.

Φιλίππου.

Σπερμοφόρον πήρην ὠμαχθέα, κωλεσίβωλον
σφῦραν, καὶ γαμψὰς πυρολόγους δρεπάνας,
καὶ τριβόλους ὀξεῖς ἀχυρότριβας, ἰσοβόην τε
σὺν γυροῖς ἀρότροις, καὶ φιλόγαιον ὕνιν,
κέντρα τ' ὀπισθονυγῆ, καὶ βούστροφα δέσμα τενόντων,
καὶ τρίνακας ξυλίνας χεῖρας ἀρουροπόνου,
γῆα πεπηρωθεὶς Λυσίξενος αὔλακι πολλῇ,
ἐκρέμασεν Δηοῖ τῇ σταχυοστεφάνῳ.

Λεωνίδου.

Ἀγρονόμῳ τάδε Πανὶ, καὶ εὐαστῆρι Λυαίῳ,
πρέσβυς, καὶ νύμφαις ἀγνὰς ἔθηκε Βίτων.
Πανὶ μὲν ἀρτίτοκον χίμαρον σύμπαιστορα μηκός,
κισσοῦ δὲ Βρομίῳ κλῶνα πολυπλανέος,

νύμφαις δὲ σκιερῆς εὔποικιλον ἄνθος ὀπώρης,
φύλλα τε πεπταμένων αἱματόεντα ῥόδων.
ἀνθ' ὧν εὔυδρον νύμφαι τόδε δῶμα γέροντος
αὔξετε, Πάν, γλαγερόν, Βάκχε, πολυστάφυλον.

Σαβίνου.

Πανὶ Βίτων χίμαρον, νύμφαις ῥόδα, θύρσα Λυαίῳ,
τρισσῶν ὑπ' εὐπετάλοις δῶρον ἔθηκε φόβαις.
δαίμονες, ἀλλὰ δέχεσθε κεχαρμένοι. αὔξετε δ' αἰεὶ
Πάν, ἀγέλην. νύμφαι, πίδακα. Βάκχε, γάνος.

Γετουλλικοῦ.

Λάζεο τιμήεσσα Κυθηριὰς ὑμνοπόλοιο
αἶψα τάδε κλειτοῦ δῶρα Λεωνίδεω,
πεντάδα τῆς σταφυλῆς εὐρώγεα, καὶ μελιηδὲς
πρώϊον εὔφυλλον σῦκον ἀπ' ἀκρεμόνων,
καὶ ταύτην ἀπέτηλον ἁλινήκτειραν ἐλαίην,
καὶ ψαισῶν ὀλίγον δράγμα πενιχραλέον,
καὶ σταγόνα σπονδῖτιν ἀεὶ θυέεσιν ὀπηδόν,
τῆς κύλικος βαιῷ πυθμένι κευθομένην.
εἰ δ' ὡς μευ βαρύγυιον ἀπώσαο νοῦσον, ἐλάσσεις
καὶ πενίην, δώσω πιαλέον χίμαρον.

Κορνηλίου Λογγίνου.

Ἐκ πενίης ὡς οἶσθα ἀκραιφνέος, ἀλλὰ δικαίης,
Κύπρις, ταῦτα δέχου δῶρα Λεωνίδεω,
πορφυρέην ταύτην ὑπερφυλλίδα, τήν θ' ἁλίπαστον
δρύπεπτα, καὶ ψαισῶν τὴν νομίμην θυσίην,
σπονδὴν τὴν ἀσάλευτον ἀφυλίσα, καὶ τὰ μελιχρὰ
σῦκα. σὺ δ' ὡς νούσου, ῥῦεο καὶ πενίης.
καὶ τότε βουθυτέοντα μ' ἐσόψεαι. ἀλλὰ σὺ δαῖμον,
σπουδῆς ἀντιλαβεῖν τὴν ἀπ' ἐμοῦ χάριτα.

Ἀδδαίου μακεδόνος.

Αὔλακι καὶ γήρᾳ τετρυμμένον ἐργατίνην βοῦν
Ελκων, οὐ φονίην ἤγαγε πρὸς κοπίδα,
αἰδεσθεὶς ἔργων. ὁ δέ, που βαθέῃ ἐνὶ ποίῃ
μυκηθμοῖς ἀρότου τέρπετ' ἐλευθερίῃ.

## ΑΠΟ ΓΥΝΑΙΚΩΝ. 8

Πλάτωνος.

Η σοβαρὸν γελάσασα καθ' Ἑλλάδος, ἡ τῶν ἐρώντων
ἑσμὸν ἐνὶ προθύροις Λαῒς ἔχουσα νέων,
τῇ Παφίῃ τὸ κάτοπτρον. ἐπεὶ τοίη μὲν ὁρᾶσθαι
οὐκ ἐθέλω. οἵη δ' ἦν πάρος, οὐ δύναμαι.

Εἰς τὴν αὐτὴν Ἰουλιανοῦ ἀπὸ
ὑπάρχων αἰγυπτίου.

Λαῒς ἀμαλδυνθεῖσα χρόνῳ περικαλλέα μορφήν,
γηραλέης στυγέει μαρτυρίην ῥυτίδων.
ἔνθεν πικρὸν ἔλεγχον ἀπεχθήρασα κατόπτρου,
ἄνθετο δεσποίνῃ τῆς πάρος ἀγλαΐης.
ἀλλὰ σύ μοι Κυθέρεια, δέχου νεότητος ἑταῖρον
δίσκον, ἐπεὶ μορφὴ σὴ, χρόνον οὐ τρομέει.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Κάλλος μὲν Κυθέρεια χαρίζεται. ἀλλὰ μαραίνει
ὁ χρόνος ἑρπύζων σὴν βασίλεια χάριν.
δώρου δ' ὑμετέροιο παραπταμένου με Κυθείρη,
δέχνυσο καὶ δώρου πότνια μαρτυρίην.

Λουκιανοῦ εἰς τὸ αὐτό.

Ἑλλάδα νικήσασαν ὑπέρβιον ἀσπίδα μήδων,
Λαῒς ἔθηκεν ἑῷ κάλλεϊ ληϊδίην.
μούνῳ ἐνικήθη ὑπὸ γήραϊ. καὶ τὸν ἔλεγχον
ἄνθετό σοι Παφίη, τὸν νεότητι φίλον.

ἧς γὰρ ἰδεῖν στυγέει πολιῆς παναληθέα μορφὴν,
τῆσδε συνεχθαίρει καὶ σκιόεντα τύπον.

Ἀντιπάτρου σιδωνίου.

Κερκίδα τὴν φιλαοιδὸν Ἀθηναίῃ θέτο Βιττὼ
ἄνθεμα, λιμηρῆς ἅρμενον ἐργασίης.
εἶπε δὲ, χαῖρε θεὰ, καὶ τήνδ' ἔχε. χήρη ἐγὼ γὰρ,
τέσσαρας εἰς ἐτέων ἐρχομένη δεκάδας.
ἀρνεῦμαι τὰ σὰ δῶρα· τὰ δ' ἔμπαλι, Κύπριδος ἔργων
ἅπτομαι. ὥρης γὰρ κρεῖσσον ὁρῶ τὸ θέλειν.

Ἀδέσποτον εἰς τὸ αὐτό.

Κερκίδα τὴν φιλεργὸν Ἀθηναίῃ θέτο Βιττὼ
ἄνθεμα, λιμηρῆς ἅρμενον ἐργασίης,
πάντας ἀποστύξασα γυνὴ τότε τοὺς ἐν ἐρίθοις
μόχθους, καὶ στυγερὰς φροντίδας ἱστοπόνων.
εἶπε δ' Ἀθηναίῃ, τῶν Κύπριδος ἅψομαι ἔργων,
τὴν Πάριδος κατὰ σοῦ ψῆφον ἐνεγκαμένη.

Παύλου σιλεντιαρίου.

Σοὶ τὰ λιποστεφάνων διατίλματα μυρία φύλλων,
σοὶ τὰ νοοπλήκτου πλαστὰ κύπελλα μέθης,
βόστρυχα σοὶ τὰ μύροισι δεδευμένα, τῇδε κονίῃ
σκῦλα ποθοβλήτου κεῖται Ἀναξαγόρα.
σοὶ τάδε Λαῒς ἅπαντα. παρὰ προθύροις γὰρ ὁ δειλὸς
τοῖσδε σὺν ἀκρήβαις πολλάκι παννυχίσας,
οὐκ ἔπος, οὐ χαρίεσσαν ὑπόσχεσιν, οὐδὲ μελιχρῆς
ἐλπίδος ὑβριστὴν μῦθον ἐπεσπάσατο.
φεῦ, φεῦ. γυιοτακὴς δὲ λιπὼν τάδε σύμβολα κώμων,
μέμφεται ἀστρέπτῳ κάλλεϊ θηλυτέρων.

Ἀδέσποτον.

Ἡ τὸ πρὶν αὐχήσασα πολυχρύσοις ἐπ' ἐρασταῖς,
ἡ νέμεσιν δεινὴν οὐχὶ κύσασα θεόν,

ALEXANDER · ARAGONUM · DEI GRATIA · FERDINANDUS SANTIS · SANCTI PP · VALENTINUS

μίσθια νῦν σταθίοις πηνικροῖς πλωίσματα κρόξ.
ὀψέ γ' ἀθηναίη Κύπριν ἐλκύσατο.

Νικάρχου.

Η πρὶν ἀθλημαίης ὑπὸ κερκίσι καὶ τὰ καθ' ἱστῶν
νήματα Νικαρέτη πολλὰ μιτωσαμένη,
κύπριδι τὸν κάλαθόν τε, τὰ πηνία, καὶ τὰ σὺν αὐτοῖς
ἄρμεν' ὑπὲρ προδόμου ταῦτα πυρῆς ἔθετο,
ἔρρετε φωνήσασα κακῶν λιμηρὰ γυναικῶν
ἔργα, νέων τήκειν ἄνθος ἐπιστάμενα.
εἷλε δὲ στεφάνους, καὶ πηκτίδα, καὶ μετὰ κώμων
ἡ παῖς, τερπνὸν ἔχει ἐν θαλείαις βίοτον.
εἶπε δέ, παντός σοι δεκάτην ἀπὸ λήμματος οἴσω
Κύπρι. σὺ δ' ἐργασίην καὶ λάβε, καὶ μετάδος.

Αρχίου.

Αἱ τρισσαί, Σατύρη τε καὶ ἡράκλεια, καὶ Εὐρώ,
θυγατέρες Ξούθου, καὶ Μελίτης, σάμιαι,
ἁ μὲν, ἀραχναίοιο μίτου πολυδίνεα λάτριν
ἄτρακτον δολιχᾶς οὐκ ἄτερ ἀλακάτας,
ἁ δὲ, πολυσπαθέων μελεδήμονα κερκίδα πέπλων,
εὔθροον ἁ τριτάτα δ' εἰροχαρῆ τάλαρον,
οἷς ἔχον χερνῆτα βίον δηναιὸν ἀθάνα
πότνια, ταῦθ' αἱ σαὶ σοὶ θέσαν ἐργάτιδες.

Αγαθίου σχολαστικοῦ.

Τῇ Παφίῃ στεφάνους, τῇ Παλλάδι τὴν πλοκαμῖδα,
ἀρτέμιδι ζώνην, ἄνθετο Καλλιρόη.
εὕρετο γὰρ μνηστῆρα, τὸν, ἤθελε, καὶ λάχεν ἥβην
σώφρονα, καὶ τεκέων ἄρσεν ἔτικτε γένος.

Παλλαδᾶ.

Αντὶ βοὸς χρυσέου τ' ἀναθήματος, Ἴσιδι τούσδε
θήκατο τοὺς λιπαροὺς Παμφίλιον πλοκάμους.

ἁ θεὸς, τοῖσις γαίνυται πλέον, ἢ πρὶν Ἀπόλλων
χρυσῷ, τὸν, Λυδὸς Κροῖσος ἔπεμπε θεῷ.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Ξυρὸν οὐράνιον, ξυρὸν ὄλβιον, ὦ πλοκαμῖδας
κειραμένη πλεκτὰς, ἄνθετο Παμφίλιον,
ὧτε τὶς ἀνθρώπων χαλκεύσατο. πὰρ δὲ καμίνῳ
Ἡφαίστου χρυσέην σφύραν ἀειραμένη,
ἁλιπαροκρήδεμνος ἵν' εἴπωμεν καθ' Ὅμηρον,
χερσί σε ταῖς ἰδίαις δ'ἐξεπόνησε χάρις.

Ἀντιπάτρου σιδωνίου.

Κερκίδα τὰν ὀρθρινᾶ χελιδόνων ἅμα φωνᾶ
μελπομέναν, ἱστῶν Παλλάδος ἀλκυόνα,
τόν τε καρηβαρέοντα πολυρροίβητον ἄτρακτον,
κλωστῆρα στρεπτᾶς εὔδρομον ἀρπεδόνας,
καὶ πηνίας, καὶ τόνδε φιληλάκατον καλαθίσκον,
στάμονος ἀσκητοῦ, καὶ τολύπας φύλακα,
παῖς ἀγαθοῦ Τελέσιλλα Διοκλέος, ἁ φιλοεργός,
εἰροκόμων κούρα θήκατο δεσπότιδι.

Τοῦ αὐτοῦ.

Παλλάδι ταὶ τριατταὶ θέσαν ἅλικες, ἶσον ἀράχνᾳ
τοῦξαι λεπταλέον στήμον ἐπισταμέναι.
Δημὼ μὲν ταλαρίσκον εὔπλοκον. Ἀρσινόα δὲ,
ἐργάτιν εὐκλώστου νήματος ἠλακάταν.
Κερκίδα δ' εὐποίητον ἀηδόνα τὰν ἐν ἐρίθοις,
Βακχυλὶς, εὐκρέτους ἃ διέκρινε μίτους.
Ζώειν γὰρ δίχα παντὸς ὀνείδεος εἵλετ' ἑκάστη
ξεῖνε, τὸν ἐκ χειρῶν ἀρνυμένα βίοτον.

Φιλίππου

Κερκίδας ὀρθρολάλοισιν χελιδόσιν εἰκελοφώνους,
Παλλάδος ἱστοπόνου λειομίτους κάμακας,

Κτένα κοσμοκόμην, καὶ δακτυλότριπτον ἄτρακτον
σφονδυλοδινήτῳ νήματι πηχόμενον,
καὶ τάλαρον χοίνισιν ὑφασμένον, ὅν ποτ᾽ ὀδόντων
ἔπλησε τολύπη πᾶσα καθαιρομένη,
σοὶ φιλέριθε κόρη Παλλαντιὰς, ἡ βαθύγηρως
Αἰσινόη, πενίης δῶρον ἀνεκρέμασεν.

Λεωνίδου.

Τῆς πέζης τὰ μὲν ἄκρα τὰ δεξιὰ μέχρι παλαιστῆς,
καὶ σπιθαμῆς ὅλης, Βίττιον εἰργάσατο.
θάτερα δ᾽ Ἀντιάνειρα προσήρμοσε. τὸν δὲ μεταξὺ
μαίανδρον, καὶ τὰς παρθενικὰς, Βιτίη,
κούρη καλλίστη Διὸς Ἄρτεμι, σὸν τὸ νῆμα
πρὸς ψυχῆς θείης τὴν τριπόνητον ἔχειν.

Ἀντιπάτρου.

Ἄρτεμι, σοὶ ταύταν εὐπάρθενε, πότνια γυναικῶν,
τὰν μίαν αἱ τρισσαὶ πέζαν ὑφηνάμεθα.
καὶ Βιτίη μὲν, τάσδε χοροιθαλέας κάμε κούρας,
λοξά τε μαιάνδρου ῥεῖθρα πολυπλανέος.
ξανθὰ δ᾽ Ἀντιάνειρα, τὸν ἀγχόθι μήσατο κόσμον
πρὸς λαιᾷ ποταμοῦ κεκλιμένον λαγόνι.
τὸν δ᾽ ἐνὶ δεξιτερῶν νασμῶν πέλας ἰσοπάλαιστον
τόσσον ἰδὲ σπιθαμῇ, Βίττιον ἠνύσατο.

Ἡδύλου.

Ἀμίτρα, τό θ᾽ ἁλουργὲς ὑπέρδυμα, τοί τε Λάκωνες
πέπλοι, καὶ λήρων οἱ χρύσεοι κάλαμοι,
πάνθ᾽ ἅμα Νικονόη συνεπέκπιεν. ἦν γὰρ ἐρώτων,
καὶ χαρίτων ἡ παῖς ἀμβρόσιόν τι θάλος.
τοιγὰρ τῷ κρίναντι τὰ καλλιστεῖα Πριήπῳ,
νεβρίδα, καὶ χρυσέην τήνδ᾽ ἔθετο πρόχοον.

ΕΡΩΤΙΚΩΝ.

## ΕΡΩΤΙΚΩΝ. 9

Ἀγαθίου σχολαστικοῦ.

Δαφνιακῶν βίβλων ἀγαθίου ἐννεάς εἰμι.
ἀλλά μ' ὁ τεκτήνας, ἄνθετο σοὶ Παφίη.
οὐ γὰρ πιερίδεσσι τόσον μέλλω, ὅσσον ἔρωτι,
ὄργια τοσσατίων ἀμφιέπουσα πόθων.
αἰτεῖ δ' ἀντὶ πόνων, ἵνα οἱ δῖα σεῖο παρείη,
ἤτινα μὴ φιλέειν, ἢ ταχὺ πειθομένην.

Τοῦ αὐτοῦ.

Ἄνθετό σοι κορύνην, καὶ νεβρίδας ἡμέτερος Παν
δύιε, καλλείψας σὸν χορὸν ἐκ Παφίης.
ἠχὼ γὰρ φιλέει, καὶ πλάζεται. ἀλλὰ σὺ Βάκχε,
ἵλαθι τῷ ξυνὴν ἀμφιέποντι τέχνην.

Ἀντιφάνους.

Αὐτή σοι Κυθέρεια τὸν ἱμερόεντ' ἀπὸ μαστῶν
ἐνῶ λυσαμένη, κεστὸν ἔδωκεν ἔχειν,
ὥς ἂν θελξινόοισιν ἀεὶ φίλτροισι δαμάζῃς
ἀνέρας. ἐχρήσω δ' εἰς ἐμὲ πᾶσι μόνον.

Ἄδηλον.

Φρύνη τὸν περόεντα, τὸν εὔτεχνον ἔρωτα,
μισθὸν ὑπὲρ τέκνων ἄνθετο Θεσπιάσι.
Κύπριδος ἡ τέχνη. ζηλούμενον, οὐκ ἐπιμεμφὲς
δῶρον. ὧν ἀμφοτέρους δ' ἔπρεπε μισθὸς ἔρως.
δοιῆς ἐκ τέχνης αἰνέω βροτὸν, ὅς γε καὶ ἄλλοις
δοὺς, θεὸν ἐν σπλάγχνοις εἶχε τελειότερον.

## ΕΥΧΩΝ. Φιλίππου. 10

Ζηνὸς, καὶ Λητοῦς θηροσκόπε τοξότι κούρη
ἄρτεμις, ἣ θαλάμους τῶν ὀρέων ἔλαχου,



ALEXANDER · ... REGIS ... DE GRA · ... FERDINANDI ... SANCTI

νοῦσον τὴν στυγερὴν αὐθήμερον ἐκ βασιλῆος
ἐλλοτάτου πέμψαις ἄχρις ὑπὲρ Βορέων.
σοὶ γὰρ ὑπὲρ βωμῶν, ἀτμὸν λιβάνοιο Φίλιππος
ῥέξει καλλιθύτων ταῦρον ὀρεινόμον.

Διοδώρου.

Ἥτε σάμου μεδέουσα, καὶ ἣ λάχες Ἴμβρασον Ἥρη,
δέξο γενεθλιδίους πότνια θυηπολίας.
μόσχων ἱρὰ ταῦτα, τά, σοι πολὺ φίλτατα πάντων
ἴσμεν, ὅσοι μακάρων θεσμὸν ἐπιστάμεθα.
εὔχετ' ἐπισπένδων τάδε Μάξιμος. ἣδ' ἐπινεύσῃ
ἔμπεδα. μοιράων δ' οὐκ ἐμέγηρε λίνα.

Ἀντιπάτρου.

Λαμπάδα κηροχίτωνα, Κρόνου τυφήρεα λύχνον,
σχοίνῳ καὶ λεπτῇ σφιγγόμενον παπύρῳ,
Ἀντίπατρος Πείσωνι φέρει γέρας. ἣν δέ μ' ἀνάψας
εὔξηται, λάμψω φέγγος ἀκισσόθεον.

ΘΗΡΩΝ. Ἀντιπάτρου. ΙΙ

Ἐκ ποτὲ τις φρικτοῖο θεῆς σεσοβημένος οἴστρῳ,
ῥόμβησας δονέων λυσσομανεῖς πλοκάμους,
θηλυχίτων, ἀσκητὸς εὐσπείροισι κορύμβοις,
ἁβρὸν τε στρεπτῶν ἅμματι κεκρυφάλων,
ἴδρις ἀνὴρ, κοιλῶπιν ὀρειάδα δύσατο πέτρην,
Ζηνὸς ἐλαστρηθεὶς γυοπαγεῖ νιφάδι.
τῷ δὲ κεν ἀρρέγκτως ἐπὶ θόρε ταυροφόνος θὴρ,
οὐ δὲ τὸν ἐὸν προμολὼν φωλεὸν ἑσπέριος.
ἀθρήσας δ' οὖν φῶτα, καὶ εὐτρήτοισιν αὐτμὰν
μυκτῆρσι, βροτέας σαρκὸς ἐρυσσάμενος,
ἔστα μὲν βριαροῖσιν ἐπ' ἴχνεσιν. ὄμμα δ' ἑλίξας,
βρυχᾶτο σφεδανῶν ὄβριμον ἐκ γενύων.

ALEXANDER PP VI ... VALENTINIS FERDINA

ἀμφὶ δέ οἱ σμαράγει μὲν ἐναυλιστήριον αὐτόθεν,
ἄχει δ' ὑλάεις ἀγχινεφὴς σκόπελος.
αὐτὰρ ὁ, θαμβήσας φθόγγον βαρὺν, ἐν μὲν ἅπαντα
ἐν στέρνοις ἐάγη θυμὸν ὀρινόμενον.
ἀλλ' ἔμπας, ἐρίμυκον ἀπὸ στομάτων ὀλολυγὰν
ἧκεν. ἐδίνησεν δ' εὐστροφάλιγγα κόμαν.
χειρὶ δ' ἀνασχόμενος μέγα τύμπανον, ἐπλατάγησεν,
δινωτὸν ῥείας ὅπλον ὀλυμπιάδος,
τὸ ζωᾶς ἐπαρωγόν. ἀήθεα γὰρ τότε βύρσης
ταυρείου κενεὸν δοῦπον ἔδεισε λέων.
ἐκ δὲ φυγὼν, ὤρουσεν. ἴδ' ὡς ἐδίδαξεν ἀνάγκη
πάνσοφος, ἐξευρεῖν ἔκλυσιν ἀΐδεω.

Εἰς τὸ αὐτό.

Πυρσοῦ τοῦτο λέοντος ἀπεφλοιώσατο δέρμα
Σῶσος, ὁ βουπαλίων δουνὶ φονευσάμενος.
ἄρτι κατὰ βρύχοντα τὸν
οὐδ' ἵκετ' ἐκ μάνδρας αὖτις ὑπὸ ξυλόχους.
μοχθεῖ δ' ἀπέτισεν ὁ θὴρ αὖθ' αἷμα τὸ αἷμα,
βληθείς. ἀχθεινὰν δ' εἶχε βοοκτασίαν.

Γαίτου.

Παῖδα πατὴρ ἄλκων ὀλοῷ σφιγχθέντα δράκοντι
ἀθρήσας, δειλῇ τόξον ἔκαμψε χερί.
θηρὸς δ' οὐκ ἀφάμαρτε. διὰ στόματος γὰρ ὀϊστὸς
ἤϊξεν, τυτθοῦ βαιὸν ὕπερθε βρέφους.
παυσάμενος δὲ φόνοιο, παρὰ δρυῒ τῇδε φαρέτρην
σῆμα καὶ εὐτυχίης θῆκε, καὶ εὐστοχίης.

ΙΣΟΨΗΦΑ. Λεωνίδου ἀλεξανδρέως πάντα. 12

Θύει σοι τόδε γράμμα γενεθλιακαῖσιν ἐν ὥραις
Καῖσαρ, νειλαίη μοῦσα Λεωνίδεω.

καλλιόπης γὰρ ἄκαπνομ ἀεὶ θύος. εἰς δὲ νεωτέ-
ων ἐθέλῃς, θύσει τῶδε πολιοτέρα.

Τὴν δὲ Λεωνίδεω θαλερὴν πάλι δέρκεο μούσην,
δίστιχον, εὐθίκτου παίγνιον εὐεπίης.
ἐστὶ δ' ἐν κρονίοις μάρκῳ πολυκαλλὲς ἄθυρμα
τοῦτο, καὶ ἐν δείπνοις καὶ παρὰ μουσοπόλοις.

Οἰδιπόδης, κάσις ἦν τεκέων, καὶ μητέρι πόσις
γίγνετο, καὶ παλάμης ἦν τυφλὸς ἐκ σφετέρης.

Γέμματα τίς λιπόωντα; τίς ἄρει τῷ πτολιπόρθῳ
βότρυς; τίς δὲ ῥόδων θῆκεν ἐμοὶ κάλυκας;
νύμφαις ταῦτα φέροι τίς. ἀναιμάκτους δὲ θυηλὰς,
οὐ δέχομαι βωμοῖς ὁ θρασύμητις ἄρης.

Ἄλλος ἀπὸ σαλίνων, ὁ δ' ἀπ' ἠέρος, ὃς δ' ἀπὸ πόντου
Εὔπολι, σοὶ πέμπει δῶρα γενεθλίδια.
ἀλλ' ἐμέθεν δέξαι μουσῶν στίχον, ὅστις ἐσαεὶ,
μίμνει καὶ φιλίης σῆμα, καὶ εὐμαθίης.

Λύκτιον ἰοδόκην, καὶ καμπύλον ἄρτεμι τόξον,
Νίκις ὁ Λυσιμάχου παῖς ἀνέθηκε λίβυς.
τοὺς γὰρ πλήθοντας ἀεὶ λαγόνεσσι φαρέτρης,
δορκάσι καὶ βαλίαις ἐξεκένωσ' ἐλάφοις.

Εἰς πρὸς ἕνα ψήφοισιν ἰσάζεται, οὐ δύο δυοῖς.
οὐ γὰρ ἔτι στέργω τὴν δολιχογραφίην.
Τὴν τριτάτην χαρίτων ἀπ' ἐμοῦ πάλι λάμβανε βί-
Καῖσαρ, ἰσηρίθμου σύμβολον εὐεπίης, (βλου

χεῖλος ὅπως καὶ τῶνδε δι' ἑλλάδος ἰθύνουσαν,
τῇ χθονίῃ πέμψῃ δῶρον ἀοιδότατον.

Ἄλλος μὲν κρύσταλλον, ὁ δ' ἄργυρον, ὃς δὲ, τοπάζους
πέμψουσι, πλούτου δῶρα γενεθλίδια.
ἀλλ' ἰδ' ἀγριππίνῃ δύο δίστιχα μοῦνον ἰσώσας,
ἀγκοῦμαι δώροις, ἃ φθόνος οὐ δαμάσει.

## ΚΑΡΚΙΝΟΙ ΣΤΙΧΟΙ ΕΜΜΕΤΡΟΙ. 13

Κατὰ ἀναποδισμόν.

Ἀθλήσας ἤδη πόλῳ πηδήσας ἦλθα.
Ἀμήσας ἄρδην, ὀροφηφόρον ἥδρασε σῆμα.
Ἀλύξας ὥρην ἠνεμωμένην, ἤρωσε ξύλα.

Εἰς διομήδους τάφον.

Ἤδη μοι Διὸς ἄρα πηγὴ παρὰ σοὶ Διομήδη.
Νοσῶ σὺ ὃς εἶ ἴαμα ἰησοῦ, σῶσον.
Νᾶ ἐλατὰ, μὴ ὀνητὰ, σοφὸς ἄτη, νοήματα λέων.
Ἱρὰ σὰ παρὰ χείλη ἥλιε, χαρὰ πᾶσα ῥεῖ.
Νίψον ἀνομήματα, μὴ μόναν ὄψιν.
Νόμον ὁ κοινὸς ἔχε σὸν οἰκονόμον.
Σωφὸς ἔγωγε ἤδη ὢν ἄνω, χαρὰ τῶν ἄνω. γελῶ τὰ
κάτω, λέγων ἂν ὦ ταραχῶν ἄνω, ἤδη ἐγώγε σοφός.

## ΑΠΟ ΚΗΠΩΡΩΝ. 14

Σκάπτειραν κήποιο φιλυδρήλοιο δίκελλαν,
καὶ δρεπάνην καυλῶν ἄσκυλον ἐκτομίδα.
τήν τ' ἐπινωτίδιον βροχετῶν ῥακόεσσαν ἀρωγὸν,
καὶ τὰς ἀρρήκτους ἐμβάδας ὠμοβοεῖς,
τόν τε δι' εὐτρήτοιο πέδου δύοντα κατ' ἰθὺ,
ἀρτιφυοῦς κράμβης πάσσαλον ἐμβολέα,

καὶ σκάφος ἐξ ὀχετῶν πρασιὴν διψᾶσαν ἐγείρειν,
αὐχμηροῖο θέρευς οὔποτε παυσάμενον,
σοί τοι κηπωρὸς Ποτάμων ἀνέθηκε Πρίηπε,
κτησάμενος ταύτης ὄλβον ἀπ' ἐργασίης.

## Ζωνᾶ.

Ῥηξιχανῆ ῥοιάν τε, καὶ ἀρτίχνουν τόδε μῆλον,
καὶ ῥυτιδόφλοιον σῦκον ἐπομφάλιον,
πορφύρεόν τε βότρυν μεθυπίδακα πυκνόρωγον,
καὶ κάρυον λεπτῆς αὐτίδρυφον λεπίδος,
ἀγροιώτῃ τῷδε μονοστόρφθυγγι Πριήπῳ,
θῆκεν ὁ καρποφύλαξ δενδριακὴν θυσίην.

## Ἀδέσποτον.

Ἀλκιμένης ὁ πενιχρὸς ἰδὼν σμικρῷ τινι κήπῳ,
τοῦ φιλοκαρποφόρου γευσάμενος θέρεος,
ἰσχάδα, καὶ μῆλον, καὶ ὕδωρ, γέρα Πανὶ κομίζω,
ὅστι σύ μοι βιότου τῶν ἀγαθῶν ταμίας.
ὧν τὰ μὲν, ἐκ κήποιο. τὰ δ' ὑμετέρης ἀπὸ πέτρης
δέξο καὶ ἀντιδιδοὺς, δὸς πλέον ὧν ἔλαβον.

## Φιλίππου.

Ῥοιὰν ξανθοχίτωνα, γεραιόφλοιά τε σῦκα,
καὶ ῥοδέας σταφυλῆς ὠμὸν ἀποσπάδιον,
μῆλόν θ' ἡδύπνουν λεπτῇ πεποκωμένον ἄχνῃ,
καὶ κάρυα χλωρῶν ἐκφανὲς ἐκ λεπίδων,
καὶ σίκυον χλοάοντα τὸν ἐν φύλλοις πεδοκοίταν,
καὶ πορφυρὴν ἤδη χρυσοχίτων' ἐλάην,
σοὶ φιλοδῖτα Πρίηπε, φυτοσκάφος ἄνθετο Λάμων,
δένδρεσι καὶ γυίοις εὐξάμενος θαλέθειν.

SIGILLUM ... ALEXANDER ... FERDINANDUS ...

Σατυρίου εἰς τρεῖς ἀδελφούς.

Θηρευτὴς δολιχὸν τόδε δίκτυον ἄνθετο Δᾶμις.
Πίγρης δ' ὀρνίθων λεπτόμιτον νεφέλην.
τριγλοφόρους δὲ χιτῶνας, ὁ νυκτερέτης θέτο Κλ....
τῷ Πανὶ, τρισσῶν ἐργασίης καμάτων.
ἔλα.. εὐσεβέεσσιν ἀδελφειοῖς ἐπίνευσον
πτηνὰ, καὶ ἀγροτέρων κέρδεα, καὶ νεπόδων.

Εἰς τὸ αὐτὸ Ἰουλιανοῦ ἀπὸ ὑπάρχων.

Γνωτῶν τρισσατίων ἐκ τρισσατίης λίνα θήρης
δέχνυσο Πάν. Πίγρης σοὶ γὰρ ἀπὸ πτερύγων
ταῦτα φέρει. θηρῶν, Δᾶμις. Κλείτωρ δὲ, θαλάσσης.
καί σφι δὸς εὐαγρεῖν, ἠέρα, γαῖαν, ὕδωρ.

Λεωνίδου εἰς τὸ αὐτό.

Οἱ τρισσοί τοι ταῦτα τὰ δίκτυα θῆκαν ὅμαιμοι
ἀγρότα Πὰν, ἄλλης ἄλλος ἀπ' ἀγρεσίης.
ὧν ἀπὸ μὲν πτηνῶν, Πίγρης τάδε. ταῦτα δὲ, Δᾶμις
τετραπόδων. Κλείτωρ δ' ὁ τρίτος, εἰναλίων.
ἀνθ' ὧν τῷ μὲν, πέμπε δι' ἠέρος εὔστοχον ἄγρην.
τῷ δὲ, διὰ δρυμῶν. τῷ δὲ, δι' ἠόνων.

Εἰς τὸ αὐτὸ Ἀντιπάτρου σιδωνίου.

Πανὶ τάδ' αὔθαιμοι τρισσοὶ θέσαν ἄρμενα τέχνης.
Δᾶμις μὲν, θηρῶν ἄρκυν ὀρειονόμων.
κλείτωρ δὲ, πλωτῶν τάδε δίκτυα. τὴν δὲ πετεινῶν,
ἄρρηκτον Πίγρης τήνδε δεραιοπέδην.
τὸν μὲν γὰρ, ξυλόχων, τὸν δ' ἠέρος. ὃν δ' ἀπὸ λίμνης,
οὔποτε σὺν κενεοῖς οἶκος ἔδεκτο λίνοις.

Εἰς τὸ αὐτὸ Ζωσίμου.

Εἰναλίων Κλείτωρ τάδε δίκτυα, τετραπόδων δὲ,
Δᾶμις, καὶ Πίγρης, θῆκεν ὑπ' ἠερίων.

πανί, κασιγνήτων ἱδρὰ τριάς. ἀλλὰ σὺ θήρην
ἠερίην, πόντῳ, κὴν χθονὶ τοῖσδε νέμε.

Εἰς τὸ αὐτὸ Ἀρχίου.

Οἱ τάδε Πανὶ σκοπιῆτᾳ, παναίολα δῶρα σύναιμοι
τρίζυγες, ἐκ τρισσῆς θέντο λινοστασίης.
δίκτυα μὲν Δᾶμις, θηρῶν. Πίγρης δὲ, πετεινῶν
λαιμοπέδας. Κλείτωρ δ' εἰναλίφοιτα λίνα.
ὧν τὸν μὲν, καὶ ἐσαῦθις ἐν ἠέρι, τὸν δ' ἔτι θείης
εὔστοχον ἐν πόντῳ. τὸν δὲ, κατὰ δρυόχους.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Ἀγραύλῳ τάδε Πανὶ βιαρκέος ἄλλος ἀπ' ἄλλης
αὔθαιμοι τρισσοὶ δῶρα λινοστασίης.
Πίγρης μὲν, δειραχθὲς εὔβροχον ἅμμα πετεινῶν.
Δᾶμις δ' ὑλονόμων δίκτυα τετραπόδων,
ἄρκυν δ' εἰναλίων Κλείτωρ πόρεν. οἷς σὺ δ' αἴθρης,
καὶ γᾶς, καὶ πελάγους, εὔστοχα πέμπε λίνα.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Ταῦτά σοι ἔκ τ' ὀρέων, ἔκ τ' αἰθέρος, ἔκ τε θαλάσσης,
τρεῖς γνωτοί, τέχνης σύμβολα Πάν, ἔθεσαν.
ταῦτα μὲν εἰναλίων Κλείτωρ λίνα. κεῖνα δὲ, Πίγρης
οἰωνῶν. Δᾶμις τὰ τρίτα τετραπόδων.
οἷς ἅμα χερσαίῃσιν, ἅμ' ἠερίῃσιν ἐν ἄγραις
ἀγρεῦ, ἅμ' ἐν πλωτοῖς, ὡς πρὶν ἀρωγὸς ἴθι.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Τρίζυγες οὑρεσίοικε κασίγνητοι τάδε τέχνας,
ἄλλος ἀπ' ἀλλοίας σοὶ τάδε Πάν, ἔθεσαν.
ὧν τὰ μὲν, ὀρνίθων Πίγρης. τὰ δὲ, δίκτυα θηρῶν
Δᾶμις. ὁ δὲ Κλείτωρ, εἰναλίων ἔπορεν.
ἀνθ', ὁ μὲν, ἐν ξυλόχοισιν. ὁ δ' ἠερίῃσιν ἐν ἄγραις
αἰέν, ὁ δ' ἐν πελάγει εὔστοχον ἄγραν ἔχοι.

Εἰς τὸ αὐτὸ Ἀλεξάνδρου.

Πίγρης ὀρνίθων ἄπο δίκτυα, Δᾶμις ὀρείων,
Κλείτωρ δ' ἐκ βυθίων, σοὶ τάδε Πὰν ἔθεσαν,
ξυνὸν ἀδελφειοὶ θήρης γέρας. ἄλλος, ἀπ' ἄλλης
ἴδρυτα γαίης, ἴδρυτα καὶ πελάγευς.
ἀνθ' ὧν τῷ μὲν, ἁλός. τῷ δ' ἠέρος. ᾧ δ' ἀπὸ δρυμῶν,
... ε κράτος, ταύτῃ δαῖμον ἐπ' εὐσεβίῃ.

Εἰς τὸ αὐτὸ Ζωσίμου Θασίου.

Σοὶ τάδε Πὰν θηρευτὰ ἀνηρτήσαντο σύναιμοι
δίκτυα, τριχθαδίης δῶρα κυνηγεσίης.
πίγρης μὲν, πτηνῶν. Κλείτωρ, ἁλός. ὃς δ' ἀπὸ χέρσου
Δᾶμις, τετραπόδων ἀγκύλος ἰχνελάτης.
ἀλλὰ σὺ κὴν δρυμοῖσι, καὶ εἰν ἁλὶ, καὶ διὰ μέσσης
ἠέρος, εὔαγρον τοῖσδε δίδου κάματον.

Τοῦ αὐτοῦ εἰς τὸ
αὐτό.

Τρισσὰ τάδε τρισσοὶ θηραγρέται, ἄλλος ἀπ' ἄλλης
τέχνης, πρὸς ναῷ Πανὸς ἔθεντο λίνα.
πίγρης μὲν, πτηνοῖσιν ἐφεὶς βόλον. ὃν δ' ἁλίοισι,
Κλείτωρ. ὃν θηρσὶ, Δᾶμις ἐρημονόμοις.
τοὔνεκα Πὰν, τὸν μέν τι δι' αἰθέρος, ὃν δ' ἀπὸ λόχμης,
τὸν δὲ, δι' αἰγιαλῶν θὲς πολυαγρότερον.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Βριθὺ μὲν ἀγραύλων τόδε δίκτυον ἄνθετο θηρῶν
Δᾶμις, καὶ Πίγρης πτηνολέτιν νεφέλην.
ἁπλότατον δ' ἁλὶ τοῦτο μιτορραφὲς ἀμφίβληστρον
Κλείτωρ, εὖ θήρᾳ Πανὶ προσευξάμενοι.
τοὔνεκα Πὰν, κρατερῷ πόρε Δάμιδι ληίδα θηρῶν,
Πίγρῃ δ' οἰωνῶν, Κλείτορι δ' εἰναλίων.

Εἰς τὸ αὐτὸ Ἰουλίου τοῦ Διοκλέους.

Δίκτυά σοι τῷδε Πάν, ἀνέθηκαν οἶκος ἀδελφῶν
οἱ τρεῖς, ἐξ ὀρέων, ἠέρος, ἐκ πελάγους.

Δικτυβόλει. τούτῳ δ' ἀγκέσι θηροτόκοις.
τὸν τρίτον ἐν πλωοῖσιν ἐπίβλεπε. τῆς γὰρ ἁπάντη
δαίμον ἔχεις ἡμέων δῶρα λινοστασίης.

Ἀλφειοῦ μιτυληναίου εἰς τὸ αὐτό.

Πανὶ κασιγνήτων ἱερὴ τριὰς, ἄλλος ἀπ' ἄλλης
αὖθ' ἔτ' ἀπ' οἰκείης σύμβολον ἐργασίης.
πίγκης ὀρνίθων. ἁλίων ἀπομοίρια, Κλείτωρ.
ἔμπαλιν ἰθυτενῶν Δᾶμις ἀπὸ σαλίκων.
αὐθ' ὧν εὐαγρίην, ὧ μὲν, χθονὸς, ὧ δὲ, διδοίης
ἐξ ἁλός. ὧ δὲ, νέμοις ἠέρος ὠφελίην.

Λεωνίδου ταραντίνου.

Ο κρὴς Θηρίμαχος, τὰ λαγωβόλα Πανὶ λυκαίῳ
ταῦτα πρὸς ἀρκαδικοῖς ἐκρέμασε σκοπέλοις.
ἀλλὰ σὺ Θηριμάχῳ δώρων χάριν ἀγρότα δαῖμον,
χεῖρα κατιθύνοις τοξότιν ἐν πολέμῳ.
ἔν τε συναγκείαισι παρίστασο δεξιτερῇσι,
πρῶτα διδοὺς ἄγρης δῶρα κατ' αὐλιπάλων.

Παύλου σιλεντιαρίου.

Σοὶ τόδε πενταίχμοισι ποδῶν ὡπλισμένον ἀκμαῖς
ἀκροχανὲς φονίης κρατὶ συνεξορύχας,
αὖθι τὸ δέρμα λέοντος ὑπὲρ πίτυν αἰγιπόδη Πάν
Τεῦκρος ἄραψ, κ' αὐτὴν ἀγρότιν αἰγανέην.
αἰχμῆς δ' ἡμιβρῶτι τύποι μίμνουσιν ὀδόντων.
ᾗ ἔπι βρυχητὴν θὴρ ἐκὼν ὦσε χόλον.
ὑδριάδες νύμφαι δὲ σὺν ὑλονόμοισι χορείαν
στῆσαν, ἐπεὶ κ' αὐτὰς πολλάκις ἐξεφόβει.

Ζωνᾶ.

Τοῦτό σοι ὑλειῶτα κατ᾽ ἀγρειάδος πλατάνοιο
δέρμα, λυκορραίστης ἐκρέμασεν Τελέσων
καὶ τὰν ἐκ κοτίνοιο καλαύροπα· τᾷ ποκα τῆνος
πολλάκι ῥομβητὰν ἐκ χερὸς ἧκε βόλου.
ἀλλὰ τύ, Πὰν βοῦτα, τὰ μὴ πολύολβά τε δέξαι
δῶρα, καὶ εὐαγρεῖν τῷ δ᾽ ἐπίνευσον ὄρει.

Ἀντιπάτρου.

Γηραλέον νεφέλας τρύχος τόδε, καὶ τριέλικτον
ἰχνοπέδαν, καὶ τὰς νευροτενεῖς παγίδας,
κλωβούς τ᾽ ἀμφιρρῶγας, ἀνασπαστούς τε ῥάγχας,
καὶ πυρὶ θηγαλέους ὀξυπαγεῖς σταλίκας,
καὶ τὰν εὔκολλον δρυὸς ἰκμάδα, τόν τε πετεινῶν
ἀγρευτὰν ἰξῷ μυδαλέον δόνακα,
καὶ κρυφίοις τρίκλωστον ὑποσπαστῆρα βόλοιο,
ἀρκύν τε γλαγερῶν λαιμοπέδαν γεράνων,
σοὶ Πὰν ὦ σκοπιῆτα, γέρας θέτο παῖς Νεολαίδα,
Κράμβις ὁ θηρευτής, ἀρκὰς ἀπ᾽ Ὀρχομενοῦ.

Λεωνίδου. οἱ δὲ, Μνασάλκου.

Τὰν ἔλαφον Κλεόλαος ὑπὸ κναμοῖσι λοχήσας,
ἔκτανε Μαιάνδρου πὰρ τριέλικτον ὕδωρ,
θηκτῷ σαυρωτῆρι. τὰ δ᾽ ὀκτάρριζα μετώπων
φράγμαθ᾽, ὑπὲρ κραναὰν ἄλλος ἔπαξε πίτυν.

Ἀντιπάτρου.

Τὰν ἔλαφον λαδῶνα, καὶ ἀμφ᾽ ἐρυμάνθιον ὕδωρ,
νῶτά τε θηρονόμου φὸρ βομβῆναν φολόης,
παῖς ὁ Θεαρίδεω λασιώνιος εἷλε Λυκόρμας,
πλήξας ῥομβωτῷ δούρατος οὐρίαχῳ.
δέρμα δὲ, καὶ δικέραιον ἀπὸ στόρθυγγα μετώπου
σπασάμενος, κούρᾳ θῆκε παρ᾽ ἀγροτίδι.

ALEXANDER ... FERDINANDUS ... ARAGONUM (library stamp)

Σιμμίου.

Δέρμα, καὶ ὀργυιαῖα κέρα βοὸς ἐκ βασιλῆος,
ἀμφιτρυωνιάδᾳ κείμεθ' ἀνὰ πρόπυλον
τεσσαρακαιδεκάδωρα. τὸν, αὐχήεντα Φίλιππος
αὐτόμολον, κατὰ γᾶς ἤλασε δενὸς ἄκων,
βούβοτον ὀρβηλοῖο παρὰ σφυρὸν ἁ πολύολβος
ἠμαθία, τοίῳ κραίνεται ἁγεμόνι.

Εἰς τὸ αὐτὸ Αντιπάτρου.

Τὸν πάρος ὀρβηλοῖο μεμυκότα δειράσι ταῦρον,
τὸν πρὶν ἐρημωτὰν θῆρα μακηδονίας,
δαρδανέων ὀλετῆρ', ὁ κεραύνιος εἷλε φίλιππος,
πλήξας αἰγανέᾳ βρέγμα κυναγέτιδι.
καὶ τάδε σοι βοαγρᾶς ἡράκλεες οὐ δίχα βύρσας
θῆκεν ἀμαιμακέτου κρατὸς ὄρεγμα κέρα.
σᾶς τοι ὅδ' ἐκ ῥίζας ἀναδέδρομεν. οὔτι ἀεικὲς
πατρῴας ζαλοῦν ἔργα βοοκτασίας.

Εἰς τὸ αὐτὸ Σιμμίου.

Σοὶ γέρας ἀλκείδα μινυαμάχε τοῦτο φίλιππος
δέρμα τανυμύκου λευρὸν ἔθηκε βοός.
αὐτοῖς σὺν κεράεσσι τὸν βρεχμῷ κυδιόωντα
ἔσβεσεν ὀρβηλοῦ τρηχὺν ὑπὸ πρόποδα.
ὁ φθόνος αὐαίνοιτο. τεὸν δ' ἔτι κῦδος ἀέξοι,
ῥίζα βορραίου, κραντορος ἠμαθίας.

Αντιπάτρου.

Α φόρμιγξ, τά τε τόξα, καὶ ἀγκύλα δίκτυα φοίβῳ,
Σώσιδος, ἔκ τε φίλας, ἔκ τε πολυκράτεος.
χὠ μὲν ὀιστευτὴρ, κεραὸν βιόν. ἁ δὲ λυρῳδὸς,
τὰν χέλυν. ὡγρευτὴρ, ὤπασε πλεκτὰ λίνα.
ἀλλ' ὁ μὲν, ὠκυβόλων ἰῶν κράτος. ἁ δὲ, φέροιτο
ἄκρα λύρας. ὁ δ' ἔχοι πρᾶτα κυναγεσίας.

Ἀδήλου.

Κνωσιάδες, θαρσεῖτε. τὰ γὰρ τοῦ κρηνὸς ἐχέμμα
κεῖται ἐν ὀρτυγίῃ τόξα παρ' ἀρτέμιδι.
οἷς ὑμέων ἐκένωσεν ὄρος μέγα. νῦν δὲ πέπαυται
αἶγες, ἐπεὶ σπονδὰς ἡ θεὸς εἰργάσατο.

Αἴγιδος.

Καὶ σταλίκας, καὶ πτῶκα λαγωβόλα, σοὶ τάδε Μήδων
φοῖβε σὺν ἰξευταῖς ἐκρέμασεν καλάμοις.
ἔργων, ἐξ ὀλίγων ὀλίγην δόσιν. ἢν δέ τι μεῖζον
δωρήσῃ, τίσει τῶνδε πολυπλάσια.

Ἀγαθίου σχολαστικοῦ.

Σοὶ μάκαρ αἰγίκναμε, παράκτιον ἐν ποτὶ ῥωπαὶ
τὸν τράγον ὠδὶς σᾶς ἄγετ' ἀθηροσύνας.
σοὶ γὰρ καστορίδων ὑλακὰ, καὶ τρίστομος αἰχμὰ
εὔαδε, καὶ ταχινῆς ἔργα λαγοσφαγίης.
δίκτυά τ' ἐν ῥοθίοις ἁπλούμενα, καὶ καλαμευτὰς
κάμνων, καὶ μογερῶν πεῖσμα σαγηνοβόλων.
ἄνθετο δὲ Κλεόνικος, ἐπεὶ καὶ πόντιον ἄγραν
ἄνυε, καὶ πτῶκας πολλάκις ἐξεφόβει.

ΑΠΟ ΚΙΘΑΡΩΙΔΩΝ. 16

Παύλου σιλεντιαρίου.

Τὸν χαλκοῦν τέττιγα λυκωρεῖ λοκρὸς ἀνάπτει
Εὔνομος, ἀθλοσύνας μνᾶμα φιλοστεφάνου.
ἦν γὰρ ἀγὼν φόρμιγγος· ὁ δ' ἀντίος ἵστατο πάρθυς.
ἀλλ' ὅκα δὲ πλήκτρῳ λοκρὶς ἔκρεξε χέλυς,
βραγχὸν τετριγυῖα λύρας ἀπεκόμπασε χορδά.
πρὶν δὲ μέλος σκάζειν εὔποδος ἁρμονίης,
ἁβρὸν ἐπιτρύζων κιθάρας ὑπερίζετο τέττιξ,
καὶ τὸν ἀποιχομένου φθόγγον ὑπῆλθε μίτου.

τὰν δὲ πάρος λαλαγεῦσαν ἐν ἄλσεσιν ἀγρότιν ἠχώ,
πρὸς νόμον ἁμετέρας τρέψε λυροκτυπίης.
ὦ σε μάκαρ Λητῶε τεῷ τέττιγι γεραίρει,
χάλκεον ἱδρύσας ᾠδὸν ὕπερ κιθάρας.

Μακεδονίου ὑπάτου.

Τὴν κιθάρην Εὔμολπος ἐπὶ τριπόδων ποτὲ Φοίβῳ
ἄνθετο, γηραλέην χεῖρ' ἐπιμεμφόμενος.
εἶπε δὲ μὴ ψαύσαιμι λύρης ἔτι, μηδ' ἐθελήσω
τῆς πάρος ἁρμονίης ἐμμελέτημα φέρειν.
ἠϊθέοις μελέτω κιθάρης μίτος. ἀντὶ δὲ πλήκτρου,
σκηπανίῳ τρομερὰς χεῖρας ἐρεισόμεθα.

Λεωνίδου.

Οὐ μόνον ὑψηλοῖς ὑπὸ δενδρέσιν οἶδα καθίζων
ἀείδειν, ζαθερεῖ καύματι θαλπόμενος,
πρόφρων ἀνθρώποισι κελευθήτῃσιν ἀοιδός,
θηλείης ἔρσης ἰκμάδα γευόμενος,
ἀλλὰ καὶ εὐπήληκος ἀθηναίης ἐπὶ δουρὶ
τὸν τέττιγ' ὄψει μ' ὦνερ ἐφεζόμενον.
ὅσον γὰρ μούσαις ἐστέργμεθα, τόσον ἀθήνη
ἐξ ἡμείων. ἡ γὰρ παρθένος, αὐλοθετεῖ.

Ἀδήλου.

Τὸν νυμφῶν θεράποντα, φιλόμβριον, ὑγρὸν ἀοιδόν,
τὸν κρύφαις τερπόμενον βάτραχον,
χαλκῷ στηλώσας τις ὁδοιπόρος, εὐχὸς ἔθηκεν
καύματος ἐχθροτάτην δίψαν ἀκεσσάμενος.
πλαζομένῳ γὰρ ἔδειξεν ὕδωρ εὔκαιρον ἀείσας
κοιλάδος ἐκ δροσερῆς ἀμφιβίῳ στόματι.
φωνὴν δ' ἡγήτειραν ὁδοιπόρος οὐκ ἀπολείπων,

ΑΠΟ ΜΑΓΕΙΡΩΝ. Φιλίππου. 17

Σφῆνα τὰ πολλῶν κνισολάλων δαιτοτόμα,
συνειτρόφους τε ῥιπίδας πυριβρέμους,
ἠθμόν τε πουλύτρητον, ἠδὲ τετράπουν
πυρὸς γέφυραν ἐσχάραν κρεηδόκον,
ζωμήρυσίν τε τὴν λίπους ἀφρηλόγον,
ὁμοῦ κρεάγρῃ τῇ σιδηροδακτύλῳ,
βραδυσκελὴς Ἥφαιστε, σοὶ Τιμασίων
ἔθηκεν, ἀκμῆς γήρων ὀρφανισμένος.

Αρίστωνος.

Χύτρον τοι, ταύτην τε κρεάγρίδα, καὶ βαθυκαμπῆ
κλεῖδα συῶν, καὶ τὰν ἐτνοδόκον τορύναν,
καὶ πτερίναν ῥιπίδα, τὸν εὔχαλκόν τε λέβητα
σὺν πελέκει, καὶ τὰν λαιμοτόμον σφαγίδα,
ζωμοῦ τ' ἀμφ' ὀβελοῖσιν ἀρυστρίδα, τόν τε μαγείρων
σπόγγον ὑπὸ τριβακᾷ κεκλιμένον κοπίδι,
καὶ τοῦτον δικέρωνον ἁλοτρίβα, σὺν δὲ θυείαν
εὔπετρον, καὶ τὰν κρεοδόκον σκαφίδα,
ὀψοπόνος Σπινθὴρ Ἑρμῇ τάδε σύμβολα τέχνας
θήκατο, δαιτοσύνας ἄχθος ἀπωσάμενος.

ΑΠΟ ΜΕΘΥΣΩΝ. Ερατοσθένους. 18

Οἰνοπότας Ξενοφῶν κενεὸν πίθον ἄνθετο Βάκχῳ.
δέχνυσο δ' εὐμενέως. ἄλλο γὰρ οὐδὲν ἔχει.

ΕΙΣ ΝΑΟΥΣ. Σιμωνίδου. 19

Τόνδε ποτ' Ἕλληνες ῥώμῃ χερὸς, ἔργον ἄρηος,
εὐτόλμῳ ψυχῆς λήματι πειθόμενοι,
πέρσας ἐξελάσαντες, ἐλεύθερον Ἑλλάδι κόσμον
ἱδρύσαντ' οἱ Διὸς βωμὸν ἐλευθερίου.

ΑΠΟ ΝΑΥΤΩΝ. 20

Μακεδονίου ὑπάτου.

Νῆα Ποσειδάωνι πολύπλανος ἄνθετο Κράντος,
ἔμπεδον εὖ νηοῦ πέζαν ἐρεισάμενος,
κώρης δὴ ἀλέγουσαν ἐπὶ χθονός. ἧς ἔπι, Κράντος
εὔρυιν ἀνακλινθεὶς, ἄτρομον ὕπνον ἔχει.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Νῆά σοι ὦ πόντου βασιλεῦ, καὶ κοίρανε γαίης,
ἀντίθεμαι Κράντος μηκέτι τεγγομένην.
νῆα, πολυπλανέων ἀνέμων πτόρον. ἧς ἔπι, δειλὸς
πολλάκις ὠϊσάμην εἰσελάαν ἀΐδην.
πάντα δ' ἀπειπάμενος, φόβον, ἐλπίδα, πόντον, ἀέλλας,
πεζὸν ὑπὲρ γαίης ἴχνιον ἡδρασάμην.

ΑΠΟ ΝΑΥΗΓΩΝ. Λουκιανοῦ. 21

Γλαύκῳ, καὶ Νηρεῖ, καὶ Ἰνοῖ, καὶ Μελικέρτῃ,
καὶ βυθίῳ Κρονίδῃ, καὶ Σαμόθρηξι θεοῖς,
σωθεὶς ἐκ πελάγους Λουκίλλιος, ὧδε κέκαρμαι
τὰς τρίχας ἐκ κεφαλῆς. ἄλλο γὰρ οὐδὲν ἔχω.

Λουκιλλίου.

Εἰκόνα τῆς κήλης Διονύσιος ὧδ' ἀνέθηκε,
σωθεὶς ἐκ ναυτῶν τεσσαράκοντα μόνος.
τοῖς μηροῖς αὐτὴν γὰρ ὑποσδήσας, ἐκολύμβα.
ἔστω καὶ κήλης ἔντισιν εὐτυχίη.

ΑΠΟ ΝΕΩΝ. Θεοδωρίδου. 22

Ἁλικοῦ εἴτε κόμαι, καὶ ὁ κρώβυλος. ἃς ἄπο, φοίβῳ
πέξατο μολπαστὰς κῶμος ὁ τετραέτης.
αἰχμητὰν δ' ἐπέθυσεν ἀλέκτορα, καὶ πλακόεντα
παῖς ἡγησιδίκου πίονα τυροφόρον.

ὦ πολλάς,

ἀπόλλον, θείης τὸν Κρώβυλον εἰς τέλος ἄνδρα
οἴκου, καὶ κτεάνων χεῖρας ὑπέρθεν ἔχειν.

Τοῦ αὐτοῦ.

Καλῷ σὺν τέττιγι Χαρίδημος τρίχα τήνδε
κουρόσυνον, κούραις θῆκ' ἀμαρυνθιάσι,
σὺν βοῒ χερνιφθέντα. παῖς δ' ἴσον ἀστέρι λάμπει,
π[illegible] ὡς ἵππος χνοῦν ἀποσεισάμ[illegible].

Κριναγόρου.

Ἐσπερίου Μάρκελλος ἀνερχόμενος πολέμοιο
σκυλοφόρος, κραναῆς τέρμα παρ' Ἰταλίης,
ξανθὴν πρῶτον ἔκειρε γενειάδα. βούλετο πατρὶς
οὕτω, καὶ πέμψαι παῖδα, καὶ ἄνδρα λαβεῖν.

Ἀδήλου.

Ὥριον ἀνθήσαντας ὑπὸ κροτάφοισιν ἰούλους
κειράμενος, γενύων ἄρσενας ἀγγελίας.
φοίβῳ θῆκε Λύκων πρῶτον γέρας. εὔξατο δ' οὕτως
καὶ πολιὴν λευκῶν κεῖραι ἀπὸ κροτάφων.

## ΑΠΟ ΠΑΙΖΟΝΤΩΝ. 23

Λεωνίδου.

Εὔφημόν τοι σφαῖραν, εὐκρόταλόν τε Φιλοκλῆς
Ἑρμείῃ ταύτην πυξινέην πλαταγήν,
ἀστραγάλους θ', οἷς πόλλ' ἐπεμήνατο, καὶ τὸν ἑλικτὸν
ῥόμβον, κουροσύνης παίγνι' ἀνεκρέμασεν.

Ἀσκληπιάδου.

Νικήσας τοὺς παῖδας, ἐπεὶ καλὰ γράμματ' ἔγραψε
Κώναρος, ὀγδώκοντ' ἀστραγάλους ἔλαβεν.
κἀμὲ χάριν Μούσαις τὸν κωμικὸν ὧδε Χάρητα
πρεσβύτην, θορύβῳ θῆκέ με παιδαρίων.

Αγαθίου σχολαστικοῦ.

ικαίρῳ, δικέρωτα, δασυκνάμμω, δασυχαίταν
ἴξαλον, εὐσκάρθμω, λόχμιον, ὑλοβάτᾳ
φιλοσκοπέλῳ, λάσιον παρὰ πρῶνα Χαρικλῆς
κνακὸν ὑπηνήταν τόνδ᾽ ἀνέθηκε τράγον.

Λεωνίδου.

Τοῦτο χιμαιροβάτᾳ Τελέσων αἰγόνυχι Πανὶ
τὸ σκύλος ἀγρίης τεῖνε κατὰ πλατάνου,
καὶ τὰν ῥαιβόκρανον ἐϋστόρθυγγα κορύναν,
ᾇ πάρος αἱμωποὺς ἐστυφέλιξε λύκους,
γαυλούς τε γλαγοπῆγας, ἀγωγαῖόν τε κυνάγχαν,
καὶ τὴν εὐρίνων λαιμοπέδαν σκυλάκων.

Ιωάννου ποιητοῦ τοῦ Βαρβουκάλλου.

Πειθοῖ, καὶ Παφίᾳ, πακταν, καὶ κηρία σίμβλων
τῆς καλυκοστεφάνου νυμφίος Εὐρυνόμης,
ἑρμόφιλας ἀνέθηκεν ὁ βουκόλος. ἀλλὰ δέχοισθε
ἀντ᾽ αὐτᾶς, πακταν. ἀντ᾽ ἐμέθεν, τὸ μέλι.

Μακεδονίου ὑπάτου.

Δάφνις ὁ συρικτὰς τρομερῷ ποδὶ γήραϊ κάμνων,
χειρὸς ἀεργηλᾶς τάσδε βαρυνομένας,
Πανὶ φιλαγραύλῳ νομίαν ἀνέθηκε κορύναν,
γήραϊ ποιμνείων παυσάμενος καμάτων.
εἰσέτι γὰρ σύριγγι μελίσδεται. εἰσέτι φωνὰ
ἄτρομος ἐν τρομερῷ σώματι ναιετάει.
ἀλλὰ λύκοις σίντῃσιν ἀν᾽ οὔρεα, μή τις ἐμεῖο,
αἰπόλος ἀγγείλῃ γήραος ἀδρανίην.

Αδέσποτον.

Αὐλὸς Πανὶ Μελίσκος. ὃδ᾽ ἔννεπε μὴ γέρας αἴρειν
τούτοις. ἐκ καλάμων οἶστρον ἐπεσπασάμην.

Ἀνύτης.

ριξοκόμᾳ τᾷδε Πανὶ, καὶ αὐλιάσιν θέτο νύμφαις
δῶρον ὑπὸ σκοπιᾶς Θεύδοτος οἰονόμος,
αἵ μιν ὑπὸ ζαθέοιο θέρευς μέγα κεκμηῶτα
παῦσαν, ὀρέξασαι χερσὶ μελιχρὸν ὕδωρ.

## Ο ΣΤΡΑΤΙΩΤΩΝ. 25

Σιμωνίδου.

Τόξα τάδε πτολέμοιο πεπαυμένα δακρυόεντος,
νηῷ ὑπ' ἀθηναίης κεῖται ὑπωρόφια,
πολλάκι δὴ στονόεντα κατὰ κλόνον ἐν δαῒ φωτῶν,
περσῶν ἱππομάχων αἵματι λουσάμενα.

Μνησάρχου.

Σοὶ μὲν καμπύλα τόξα, καὶ ἰοχέαιρα φαρέτρα,
δῶρα παρὰ Προμάχου Φοῖβε τάδε κρέμαται.
ἰοὺς δὲ πτερόεντας, ἀνὰ κλόνον ἄνδρες ἔχουσιν
ἐν κραδίαις, ὀλοὰ ξείνια δυσμενέων.

Ἀντιπάτρου σιδωνίου.

Τὰν περ ἐνυαλίοιο, καὶ εἰράνας ὑποφᾶτιν,
μέλπουσαν κλαγγὰν βάρβαρον ἐκ στομάτων,
χαλκοπαγῆ σάλπιγγα, γέρας Φερενῖκος ἀθάνᾳ
λήξας καὶ πολέμου, καὶ θυμέλας, ἔθετο.

Σιμωνίδου.

Οὕτω τοι μελίη ταναὴ ποτὶ κίονα μακρὸν
ἧσο, πανομφαίῳ Ζηνὶ μένουσ' ἱερά.
ἤδη γὰρ χαλκός τε γέρων, αὐτή τε τέτρυσαι
πυκνὰ κραδαινομένη δηΐῳ ἐν πολέμῳ.

Παύλου σιλεντιαρίου.

Ἀσπίδα ταυρείην, ὄρυμα χροὸς, ἀντιβίων τε
Πολλάκις ἐγχείην γευσαμένην χολάδων,

Καὶ τὸν ἀλεξιβέλεμνον ἀπὸ στέρνοιο χιτῶνα,
καὶ κόρυν, ἱππείαις θριξὶ δασυνομένην,
ἄνθετο Λυσίμαχος γέρας ἄρεϊ, γηραλέον νῦν
ἀντὶ πανοπλίης βάκτρον ἀμειψάμενος.

Τοῦ αὐτοῦ.

Σοὶ τόδ' ὀμφάλιον σάκεος τρύφος, ὧ ἔπι, λαιὴν
ἔσχον ἀριστεύων, ἄνθετο Νικαγόρας.
πᾶν δὲ τὸ λοιπὸν, ἄκοντες, ἰσήριθμός τε χάλαζα
χερμὰς, καὶ ξιφέων ἐξεκόλαψε γένυς.
ἀλλὰ καὶ ἀμφίδρυπτον ἐὸν τόδε χειρὶ μεναίχμᾳ
σώζετο Νικαγόρᾳ. σῶζε δὲ Νικαγόραν.
Θεσμὸν τὸν σπάρτας μὲν ἐφύλαξεν, ἀμφὶ βοείᾳ
τῇ δέ τις ἀθρήσει πάντα φυλασσόμενον.

Παλλαδᾶ.

Τὸν θῶ, καὶ τὰς κνῆ, τὰν τ' ἀσπίδα, καὶ δόρυ, καὶ κρᾶ,
Γορδιοπριλαύριος ἄνθετο Τιμοθέῳ.

Εἰς τὸ αὐτὸ Εὐτολμίου ἰλλουστρίου.

Κνημῖδας, θώρηκα, σάκος, κόρυν, ἔγχος, ἀθλῶν
ξίφος μεμβιάδης γέλλιος ἐκρέμασεν.

Ἀντιφίλου.

Δοῦρας ἀλεξάνδροιο, λέγει δέ σε γράμματ' ἐκείνου
ἐκ πολέμου θέσθαι σύμβολον ἀρτέμιδι,
ὅπλον ἀνικήτοιο βραχίονος. ἆ καλὸν ἔγχος,
ᾧ πόντος, καὶ χθὼν εἶκε κραδαινομένῳ.
ἵλαθι δοῦρας ἀταρβές. αἰεὶ δέ σε πᾶς τις ἀθρήσας,
ταρβήσει, μεγάλης μνησάμενος παλάμης.

Ἡγησίππου.

Ἀσπὶς ἀπὸ βροτέων ὤμων Τιμάνορος ἦμαι
ναῷ ὑπωροφίας Παλλάδος ἀλκιμάχας,

πολλὰ σιδηρείου κεκονιμένα ἐκ πολέμοιο,
τὸν με φέροντ᾽ αἰεὶ ῥυομένα θανάτου.

Ἀδήλου.

Ἤδη τῇδε μένω πολέμου δίχα, καλὸν ἄνακτος
στέρνον ἐμῷ νώτῳ πολλάκι ῥυσαμένα.
καίπερ τηλεβόλους ἰοὺς, καὶ χερμάδι᾽ αἰνὰ
μυρία, καὶ δολιχὰς δεξαμένα κάμακας,
οὐδέ ποτε κλεινοῖο λιπεῖν περιμάκεα πῆχυν
φημὶ κατὰ βλοσυρὸν φλοῖσβον ἐνυαλίου.

Λεωνίδου.

Ὀκτώ τοι θυρεοὺς, ὀκτὼ κράνη, ὀκτὼ ὑφαντοὺς
θώρηκας, τόσσας δ᾽ αἱμαλέας κοπίδας,
ταῦτ᾽ ἀπὸ Λευκανῶν κορυφάσια ἔντε᾽ Ἀθάνᾳ
ἄγων Εὐανθεὺς θῆχ᾽ ὁ βιαιομάχας.

Τοῦ αὐτοῦ.

Τοὺς θυρεοὺς ὁ Μολοσσὸς Ἰτωνίδι δῶρον Ἀθάνᾳ
Πύρρος ἀπὸ θρασέων ἐκρέμασεν Γαλατᾶν,
πάντα τὸν Ἀντιγόνου καθελὼν στρατόν. οὐ μέγα θαῦμα,
αἰχμηταὶ καὶ νῦν, καὶ πάρος Αἰακίδαι.

Τοῦ αὐτοῦ.

Οἵδ᾽ ἀπὸ Λευκανῶν θυρεάσπιδες, οἵδε χαλινοὶ
στοιχηδὸν, ξεστοί τ᾽ ἀμφίβολοι κάμακες,
δέδμηνται, ποθέουσαι ὁμῶς ἵππους τε καὶ ἄνδρας
Παλλάδι. τοὺς δ᾽ ὁ μέλας ἀμφέχανεν θάνατος.

Μελεάγρου.

Τίς τάδε μοι θνητῶν ποτὶ θριγκοῖσιν ἀνῆψε
σκῦλα, πανατχίστην τέρψιν ἐνυαλίου;
οὔτε γὰρ αἰγανέαι περιαγέες, οὔτε τι πήληξ
ἄλοφος, οὔτε φόνῳ χρανθὲν ἄνηρε σάκος.

ἀλλ' αὐτῷ γανόωντα, καὶ ἀσυφήλικτα σιδήρῳ,
οἷά περ οὐκ ἐνοπᾶς, ἀλλὰ χορῶν ἔναρα.
τοῖς θάλαμον κοσμεῖτε γαμήλιον. ὅπλα δὲ λύθρῳ
λειβόμενα βροτέῳ, σηκὸς Ἄρηος ἔχοι.

Φιλίππου.

Ἔμβολα χαλκογένεια, φιλόπλοα τεύχεα νηῶν.
Ἀκτιακοῦ πολέμου κείμεθα μαρτύρια.
ἠνὶ δὲ σιμβλεύει κηροτρόφα δῶρα μελισσῶν,
ἑσμῷ βομβητῇ κυκλόσε βριθόμενα.
Καίσαρος εὐνομίης χρηστὴ χάρις. ὅπλα γὰρ ἐχθρῶν,
καρποὺς εἰρήνης ἀντεδίδαξε τρέφειν.

Ἀντιπάτρου.

Η κόρυς, ἀμφοτέρην ἔλαχον χάριν. εἰμὶ δ' ὁρᾶσθαι
καὶ τερπνὴ φιλίοις, καὶ φόβος ἀντιπάλοις.
ἐκ δὲ Πυλαιμένεος, Πείσων μ' ἔχει. ἔπρεπεν ἄλλαις
οὔτε κόρυς χαίταις, οὔτε κόμαι, κόρυθι.

ΑΠΟ ΤΑΧΥΓΡΑΦΩΝ. 26 Φιλίππου.

Κυκλοτερῆ μόλιβον, σελίδων σημάντορα πλευρῆς,
καὶ σμίλην δονάκων ἀκροβελῶν γλυφίδα,
καὶ κανόνι δ' ὑπάτην, καὶ τὴν παρὰ θῖνα κίσηριν,
αὐχμηρὸν πόντου τρηματόεντα λίθον,
Καλλιμένης Μούσαις ἀποπαυσάμενος καμάτοιο,
θῆκεν, ἐπεὶ γήρᾳ κανθὸς ἐπεσκέπετο.

Ἄδηλον.

Γραμμοτόκῳ πλήθοντα μελάσματι κυκλομόλιβδον,
καὶ κανόνα γραφίδων ἰθυτάτων φύλακα,
καὶ γραφικοῖο δοχεῖα κελαινοτάτοιο ῥεέθρου,
ἄκρα τε μεσοτόμους εὐγλυφέας καλάμους,
τρηχαλέην τε λίθον, δονάκων εὐθηγέα κόσμον,

ἔνθα ποδιτριβέων ὀξὺ χάραγμα πέλει,
καὶ γλυφάνου καλάμου πλατέος γλωχῖνα σιδήρου,
ὅπλα σοι ἐμπορίης ἄνθετο τῆς ἰδίης,
κεκμηκὼς Μενέδημος ὑπ' ἀχλύος ὄμμα παλαιὸν
ἑρμείᾳ. σὺ δ' ἀεὶ φέρβε τὸν ἐργατίνην.

Παύλου σιλεντιαρίου.

Γυρὸν κυανέης μόλιβον σημάντορα γραμμῆς,
καὶ σκληρὴν ἀκόνην τρηχαλέην καλάμων,
καὶ πλατὺν ὀξυντῆρα μεσοσχιδέων δονακήων,
καὶ κανόνα γραμμῆς ἰθυπόρου ταμίην,
καὶ χρόνιον γλυπτοῖσι μέλαν πεφυλαγμένον ἄντροις,
καὶ γλυφίδας καλάμων ἄκρα μελαινομένων,
ἑρμείῃ Φιλόδημος, ἐπεὶ χρόνου ἐκκρεμὲς ἤδη
ἦλθε κατ' ὀφθαλμῶν ῥυσὸν ἐπισκύνιον.

Ἄδηλον.

Τὸν τροχόεντα μόλιβδον, ὃς ἀτραπὸν οἶδε χαράσσειν,
ὀρθὰ παραξύων ἰθυτενῆ κανόνα,
καὶ χάλυβα σκληρὸν καλαμηφάγον, ἀλλὰ καὶ αὐτὸν
ἡγεμόνα γραμμῆς ἀπλανέος κανόνα,
καὶ λίθον ὀκρυόεντα, δόναξ ὅθι δισσὸν ὀδόντα
θήγεται, ἀμβλωθεὶς ἐκ δολιχογραφίης,
καὶ βυθίην τρίτωνος ἁλιπλάγκτοιο χαμεύνην
σπόγγον, ἀκεστορίην πλαζομένης γραφίδος,
καὶ κίστην πολύωπα μελανδόκον, εἰν ἑνὶ πάντα
συγγραφέος τέχνης ὄργανα ῥυομένην,
ἑρμῇ Καλλιμένης, τρομερὴν ὑπὸ γήραος ὄκνῳ
χεῖρα καθαρμόζων ἐκ δολιχῶν καμάτων.

Ἄδηλον.

Ἄβροχον ἀπλανέος μόλιβον γραπτῆρα κελεύθου,
ἧς ἔπι ῥιζοῦται γράμματος ἁρμονίη,

καὶ κανόνα τροχαλοῖο κυβερνητῆρα μολίβδου,
καὶ λίθακα τρητὴν σπόγγῳ εἰδομένην,
καὶ μέλανος σταθεροῖο δοχήιον, ἀλλὰ καὶ αὐτὴν
εὐγραφέων καλάμων ἀκροβαφεῖς ἀκίδας,
σπόγγον ἁλὸς βλάστημα, χυτῆς λειμῶνα θαλάσσης,
καὶ χαλκὸν δονάκων τέκτονα λεπταλέων,
ἔνθαδε Καλλιμένης φιλομειδέσιν ἄνθετο μούσαις,
γήραϊ κεκμηκὼς ὄμματα, καὶ παλάμην.

Ἰουλιανοῦ ἀπὸ ὑπάρχων αἰγυπτίου.

Ακλίνεας γραφίδεσσιν ἀπιθύνοντα πορείας
τόνδε μόλιβδον ἄγων, καὶ μολίβου κανόνα
σύνδρομον ἡνιοχῆα. πολυτρήτου τ' ἀπὸ πέτρης
λᾶαν, ὃς ἀμβλεῖαν θῆκε γλύφων καλάμου,
σὺν δ' αὐτοῖς καλάμοισι μέλαν, μυστήρια φωνῆς
αὐδομένης, σμίλης τ' ὀξυτόμου κοπίδα,
ἑρμείῃ φιλόδημος, ἐπεὶ χρόνος ὄμματος αὐγὴν
ἀμβλύνας, παλάμῃ δῶκεν ἐλευθερίην.

Τοῦ αὐτοῦ.

Αὔλακας ἰθυπόρων γραφίδων κύκλοισι χαράσσων,
ἄνθεμά σοι τροχόεις οὗτος ἐμὸς μόλιβος,
καὶ μολίβου χρωστῆρι κανὼν, τύπον ὀρθὸν ὀπάζων,
καὶ λίθος ὀξυδέων θηγαλέος καλάμων,
σὺν καλάμοις ἄγγος τε μελανδόκον, οἷσι φυλάσσει
αἰὼν ἐσσομένοις γῆρυν ἀποιχομένων,
δέχνυσο, καὶ γλυπτῆρα σιδήρεον. ὦ θρασὺς ἄρης
σὺν μούσαις, ἰδίην δῶκε διακτορίην.
ἑρμείη, σὰ γὰρ ὅπλα, σὺ δ' ἀσκανέος φιλοδήμου
ἴθυνε ζωὴν, λειπομένοιο βίου.

Αὐλὸν καμινευτῆρα τὸν φιλήνεμον,
ῥίνην τε τησίχρυσον ὠκυδήκτορα,
καὶ τὸν δίχηλον καρκίνον πυραγρέτην,
πλωκὸς πόδας τε τούσδε ληψανηλόγους.
ὁ χρυσοτέκτων Δημοφῶν Κυλληνίῳ
…κε, γήρᾳ κανθὸν ἐζοφωμένος.

Παγκρατίου.

Ἐκ πυρὸς ὁ ῥαιστὴρ, καὶ ὁ καρκίνος, ἥ τε πυράγρη,
ἄγκειθ' Ἡφαίστῳ δῶρα Πολυκράτεος.
ᾧ πυκνὸν κροτέων ὑπὲρ ἄκμονος, εὗρε τὸ παισὶν
ὄλβον, ὀϊζυρὴν ὡσάμενος πενίην.

Φιλίππου.

Σταθμὴν ἰθυτενῆ μολιβαχθέα, λευριτυπῆ τε
σφύραν, καὶ γυρὰς ἀμφιδέτους ἀρίδας,
καὶ στιβαρὸν πέλεκυν στελεχητόμον, ἰθύδρομόν τε
πρίονα μιλτείῳ στάγματι πειθόμενον,
τρύπανά θ' ἑλκεσίχειρα, τέρετρά τε, μιλτοθυρῆ τε
σχοῖνον ὑπ' ἀκρονύχῳ ψαλλομένην κανόνι,
σοὶ κούρη γλαυκῶπι Λεόντιχος ὤπασε δῶρον,
αὖθος ἐπεὶ γήρων, πᾶν ἀπέλυσε χρόνος.

Λεωνίδου.

Θῆρις ὁ δαιδαλόχειρ τᾷ Παλλάδι πῆχυν ἀκαμπῆ,
καὶ τετανὸν νώτῳ καμπτόμενον πρίονα,
καὶ πέλεκυν, ῥυκάναν τ' εὐαγέα, καὶ περιαγὲς
τρύπανον, ἐκ τέχνας αὖθετο παυσάμενος.

ΤΕΛΟΣ ΤΟΥ ΕΚΤΟΥ
ΤΜΗΜΑΤΟΣ.

# ΑΡΧΗ ΤΟΥ ΕΒΔΟΜΟΥ ΤΜΗΜΑΤΟΣ.

ν τῷδε τῷ ἑβδόμῳ τμήματι περιέχεται ἑταιρικά[illegible]σα ἀποφθέγματα. τὰ μὲν, ὡς ἐγκώμια. τὰ δ' ὡς ἐπιστολαί. τὰ δ' ὡς ἂν ἕκαστον ἔτυχεν, ὅσα μὴ πρὸς τὸ [illegible]τερον, καὶ αἰσχρότερον ἀποκλίνει. [illegible]ὰ γὰρ τοιαῦτα, πολλὰ ἐν τῷ ἀντιγράφῳ ὄντα, παρέλιπε φησὶν ὁ Πλανούδης.

ALEXANDER · ARAGONVM · DEI GRA REX · FERDINANDVS SANTINI

Δὺ μέλος νὴ Πᾶνα τὸν ἀρκάδα πα-
κτίδι μέλπεις
ἢ Ζηνοφίλα λιγὺ, ἀδὺ κρέκεις τι μέ-
ποῖ σε φύγω; πάντη με περιστείχου-
σιν ἔρωτες,
οὐδ' ὅσον ἀμπνεῦσαι βαιὸν ἐῶσι χρόνον.
ἢ γάρ μοι μορφὴ βάλλει. πόθον; ἢ πάλι μοῦσα;
ἢ χάρις. ἢ τί λέγω; πάντα πυρὶ φλέγομαι.

Τοῦ αὐτοῦ.

Ναὶ τὸν ἔρωτα, θέλω τὸ παρ' οὔασιν ἡλιοδώρας
φθέγμα κλύειν, ἢ τᾶς Λατοΐδεω κιθάρας.

Ἄδηλον.

Τίς, ῥόδον ὁ στέφανος Διονυσίου, ἢ ῥόδον αὐτὸς
τοῦ στεφάνου; δοκέω λείπεται ὁ στέφανος.

Μελεάγρου.

Ο στέφανος περὶ κρατὶ μαραίνεται ἡλιοδώρας.
αὐτὴ δ' ἐκλάμπει τοῦ στεφάνου στέφανος.

Τοῦ αὐτοῦ.

Ἤδη λευκὸν ἴον θάλλει. θάλλει δὲ φίλομβρος
νάρκισσος, θάλλει δ' οὐρεσίφοιτα κρίνα.
ἤδη δ' ἡ φιλέραστος ἐν ἄνθεσιν ὥριμον ἄνθος,
Ζηνοφίλα, πειθοῦς ἡδὺ τέθηλε ῥόδον.
λειμῶνες, τί μάταια κόμαις ἔπι φαιδρὰ γελᾶτε;
ἡ γὰρ παῖς, κρείσσων ἡδυπνόων στεφάνων.

Τοῦ αὐτοῦ.

Πλέξω λευκόϊον, πλέξω δ' ἁπαλοῖς ἅμα μύρτοις
νάρκισσον, πλέξω καὶ τὰ γελῶντα κρίνα,

πλέξω καὶ κρόκον ἡδύν. πλέξω δ' ὑάκινθον
πορφυρέην, πλέξω καὶ φιλέραστα ῥόδα,
ὡς ἂν ἐπὶ κροτάφοις μυροβοστρύχου Ἡλιοδώρας
εὐπλόκαμον χαίτην ἀνθοβολῇ στέφανος.

Τοῦ αὐτοῦ.

φαμί ποτ' ἐν μύθοις τὰν εὔλαλον Ἡλιοδώραν
νικάσειν αὐτὰς τὰς χάριτας χάρισιν.

Τοῦ αὐτοῦ.

Ὀξυβόαι κώνωπες, ἀναιδέες, αἵματος ἀνδρῶν
σίφωνες, ἀνδρῶν κνώδαλα διπτέρυγα,
Βαιὸν Ζηνοφίλαν λίτομαι, πάρεθ' ἥσυχον ὕπνον
εὕδειν. τἀμὰ δ' ἰδοὺ σαρκοφαγεῖτε μέλη.
καὶ τί προσηκάτην αὐδῶ; καὶ θῆρες ἄτεγκτοι
τέρπονται τρυφερῷ χρωτὶ χλιαινόμενοι.
ἀλλ' ἔτι νῦν προλέγω κακὰ θρέμματα, λήγετε τόλμης,
ἢ γνώσεσθε χερῶν ζηλοτύπων δύναμιν.

Τοῦ αὐτοῦ.

Πταίης μοι κώνωψ ταχὺς ἄγγελος. οὔασι δ' ἄκροις
Ζηνοφίλας ψαύσας, προσψιθύριζε τάδε,
ἄγρυπνος μίμνει σε. σὺ δ' ὦ λήθαργε, φιλούντων
εὕδεις. εἶα. πέτευ. ναὶ φιλόμουσε, πέτευ.
ἥσυχα δὲ φθέγξαι, μὴ καὶ σύγκοιτον ἐγείρας,
κινήσῃς ἐπ' ἐμοὶ ζηλοτύπους ὀδύνας.
ἢν δ' ἀγάγῃς τὴν παῖδα, δοραῖς στέψω σε λέοντος
κώνωψ, καὶ δώσω χειρὶ φέρειν ῥόπαλον.

Τοῦ αὐτοῦ.

Νὴ τὴν νηξαμένην χαροποῖς ἐνὶ κύμασι Κύπριν,
ἔστι καὶ ἐκ μορφᾶς ἁ τρυφερὰ, τρυφερά.

Τοῦ αὐτοῦ.

Ἐντὸς ἐμῆς κραδίης τὴν εὔλαλον Ἡλιοδώραν
ψυχὴν τῆς ψυχῆς ἔπλασεν αὐτὸς ἔρως.

Σιμωνίδου.

Βοίδιον αὐλητρὶς, καὶ Πυθιὰς, αἵ ποτ' ἐρασταὶ
σοὶ Κύπρι, τὰς ζώνας, τάς τε γραφὰς ἔθεσαν.
ἔμπορε, καὶ φορτηγὲ, τὸ σὸν βαλάντιον οἶδεν
καὶ πόθεν αἱ ζῶναι, καὶ πόθεν οἱ πίνακες.

Μελεάγρου.

Ἀνθοδίαιτε μέλισσα, τί μοι χροὸς Ἡλιοδώρας
ψαύεις, ἐκπρολιποῦσ' εἰαρινὰς κάλυκας;
ἢ σύγε μηνύεις ὅτι καὶ γλυκὺ, καὶ δυσάριστον,
πικρὸν ἀεὶ κραδίᾳ κέντρον ἔρωτος ἔχει.
ναὶ δοκέω, τοῦτ' εἶπας. ἰὼ φιλέραστε παλίμπους
στεῖχε. πάλαι τὴν σὴν οἴδαμεν ἀγγελίην.

Ἀδήλου.

Καὶ πυρὶ, καὶ νιφετῷ με, καὶ εἰ βούλοιο, κεραυνῷ
βάλλε, καὶ εἰς κρημνοὺς ἕλκε, καὶ εἰς πελάγη.
τὸν γὰρ ἀπαυδήσαντα, πόθοις, καὶ ἔρωτι δαμέντα,
οὐδὲ Διὸς τρύχει πῦρ ἐπιβαλλόμενον.

Μελεάγρου.

Τὸ σκύφος ἡδὺ γέγηθε. λέγει δ' ὅτι τᾶς φιλέρωτος
Ζηνοφίλας ψαύει τοῦ λαλιοῦ στόματος.
ὄλβιον. εἴθ' ὑπ' ἐμοῖς χείλεσιν χείλεα θεῖσα,
ἀπνευστὶ ψυχὰν τὰν ἐν ἐμοὶ προπίοι.

Τοῦ αὐτοῦ.

Κηρύσσω τὸν ἔρωτα τὸν ἄγριον. ἄρτι γὰρ ἄρτι
ὀρθρινὸς ἐκ κοίτας ᾤχετ' ἀποπτάμενος.
ἔστι δ' ὁ παῖς γλυκύδακρυς, ἀείλαλος, ὠκὺς, ἀθαμβής,
σιμὰ γελῶν, πτερόεις νῶτα, φαρετροφόρος.

πατρὸς δ' οὐκέτ' ἔχω φράζειν τίνος. οὔτε γὰρ αἰθὴρ,
οὐ χθὼν φησὶ τεκεῖν τὸν θρασὺν, οὐ πέλαγος.
πάντῃ γὰρ καὶ πᾶσιν ἀπέχθεται. ἀλλ' ἐσορᾶτε
μή πυ νῦν ψυχαῖς ἄλλα τίθησι λίνα.
καίτοι κεῖνος ἰδοὺ περὶ φωλεόν. οὔ με λέληθας
τοξότα Ζηνοφίλας ὄμμασι κρυπτόμενος.

Τοῦ αὐτοῦ.

Πωλείσθω καὶ ματρὸς ἔτ' ἐν κόλποισι καθεύδων,
πωλείσθω. τί δέ μοι τὸ θρασὺ τοῦτο τρέφειν;
καὶ γὰρ σιμὸν ἔφυ, καὶ ὑπόπτερον ἄκρα δ' ὄνυξι
κνίζει. καὶ κλαῖον πολλὰ, μεταξὺ γελᾷ.
πρὸς δ' ἔτι λοιπὸν, ἄτρεπτον. ἀείλαλον, ὀξὺ δεδορκός.
ἄγριον. οὐδ' αὐτᾷ ματρὶ φίλᾳ τιθασόν.
πάντα τέρας τοιγὰρ, πεπράσεται. εἴτις ἀπόπλους
ἔμπορος ὠνεῖσθαι παῖδα θέλει, προσίτω.
καίτοι λίσσετ' ἰδοὺ δεδακρυμένος. οὔ σε πωλῶ.
θάρσει. Ζηνοφίλᾳ σύντροφος ὧδε μένε.

Τοῦ αὐτοῦ.

Εἶπε Λυκαινίδι Δορκὰς, ἰδοὺ ὡς ἐπίκτητα φιλοῦσα,
ἥλως. οὐ κρύπτει πλαστὸν ἔρωτα χρόνος.

Λεωνίδου.

Οὐκ ἀδικῶ τὸν ἔρωτα. γλυκύς. μαρτύρομαι αὐτὴν
Κύπριν. βέβλημαι δ' ἐκ δολίου κέραος.
καὶ πᾶς τεφροῦμαι. θερμὸν δ' ἐπὶ, θερμὸν ἰάλλει
ἄτρακτον. λωφᾷ δ' οὐδ' ὅσον ἰοβόλος.
χὠ θνητὸς τὸν ἀλιτρὸν ἐσώκη. θνητὸς ὁ δαίμων;
τίσομαι. ἐγκλήμων δ' ἔσομ' ἀλεξάμενος.

Μελεάγρου.

Νὺξ μακρὴ, καὶ χεῖμα. μέσην δ' ἐπὶ πλειάδα δύνει.
κἀγὼ παρὰ προθύροις νείσομαι ὑόμενος,

τρωθεὶς τῆς δολίης ἐλγύνης πόθῳ. οὐ γὰρ ὁ βρῶτας
Κύπρις, ἀνιηρὸν δ᾽ ἐκ πυρὸς ἧκε βέλος.

Τοῦ αὐτοῦ.

...υμαίων ἣν ἐσίδῃς καλλίστην ὦ ξένε φήσεις,
ἤλλακται διπλοῦν γράμμα συρηκοσίων.

Ποσειδίππου, ἢ Ἀσκληπιάδου.

Αὐτ[illegible] ἁπαλὴν Εἰρήνιον εἶδον ὁ[illegible]ς,
Κύπριδος ἐκ χρυσέων ἐρχομένην θαλάμων,
ἐκ τριχὸς ἄχρι ποδῶν ἱερὸν θάλος, οἷά τε λυγδοῦ
γλυπτὴν παρθενίων βαιβομένην θαλάμων.
καὶ πολλοὺς τότε χερσὶν ἐπ᾽ ἠϊθέοισιν ὀϊστοὺς
τόξου πορφυρέης ἧκαν ἀφ᾽ ἁρπεδόνης.

Μελεάγρου.

Ζηνοφίλα κάλλος μὲν ἔρως. σύγκοιτα δὲ φίλτρα
Κύπρις ἔδωκεν ἔχειν. αἱ χάριτες δὲ, χάριν.

Τοῦ αὐτοῦ.

Ναὶ μὰ τὸν εὐπλόκαμον Τιμοῦς φιλέρωτα κίκιννον,
καὶ μυρόπνουν Δημοῦς χρῶτα τὸν ὑπναπάτην,
ναὶ πάλιν Ἰλιάδος φιλοπαίγνια, ναὶ φιλάγρυπνον
λύχνον, ἐμῶν κώμων πολλὰ πιόντα μέλη,
βαιὸν ἔχω τό γε λειφθὲν ἔρως ἤδη χείλεσι πνεῦμα.
εἰ δ᾽ ἐθέλεις, καὶ τοῦτ᾽ εἰπὲ, καὶ ἐκπτύσομαι.

Ἀσκληπιάδου.

Αἱ σάμιαι Βιττὼ, καὶ νάννιον, εἰς ἀφροδίτης
φοιτᾶν τοῖς αὐτῆς οὐκ ἐθέλουσι νόμοις.
εἰς δ᾽ ἕτερ᾽ αὐτομολοῦσιν, ἃ μὴ καλά. δέσποτι Κύπρι,
μίσει τὰς κοίτας τὰς παρὰ σοὶ φυγάδας.

Τοῦ αὐτοῦ.

Τῷ θαλλῷ Διδύμη με συνήρπασεν. ὤμοι ἐγὼ δὲ,
τήκομαι ὡς κηρὸς πὰρ πυρὶ κάλλος ὁρῶν.

ALEXANDER · ARAGONVM

τί δὲ μέλαινα; τί τοῦτο; καὶ ἄνθρακες. ἀλλ' ἂν ἐκείνους
θάλψωμεν, λάμπουσ' ὡς ῥόδεαι κάλυκες.

Ποσειδίππου.

Λίσσομ' ἔρως, τὸν ἄγρυπνον ἐμοὶ πόθον Ἡλιοδώρας
κοίμισον, αἰδεσθεὶς μοῦσαν ἐμὴν ἱκέτιν.
ναὶ γὰρ δὴ τὰ σὰ τόξα, τὰ μὴ δεδιδαγμένα βάλλειν
ἄλλον, ἀεὶ δ' ἐπ' ἐμοὶ πτηνὰ χέοντα βέλη,
εἰ καί με κτείνῃς, λείψω φωνὴν προϊέντα
γράμματ', ἔρωτος ὅρα ξεῖνε μιαιφονίην.

Ἀγαθίου σχολαστικοῦ.

Εἰ φιλέεις, μὴ πάμπαν ὑποκλασθέντα χαλάσσῃς
θυμὸν ὀλισθηρῆς ἔμπλεον ἱκεσίης.
ἀλλά τι καὶ φρονέοις στεγανώτερον, ὅσσον ἐρύσσαι
ὀφρύας, ὅσσον ἰδεῖν βλέμματι φειδομένῳ.
ἔργον γάρ τι γυναιξὶν ὑπερφιάλους ἀθερίζειν,
καὶ καταγαγχάζειν τῶν ἄγαν οἰκτροτάτων.
κεῖνος δ' οὖν ἄριστος ἐρωτικὸς, ὃς τάδε μίξει
οἶκτον ἔχων ὀλίγῃ ξυνὸν ἀγηνορίῃ.

Παύλου σιλεντιαρίου.

Χρύσεος ἀψαύστοιο διέτμαγεν ἅμμα κορείας
Ζεὺς, διαδὺς Δανάας χαλκελάτους θαλάμους.
φαμὶ λέγειν τὸν μῦθον ἐγὼ τάδε, χάλκεα νικᾷ
δάπεδα, καὶ δεσμοὺς χρυσὸς ὁ πανδαμάτωρ.
χρυσὸς ὅλους ῥυτῆρας, ὅλας κληῖδας ἐλέγχει.
χρυσὸς ὑπηγνάμπτει τὰς σοβαροβλεφάρους.
καὶ Δανάας ἐλύγωσεν ὅδε φρένα. μή τις ἐραστὴς
λισσέσθω Παφίαν, ἀργύριον παρέχων.

Ἀγαθίου σχολαστικοῦ.

Τὸν σοβαρὸν Πολέμωνα, τὸν ἐν θυμέλῃσι Μενάνδρου
κείραντα γλυκερῆς τῆς ἀλόχου πλοκάμους,

ὁππότερος

ὁπλότερος Πολέμων μιμήσατο. καὶ τὰ ῥοδάνθης
 βόστρυχα, παντόλμοις χερσὶν ἐληΐσατο.
καὶ τραγικοῖς ἀχέεσσι τὸ κωμικὸν ἔργον ἀμείψας,
 μάστιξεν ῥαδινῆς ἄψεα θηλυτέρης.
ζηλομανὲς τὸ κόλασμα. τί γὰρ τόσον ἤλιτε κούρη,
 εἴ με κατοικτείρειν ἤθελε τειρόμενον;
σχέτ[illegible]. ἀμφοτέρους δὲ διέτμαγε μέχρι καὶ αὐτοῦ
 βλέμματος, ἐνστήσας αἴθοπα βασκανίην.
ἀλλ' ἔμπης, τελέθει μισεύμενος. αὐτὰρ ἔγωγε,
 δύσκολος, οὐχ ὁρόων τὴν περικειρομένην.

Τοῦ αὐτοῦ.

Εἰ καὶ νῦν πολιῇσι κατεύνασε, καὶ τὸ βαλυκρὸν
 κεῖνο κατημβλύνθη κέντρον ἐρωμανίης,
ὤφελον ὦ Κλεόβουλε πόθους νεότητος ἀθιγοῦς,
 νῦν καὶ ἐποικτείρειν ὁπλοτέρων ὀδύνας,
μηδ' αὐθὶ τοῖς ξυνοῖς κοτέειν μέγα, μηδὲ κομάων
 τὴν ῥαδινὴν κούρην πάμπαν ἀπαγλαΐσαι.
ἀντίπατρος τῇ παιδὶ πάρος μεμέλησο ταλαίνῃ.
 καὶ νῦν ἐξαπίνης ἀντίπαλος γέγονας.

Παύλου σιλεντιαρίου.

Μέχρι τίνος φλογόεσσαν ὑποκλέπτοντες ὀπωπὴν,
 φώριον ἀλλήλων βλέμμα τιτυσκόμεθα;
λεκτέον ἀμφαδίην μελεδήματα. κἢν τις ἐρύξῃ
 φράσσας, ἢ λέξας ἐχθρὸς ἔρωτος ἀνὴρ,
φάρμακον ἀμφοτέροις ξίφος ἔσσεται ἥδιον ἡμῖν,
 ξυνὸν ἀεὶ μεθέπειν ἢ βίον, ἢ θάνατον.

Ἀγαθίου σχολαστικοῦ εἰς ἀριάδνην
κιθαριστρίδα.

Εἴ ποτε μὲν κιθάρης ἐπαφήσατο πλῆκτρον ἔχουσα,
 κούρη Τερψιχόρης ἀντεμέλιζε μίτοις.

ἢν δὲ τραγικῷ ῥοιζήματι ῥήξατο φωνήν,
αὐτῆς Μελπομένης βόμβον ἀπεπλάσατο.
εἰ δὲ καὶ ἀγλαΐης κρίσις ἵστατο, μᾶλλον ἂν αὐτὴ
Κύπρις ἐνικήθη, κἂν ἐδίκαζε Πάρις.
σιγῇ φ' ἡμείων, ἵνα μὴ Διόνυσος ἀκούσας,
τῶν Ἀριαδνείων ζῆλον ἔχοι λεχέων.

Μακεδονίου ὑπάτου.

Φωσφόρε, μὴ τὸν ἔρωτα βιάζεο, μηδὲ διδάσκου
Ἄρεϊ γειτονέων, νηλεὲς ἦτορ ἔχειν.
ὡς δὲ πάρος Κλυμένης ὁρόων Φαέθοντα μελάθρῳ,
οὐ δρόμον ὠκυπόδην εἶχες ἀπ' ἀντολίης.
οὕτω μοι ποτὲ νύκτα μόγις ποθέοντι φανεῖσαν,
ἔρχεο δηθύνων, ὡς παρὰ Κιμμερίοις.

Τοῦ αὐτοῦ.

Λῆξον ἔρως, κραδίης τε καὶ ἥπατος. εἰ δ' ἐπιθυμεῖς
βάλλειν, ἄλλο τί μου τῶν μελέων μετάβα.

Τοῦ αὐτοῦ.

Ἕλκος ἔχω τὸν ἔρωτα. ῥέει δέ μοι ἕλκεος ἰχὼρ
δάκρυον, ὠτειλῆς οὔποτε τερσομένης.
εἰμὶ καὶ ἐκ κακότητος ἀμήχανος. οὐδὲ Μαχάων
ἤπιά μοι πάσσει φάρμακα δευομένῳ.
Τήλεφός εἰμι κόρη. σὺ δὲ γίνεο πιστὸς Ἀχιλλεύς.
κάλλεϊ σῷ παῦσον τὸν πόθον, ὡς ἔβαλες.

Παύλου σιλεντιαρίου.

Εἰπὲ τίνι πλέξεις ἔτι βόστρυχον, ἢ τίνι χεῖρας
φαιδρύνεις, ὀνύχων ἀμφιτεμὼν ἀκίδα.
ἐς τί δὲ κοσμήσεις ἁλιανθέϊ φάρεα κόχλῳ,
μηκέτι τῆς καλῆς ἐγγὺς ἰὼν Ῥοδόπης.
ὄμμασιν οἷς Ῥοδόπην οὐ δέρκομαι, οὐδὲ φαεινῆς
φέγγος ἰδεῖν ἐθέλω χρύσεον ἠριπόλης.

Μακεδονίου ὑπάτου.

Τὴν Νιόβην κλαίουσαν ἰδών ποτε βουκόλος ἀνὴρ,
θάμβεεν, εἰ λείβειν δάκρυον οἶδε λίθος.
αὐτὰρ ἐμὲ στενάχοντα τόσης κατὰ νυκτὸς ὀμίχλην
ἔμπνοος Εὐίππης οὐκ ἐλέαιρε λίθος.
αἴτιος ἀμφοτέροισιν ἔρως, ὀχετηγὸς ἀνίης.
τῇ Νιόβῃ τεκέων, αὐτὰρ ἐμοὶ, παθέων.

Παύλου σιλεντιαρίου.

Χρυσῆς εἰρύσασα μίαν τρίχα Δωρὶς ἐθείρης,
οἷα δορυκτήτους δῆσεν ἐμὰς παλάμας.
αὐτὰρ ἐγὼ, τοπρὶν μὲν ἐκάγχασα, δεσμὰ τινάξαι
Δωρίδος ἱμερτῆς εὐμαρὲς οἰόμενος.
ὡς δὲ διαρρῆξαι σθένος οὐκ ἔχον, ἔστενον ἤδη,
οἷά τε χαλκείῃ σφιγκτὸς ἀλυκτοπέδῃ.
καὶ νῦν ὁ τρισάποτμος ἀπὸ τριχὸς ἠέρτημαι
δεσπότις ἔνθ' ἐρύσῃ, πυκνὰ μεθελκόμενος.

Τοῦ αὐτοῦ.

Ὁ πρὶν ἀμαλθάκτοισιν ἐνὶ φρεσὶν ἡδὺν ἐν ἥβῃ
οἰστροφόρου Παφίης θεσμὸν ἀπειπάμενος,
γυιοβόροις βελέεσσιν ἀνέμβατος ὁ πρὶν ἐρώτων,
αὐχένα σοὶ κλίνω Κύπρι μεσαιπόλιος.
δέξο με καγχαλόωσα, σοφὴν ὅτι Παλλάδα νικᾷς
νῦν πλέον, ἢ τοπάρος μήλῳ ἐφ' ἑσπερίδων.

Τοῦ αὐτοῦ.

Ναὶ τάχα Ταντάλεως ἀχερόντια πήματα ποινῆς
ἡμετέρων ἀχέων οὐδὲν ἐλαφρότερα.
οὐ γὰρ ἰδὼν σέο κάλλος ἀπείργετο χείλεα μίξαι
χείλεϊ σῷ ῥοδέων ἁβροτέρῳ καλύκων.
Τάνταλος ἀκριτόδακρυς. ὑπερτέλλοντα δὲ πέτρον
δείδιεν. ἀλλὰ θανεῖν δεύτερον οὐ δύναται.

ω χρ ἐγὼ ζωὸς μὲν ἐὼν, κατατήκομαι οἴστρῳ.
ἐκ δ' ὀλιγοδρανίης, καὶ μόρον ἐγγὺς ἔχω.

Τοῦ αὐτοῦ.

Βέδη φλογεροῖο πυρὸς μένος. οὐκ ἔτι κάμνω,
... καταφθινύθω, ψυχόμενος Παφίῃ.
ἤ γὰρ μετὰ σάρκα, δ' ὀστέα, καὶ φρένας ἕρπει.
...μφαγον καθμαίνων οὗτος ὁ πικρὸς ἔρως.
καὶ φλὸξ συντελεταῖς ὅτε θύματα πάντα λαφύξει,
φορβῆς ἡ μανίη ψύχεται αὐτόματος.

Τοῦ αὐτοῦ.

Ωμοσα μιμνάζειν σέο τηλόθεν ἀργέτι κούρη,
ἄχρι δυωδεκάτης, ὦ πόποι, ἠριπόλης.
οὐδ' ἔτλην ὁ τάλας. τὸ γὰρ αὔριον ἄμμι φαάνθη
τηλοτέρω μήνης, ναὶ μὰ σὲ, δωδεκάτης.
ἀλλὰ θεοὺς ἱκέτευε φίλη, μὴ ταῦτα χαράξαι
ὅρκια, ποιναίης νῶϊν ὑπὲρ σελίδος.
θέλγε δὲ σαῖς χαρίτεσσιν ἐμὴν φρένα. μὴ δέ με μάστιξ
πότνα, κατασμύξῃ καὶ σέο, καὶ μακάρων.

Τοῦ αὐτοῦ.

Δικλίδας ἀμφετίναξεν ἐμοῖς Γαλάτεια προσώποις
ἔσπερος, ὑβριστὴν μῦθον ἐπευξαμένη.
ὕβρις ἔρωτας ἔλυσε. μάτην ὅδε μῦθος ἀλᾶται.
ὕβρις ἐμὴν ἐρέθει μᾶλλον ἐρωμανίην.
ὤμοσα γὰρ λυκάβαντα μένειν ἀπάνευθεν ἐκείνης.
ὦ πόποι, ἀλλ' ἱκέτης πρώϊος εὐθὺς ἔβην.

Τοῦ αὐτοῦ.

Η σὸν ἔτι φθινόπωρον ὑπέρτερον εἴαρος ἄλλης,
χεῖμα σὸν ἀλλοτρίου θερμότερον θέρεος.

Τοῦ αὐτοῦ.

Κεκρύφαλοι σφίγγουσι τὴν τρίχα. τήκομαι οἴστρῳ,
ῥείης πυργοφόρου δείκελον εἰσορόων.
ἀσκεπές ἐστι κάρηνον; ἐγὼ ξανθίσματι χαίτης,
ἔκχυτον ἐκ στέρνων ἐξεσόβησα νόον.
ἀργινναῖς ὀθόνῃσι κατήορα βόστρυχα κλίνεις;
οὐδὲν ἐλαφροτέρη φλὸξ κατέχει κραδίην.
μορφὴν τριχθαδίην, χαρίτων τριὰς ἀμφιπολεύει.
πᾶσα δέ μοι μορφὴ, πῦρ ἴδιον προχέει.

Τοῦ αὐτοῦ.

Φεῦ, φεῦ, καὶ τὸ λάλημα τὸ μείλιχον ὁ φθόνος εἴργει,
βλέμμα τε, λαθριδίως φθεγγομένων βλεφάρων.
ἱστάμενοι δ' ἄγχιστα, τεθήπαμεν ὄμμα, γεραιῆς,
οἷα πολυγλώσσου βουκόλου ἰναχίης.
ἵσταο, καὶ σκοπίαζε. μάτην δὲ σὸν ἦτορ ἀμύσσου.
οὐ γὰρ ἐπὶ ψυχὴν ὄμμα τεὸν τανύσεις.

Τοῦ αὐτοῦ.

Ἀνέρα λυσσητῆρι κυνὸς βεβολημένον ἰῷ,
ὕδασι θηρείην εἰκόνα φασὶ βλέπειν.
λυσσώων τάχα μικρὸν ἔρως ἐνέπηξεν ὀδόντα
εἰς ἐμὲ, καὶ μανίαις θυμὸν ἐληίσατο.
σὴν γὰρ ἐμοὶ καὶ πόντος ἐπήρατον εἰκόνα φαίνει,
καὶ ποταμῶν δῖναι, καὶ δέπας οἰνοχόον.

Τοῦ αὐτοῦ.

Μηκέτι τις πτήξειε πόθου βέλος. ἰοδόκην γὰρ
εἰς ἐμὲ λάβρος ἔρως ἐξεκένωσεν ὅλην.
μὴ πτερύγων τρομέοι τις ἐπήλυσιν. ἐξότε γάρ μου
λὰξ ἐπιβὰς, στέρνοις πικρὸν ἔπηξε πόδα,
ἀστεμφὴς ἀδόνητος ἐνέζεται. οὐδὲ μετέστη,
εἰς ἐμὲ συζυγίην κειράμενος πτερύγων.



ALEXAN... ARAGONVM ... S. FERDINANDI

Τοῦ αὐτοῦ.

Οὔτε ῥόδον στεφάνων ἐπιδεύεται, οὔτε σὺ πέπλων,
οὔτε λιθοβλήτων πότνια κεκρυφάλων.
μάργαρα σῆς χροιῆς ἀπολείπεται. οὐδὲ κομίζει
χρυσὸς ἀπεκτήτου σῆς τριχὸς ἀγλαΐην.
Ἰνδῴη δ' ὑάκινθος ἔχει χάριν αἴθοπος αἴγλης,
ἀλλὰ τεῶν λογάδων πολλὸν ἀφαυροτέρην.
χείλεα δὲ δροσόεντα, καὶ ἡ μελίφυρτος ἐκείνη
ἤθεος ἁρμονίη, κεστὸς ἔφυ Παφίης.
τούτοις πᾶσιν ἐγὼ καταδάμναμαι. ὄμμασι μόνοις
θέλγομαι, οἷς ἐλπὶς μείλιχος ἐνδιάει.

Τοῦ αὐτοῦ.

Τὴν, πρὶν ἐνεσφρήγισσεν Ἔρως θρασὺς εἰκόνα μορφῆς
ἡμετέρης θερμῷ βένθεϊ σῆς κραδίης,
φεῦ, φεῦ, νῦν ἀδόκητος ἀπέπλυσας. αὐτὰρ ἐγώ τι,
γραπτὸν ἔχω ψυχῇ σῆς τύπον ἀγλαΐης.
τοῦτον καὶ Φαέθοντι καὶ Ἅιδι βάρβαρε δείξω,
Κρῆσσαν ἐπισπέρχων εἰς σὲ δικασπολίην.

Τοῦ αὐτοῦ.

Δηθύνει Κλεοφαντίς. ὁ δὲ τρίτος ἄρχεται ἤδη
λύχνος ὑποκλάζειν, ἦκα μαραινόμενος.
αἴθε δὲ καὶ κραδίης πυρσὸς συναπέσβετο λύχνῳ,
μηδὲ μ' ὑπ' ἀγρύπνοις δηρὸν ἔκαιε πόθοις.
ἆ, πόσα τὴν Κυθέρειαν ἐπώμοσεν ἕσπερος ἐλθεῖν.
ἀλλ' οὔτ' ἀνθρώπων φείδεται, οὔτε θεῶν.

Τοῦ αὐτοῦ.

Ἐχθιζά μοι Ἑρμώνασσα φιλακρήτους μετὰ κώμους,
στέμμασιν αὐλείας ἀμφιπλέκοντι θύρας,
ἐκ κυλίκων ἐπέχευεν ὕδωρ. ἀμάθυνε δὲ χαίτην,
ἣν μόλις εἰς τρισσὴν πλέξαμεν ἀμφιλύκην.

ἐφλέχθην δ' ἔτι μᾶλλον ὑφ' ὕδατος. ἦν γὰρ ἐκείνης
λάθριον εἶχε κύλιξ πῦρ γλυκερῶν στομάτων.

Τοῦ αὐτοῦ.

Φράζεό μοι Κλεοφαντὶς, ὅση χάρις, ὁππότε δοιοὺς
λαῦρον ἐπαιγίζων ἶσος ἔρως κλονέει.
ποῖος ἄρης, ἢ τάρβος ἀπείριτον, ἠέ τις αἰδὼς
τούσδε διακρίνει πλέγματα βαλλομένους.
εἴη μοι μελέεσσι τὰ Λήμνιος ἥρμοσεν ἄκμων
δεσμὰ, καὶ Ἡφαίστου πᾶσα δολορραφίη.
μοῦνον ἐγὼ χαρίεσσα, τεὸν δέμας ἀγκὰς ἑλίξας,
θελγοίμην ὧδε σοῖς ἅψεσι βουλόμενος,
δὴ τότε καὶ ξεῖνός με, καὶ ἐνδάπιος, καὶ ὁδίτης,
πότνια, καὶ ἀρητὴρ, χἠ παράκοιτις ἴδοι.

Τοῦ αὐτοῦ.

Ἐξότε μοι πίνοντι συνεστιάουσα Χαρικλὼ,
λάθρη τοὺς ἰδίους ἀμφέβαλε στεφάνους,
πῦρ ὀλοὸν δάπτει με. τὸ γὰρ στέφος ὡς δοκέω τι
εἶχεν, ὃ καὶ Γλαύκην φλέξε Κρεοντιάδα.

Τοῦ αὐτοῦ.

Ὁ θρασὺς, ὑψαύχην τε, καὶ ὀφρύας εἰς ἓν ἀγείρων,
κεῖται παρθενικῆς παίγνιον ἀδρανέος.
ὁ πρὶν ὑπερβασίη δοκέων τὴν παῖδα χαλέπτειν,
αὐτὸς ὑποδμηθεὶς, ἐλπίδος ἐκτὸς ἔβη.
καί ῥ' ὁ μὲν, ἱκεσίοισι πεσὼν θηλύνεται οἴκτοις.
ἡ δὲ, κατ' ὀφθαλμῶν ἄρσενα μῆνιν ἔχει.
παρθένε θυμολέαινα, καὶ εἰ χόλον ἔνδικον ἔχεις,
σβέσσον ἀγηνορίην. ἐγγὺς ἴδες τὴν νέμεσιν.

Τοῦ αὐτοῦ πέμψαντος ἰχθὺν κόρῃ.

Εἰ καὶ τηλοτέρω Μερόης τεὸν ἴχνος ἐρείσεις,
πτηνὸς ἔρως πτηνῷ κεῖσε τάχει με φέρει.

εἰ καὶ σὺ ναυτιλίῃ πρὸς ὁ μόσχου ἵξεαι ἠῶ,
πεζὸς ἀμετρήτοις ἕψομαι ἐν σταδίοις.
εἰ δέ τι σοι στέλλω βύθιον γέρας, ἵλαθι κούρη,
εἰς σὲ θαλασσαίη τοῦτο φέρει Γαλάτη,
νικηθεῖσα τεοῦ χροὸς ἱμερόεντι,
τὸ πρὶν ἐπ' ἀγλαΐῃ θάρσος ἀπωσαμένη.

Τοῦ αὐτοῦ.

Ὀφθαλμοί, τέο μέχρις ἀφύσσετε νέκταρ ἐρώτων
κάλλεος ἀκρήτου ζωροπόται θρασέος;
τῆλε διαθρέξωμεν, ὅποι σθένος. ἐν δὲ γαλήνῃ,
νηφάλια σπείσω Κύπριδι μειλιχίῃ.
εἰ δ' ἄρα πού καὶ κεῖθι κατάσχετος ἔσσομαι οἴστρῳ,
γίνεσθε κρυεροῖς δάκρυσι μυδαλέοι,
ἐνδικον ὀτλήσοντες ἀεὶ πόνον. ἐξ ὑμέων γάρ,
φεῦ, πυρὸς ἐν τόσην ἤλθομεν ἐργασίην.

Τοῦ αὐτοῦ.

Ἱππομένην φιλέουσα, νόον προσέρεισα Λεάνδρῳ.
ἐν δὲ Λεανδρείοις χείλεσι πηγνυμένη,
εἰκόνα τὴν Ξάνθοιο φέρω φρεσί. πλεξαμένη δὲ
Ξάνθον, ἐς Ἱππομένην νόστιμον ἦτορ ἄγω.
πάντα τὸν ἐν παλάμῃσιν ἀναίνομαι. ἄλλοτε δ' ἄλλον
αἰὲν ἀμοιβαίοις πήχεσι δεχνυμένη,
ἀφνειὴν Κυθέρειαν ὑπέρχομαι. εἰ δέ τις ἡμῖν
μέμφεται, ἐν πενίῃ μιμνέτω οἰογάμῳ.

Μακεδονίου ὑπάτου.

Τὸ στόμα ταῖς χαρίτεσσι, προσώπατα δ' ἄνθεσι βάλλεις.
ὄμματα τῇ Παφίῃ. τὴν χέρα τῇ κιθάρῃ.
σκυλεύεις βλεφάρων φάος ὄμμασιν. οὔας ἀοιδῇ.
πάντοθεν ἀγρεύεις τλήμονας ἠιθέους.

Τοῦ αὐτοῦ.

Τὸ ξίφος ἐν κολεοῖσι τί σύρεται; οὐ μὰ σὲ κούρη,
οὐχ ἵνα τι πρήξω Κύπριδος ἀλλότριον,
ἀλλ' ἵνα σοι τὸν ἄρηα, καὶ ἀζαλέον περ ἐόντα,
δείξω τῇ μαλακῇ Κύπριδι πειθόμενον.
οὗτος ἐμοὶ ποθέοντι συνέμπορος. οὐδὲ κατόπτρου
[…]όμαι. ἐν δ' αὐτῷ δέρκομαι […]
καὶ καλὸς ὡς ἐν ἔρωτι. σὺ δ' ἢν ἀπ' ἐμεῖο λυθείης,
τὸ ξίφος ἡμετέρην δύσεται εἰς λαγόνα.

Τοῦ αὐτοῦ.

Τῷ χρυσῷ τὸν ἔρωτα μετέρχομαι. οὐ γὰρ ἀρότρῳ
ἔργα μελισσάων γίγνεται, ἢ σκαπάνη,
ἀλλ' ἔαρι δροσερῷ. μέλιτος γέμεν ἀφρογενείης,
ὁ χρυσὸς τελέθει ποικίλος ἐργατίνης.

Τοῦ αὐτοῦ.

Κικλίζεις, χρεμέτισμα γάμου πολυκέλευθον ἱεῖσα.
ἥσυχά μοι νεύεις. πάντα μάτην ἐρέθεις.
ὤμοσα τὴν δυσέρωτα κόρην, τρισὶν ὤμοσα πέτραις,
μή ποτε μειλιχίοις ὄμμασιν εἰσιδέειν.
παῖζε μόνη τὸ φίλημα. μάτην πόππυζε σεαυτῇ,
χείλεσι γυμνοτάτοις οὔ τινι μιγνυμένοις.

Τοῦ αὐτοῦ.

Παρμενὶς οὐκ ἔργῳ. τὸ μὲν οὔνομα καλὸν ἀκούσας,
ᾠισάμην. σὺ δέ μοι πικροτέρη θανάτου.
καὶ φεύγεις φιλέοντα, καὶ οὐ φιλέοντα διώκεις,
ὄφρα πάλιν κεῖνον καὶ φιλέοντα φύγῃς.

Ἀγαθίου σχολαστικοῦ.

Πᾶσαν ἐγὼ τὴν νύκτα κινύρομαι. εὖτε δ' ἐπέλθῃ
ὄρθρος ἐλινῦσαι μικρὰ χαριζόμενος,

DE REBUS REGIIS ... ALEXANDRI ... SAN FERDINANDI

[...]παταγεῦσι χελιδόνες. ἐς δέ με δάκρυ
βάλλουσι, γλυκερὸν δ' ὂν κῶμα παρωσάμεναι.
ὦ φθονεραὶ παύσασθε λαληθρίδες. οὐ γὰρ ἔγωγε
τὴν φιλομηλείην γλῶσσαν ἀπεθρισάμην.
[...]τυλον κλαίοιτε κατ' οὔρεα, καὶ γοάοιτε
εἰς ἔποπος, κραναὴν αὔλιν ἐφεζόμεναι,
[...]μεν. ἴσως δέ τις ἥξει ὄνειρος,
ὅς με ῥοδανθείοις πήχεσιν ἀμφιβάλοι.

Τοῦ αὐτοῦ.

Σώζεό σοι μέλλων ἐνέπειν, παλίνορσον ἰωὴν
ἂψ ἀνασειράζω, καὶ πάλιν ἄγχι μένω.
σὴν γὰρ ἐγὼ δασπλῆτα διάστασιν, οἷά τε πικρὴν
νύκτα καταπτήσσω τὴν ἀχεροντιάδα.
ἤματι γὰρ σέο φέγγος ὁμοίϊον. ἀλλὰ τὸ μέν που,
ἄφθογγον. σὺ δέ μοι, καὶ τὸ λάλημα φέρεις.
κεῖνο τὸ σειρήνων γλυκερώτερον. ὧ ἔπι, πᾶσαι
εἰσὶν ἐμῆς ψυχῆς ἐλπίδες ἐκκρεμέες.

Τοῦ αὐτοῦ.

Εἰμὶ μὲν οὐ φιλόοινος. ὅταν δ' ἐθέλῃς με μεθύσσαι,
πρῶτα σὺ γευομένη πρόσφερε, καὶ δέχομαι.
εἰ γὰρ ἐπιψαύσεις τοῖς χείλεσιν, οὐκέτι νήφειν
εὐμαρὲς, οὐδὲ φυγεῖν τὸν γλυκὺν οἰνοχόον.
πορθμεύει γάρ ἔμοιγε κύλιξ παρὰ σοῦ τὸ φίλημα,
καί μοι ἀπαγγέλλει τὴν χάριν, ἣν ἔλαβεν.

Τοῦ αὐτοῦ.

Μή ποτε λύχνε μύκητα φέροις, μηδ' ὄμβρον ἐγείροις,
μὴ τὸν ἐμὸν παύσῃς νυμφίον ἐρχόμενον.
αἰεὶ σὺ φθονέεις τῇ Κύπριδι. καὶ γὰρ ὅτ' ἡρὼ
ἥρμοσε Λεάνδρῳ. θυμέ, τὸ λοιπὸν ἔα.

Ἡφαίστου τελέθεις. καὶ πείθομαι, ὅττι χαλέπτων
Κύπριδι, θωπεύεις δεσποτικὴν ὀδύνην.

Τοῦ αὐτοῦ.

Τί στενάχεις; φιλέω. τίνα; παρθένον. ἦ ῥά γε καλήν;
καλὴν ἡμετέροις ὄμμασι φαινομένην.
ποῦ δέ μιν εἰσενόησας; ἐκεῖ ποτὶ δεῖπνον ἐπελθὼν,
ξυνῇ κεκλιμένην ἔδρακον ἐν στιβάσι.
ἐλπίζεις δὲ τυχεῖν; ναὶ, ναὶ, φίλος. ἀμφαδίην δὲ
οὐ ζητῶ φιλίην, ἀλλ' ὑποκλεπτομένην.
τὸν νόμιμον μᾶλλον φεύγεις γάμον; ἀτρεκὲς ἔγνων
ὅττι γε τῶν κτεάνων πουλὺ τὸ λειπόμενον.
ἔγνως. οὐ φιλέεις. ἐψεύσαο. πῶς δύναται γὰρ
ψυχὴ ἐρωμανέειν, ὀρθὰ λογιζομένη;

Τοῦ αὐτοῦ.

Δισσῶν θηλυτέρων μοῦνός ποτε μέσσα καθήμην,
τῆς μὲν ἐπιμείρων, τῇ δὲ χαριζόμενος.
εἷλκε δέ μ' ἡ φιλέουσα. πάλιν δ' ἐγὼ οἷά τε τις φὼρ,
χείλεϊ φειδομένῳ τὴν ἑτέρην ἐφίλουν,
ζῆλον ὑποκλέπτων τῆς γείτονος, ἧς τὸν ἔλεγχον,
καὶ τὰς λυσιπόθους ἔτρεμον ἀγγελίας.
ὀχθήσας δ' ἄρα εἶπον, ἐμοὶ τάχα καὶ τὸ φιλεῖσθαι,
ὡς τὸ φιλεῖν, χαλεπὸν δισσὰ κολαζομένῳ.

Τοῦ αὐτοῦ.

Ἡ πάρος ἀγλαΐῃσι μετάρσιος, ἡ πλοκαμῖδας
σειομένη παίκτας, καὶ σοβαρευομένη,
ἡ μεγαλαυχήσασα καθ' ἡμετέρης μελεδώνης,
χεῖρας ἐρικνώθη. τὴν πρὶν ἀφῆκε χάριν.
μαζὸς ὑπεκλίνθη. πέσον ὀφρύες. ὄμμα τέτηκται.
χείλεα βαμβαίνει φθέγμα τι γηραλέῳ.

DE ARAGONAM · ALEXANDRI · FERDINANDI SAN

τὴν πολιὴν, καλέω νέμεσιν πόθου, ὅτι δικάζει
γνώμας, ταῖς βαρεαῖς θᾶσσον ἐπερχομένη.

Τοῦ αὐτοῦ.

υτή μοι Κυθέρεια, καὶ ἱμερόεντες ἔρωτες,
τήξουσιν κενεὴν ἀχθόμενοι κραδίην,
σενας εἰ ποθέοιμι φιλέειν ποτέ. μήτε τυχήσω
μήτ' ἐπολισθήσω μείζοσιν ἀμπλακίαις.
ἄρκια θηλυτέρων ἀλιτήματα. κεῖνα κομίσσω.
καλλείψω δὲ νέους ἄφρονι Πιτταλάκῳ.

Τοῦ αὐτοῦ.

Ἦ ῥά γε καὶ σὺ Φίλιννα φέρεις πόθον; ἦ ῥα καὶ αὐτὴ
κάμνεις αὐαλέοις ὄμμασι τηκομένη;
ἦ σὺ μὲν ὕπνον ἔχεις γλυκερώτατον. ἡμετέρης δὲ
φροντίδος, οὔτε λόγος γίγνεται, οὔτ' ἀριθμός.
εὑρήσεις τὰ ὅμοια. τεὴν δ' ἀμέγαρτε παρειὴν,
ἀθρήσω θαμινοῖς δάκρυσι τεγγομένην.
κύπρις γὰρ τὰ μὲν ἄλλα, παλίγκοτος. ἓν δέ τι καλὸν
ἔλλαχεν, ἐχθαίρει τὰς σοβαρευομένας.

Τοῦ αὐτοῦ.

Ἡ ῥαδινὴ Μελίτη, ταναοῦ ἤδη γήραος οὐδῷ
τὴν ἀπὸ τῆς ἥβης οὐκ ἀπέθηκε χάριν,
ἀλλ' ἔτι μαρμαίρουσι παρηΐδες. ὄμμα δὲ θέλγον
οὐ λάθε. τῶν δ' ἐτέων ἡ δεκὰς οὐκ ὀλίγη.
μίμνει καὶ τὸ φρύαγμα τὸ παιδικόν. ἔνθαδε δ' ἔγνων,
ὅτι φύσιν νικᾶν ὁ χρόνος οὐ δύναται.

Τοῦ αὐτοῦ.

Σπεύδων εἰ φιλέει με μαθεῖν εὐῶπις Ἐρευθὼ,
πείραζον κραδίην πλάσματι κερδαλέῳ.
Βήσομαι ἐς ξείνην τινὰ που χθόνα. μίμνε δὲ κούρη
λέξω, ἡμετέρου μνῆστιν ἔχουσα πόθου.

ἡ δὲ, μέγα στονάχησε, καὶ ἥλατο, καὶ τὸ πρόσωπον
πλῆξε, καὶ εὐπλέκτου βότρυν ἔρρηξε κόμης.
καί με μένειν ἱκέτευεν. ἐγὼ δέ τις ὡς βραδυπειθὴς
ὄμματι θρυπτομένῳ, συγκατένευσα μένειν.
ὄλβιος οὖν πόθον εἰμί. τὸ, γὰρ μενέαινον ἀνύσσαι,
πάντων εἰς μεγάλην τῶνδε δέδε [illegible]

Τοῦ αὐτοῦ πέραν τῆς πόλεως διάγοντος
διὰ τὰ λύσιμα τῶν νόμων ὑπομνη-
στικὸν πρὸς Παῦλον σι-
λεντιάριον.

Ἐνθάδε μὲν χλοάουσα τεθηλότι βῶλος ὀράμνῳ,
φυλλάδος εὐκάρπου πᾶσαν ἔδειξε χάριν.
ἐνθάδε δὲ κλάζουσιν ὑπὸ σκιεραῖς κυπαρίσσοις
ὄρνιθες, δροσερῶν μητέρες ὀρταλίχων,
καὶ λιγυρὸν βομβεῦσιν ἀκανθίδες. ἡ δ' ὀλολυγὼν
τρύζει, τρηχαλέαις ἐνδιάουσα βάτοις.
ἀλλὰ τί μοι τῶν ἦδος; ἐπεὶ σέο μῦθον ἀκούειν
ἤθελον, ἢ κιθάρης κρούματα Δηλιάδος.
καί μοι δισσὸς ἔρως περικίδναται. εἰσοράαν γὰρ
καὶ σὲ μάκαρ ποθέω, καὶ γλυκερὴν δάμαλιν,
ἧς με περισμύχουσι μεληδόνες. ἀλλά με θεσμοί,
εἴργουσιν ῥαδινῆς τηλόθι δορκαλίδος.

Παύλου σιλεντιαρίου ἀντίγραφα
εἰς αὐτό.

Θεσμὸν ἔρως οὐκ οἶδε βιημάχος, οὐδέ τις ἄλλη
ἀνέρα νοσφίζει πρῆξις ἐρωμανίης.
εἰ δέ σε θεσμοπόλοιο μεληδόνος ἔργον ἐρύκει,
οὐκ ἄρα σοὶ στέρνοις λάβρος ἔνεστιν ἔρως.
ποῖος ἔρως, ὅτε βαιὸς ἁλὸς πόρος οἶδε μερίζειν
σὸν χρόα, παρθενικῆς τηλόθεν ὑμετέρης;

νειχόμενος Λείανδρος, ὅσσον κράτος ἐστὶν ἐρώτων,
δείκνυσιν, ἐννυχίου κύματος οὐκ ἀλέγων.
σὲ φίλος, παρέασι καὶ ὁλκάδες. ἀλλὰ θαμίζεις
μᾶλλον ἀθηναίῃ, Κύπριν ἀπωσάμενος.
θεσμοὺς Παλλὰς ἔχει. Παφίη πόθον. εἰπὲ τίς ἀνὴρ
εἷς ἑνὶ θητεύσει Παλλάδι, καὶ Παφίῃ;

Ἀγαθίου σχολαστικοῦ.

Ἠϊθέοις οὐκ ἔστι τόσος πόνος, ὁππόσος ἡμῖν
ταῖς ἀταλοψύχοις ἔχραε θηλυτέραις.
τοῖς μὲν, γὰρ παρέασιν ὁμήλικες. οἷς τὰ μερίμνης
ἄλγεα, μυθεῦνται φθέγματι θαρσαλέῳ.
παίγνιά τ' ἀμφιέπουσι παρήγορα, καὶ κατ' ἀγυιὰς
πλάζονται, γραφίδων χρώμασι ῥεμβόμενοι.
ἡμῖν δ' οὐδὲ φάος λεύσσειν θέμις, ἀλλὰ μελάθροις
κρυπτόμεθα, ζοφεραῖς φροντίσι τηκόμεναι.

Τοῦ αὐτοῦ.

Μηδὲν ἄγαν σοφὸς εἶπεν. ἐγὼ δέ τις ὡς ἐπέραστος,
ὡς καλὸς, ἠέρθην ταῖς μεγαλοφροσύναις.
καὶ ψυχὴν δοκέεσκον ὅλην ἐπὶ χερσὶν ἐμεῖο
κεῖσθαι τῆς κούρης τῆς τάχα κερδαλέης.
ἡ δ' ὑπερηέρθη. σοβαρὴν δ' ὑπερέσχεθεν ὀφρὺν,
ὥσπερ τοῖς προτέροις ἤθεσι μεμφομένη.
καὶ νῦν ὁ βλοσυρωπὸς, ὁ χάλκεος, ὁ βραδυπειθὴς,
ὁ πρὶν ἀερσιπότης, ἤριπον ἐξαπίνης.
πάντα δ' ἔναλλα γένοντο. πεσὼν δ' ἐπὶ γούνασι κούρης,
ἴαχον, ἱλήκοις, ἤλιτεν ἡ νεότης.

Τοῦ αὐτοῦ.

Ποίην τίς πρὸς ἔρωτας ἴοι τρίβον; ἐν μὲν ἀγυιαῖς,
μαχλάδος οἰμώξεις χρυσομανῆ σπατάλην.

δ' ἐπὶ παρθενικῆς πελάσεις λέχος, ἢν γάμον ἕξεις
 ἔννομον, ἢ ποινὰς τὰς περὶ τῶν φθορέων.
ριδίαις δὲ γυναιξὶν ἀτερπέα Κύπριν ἐγείρειν,
 τίς κεν ὑποτλαίη, πρὸς χρέος ἑλκόμενος;
ίχια λέκτρα κάκιστα, καὶ ἔκτοθεν εἰσὶν ἐρώτων.
 ὧν μέτα, παιδομανὴς κείσθω ἀλιτροσύνη.
ήρη σ... μὲν ἄκοσμος, ἔχει πάνδημον ἐραστήν,
 καὶ πάντα φρονέει δήνεα μαχλοσύνης.
 δὲ σαοφρονέουσα, μόλις φιλότητι μιγεῖσα,
 δέχνυται ἀστόργου κέντρα παλιμβολίης,
καὶ στυγέει τὸ τελεσθέν. ἔχουσα δὲ λείψανον αἰδοῦς,
 ἄψ ἐπὶ λυσιγάμους χάζεται ἀμβολίας.
ἢν δὲ μιγῇς ἰδίῃ θεραπαινίδι, τλῆθι καὶ αὐτὸς,
 δοῦλος ἐναλλάγδην δμωΐδι γιγνόμενος.
εἰ δὲ καὶ ὀθνείῃ, τότε σοι νόμος αἶσχος ἀνάψει,
 ὕβριν ἀνιχνεύων σώματος ἀλλοτρίου.
πάντ' ἄρα Διογένης ἔφυγεν τάδε. τὸν δ' ὑμέναιον
 ἤειδεν παλάμῃ, Λαΐδος οὐ χατέων.

Αρηναίου ῥεφερενδαρίου.

Ομματα δινεύεις κρυφίων ἰνδάλματα πυρσῶν.
 χείλεα δ' ἀκροβαφῆ λοξὰ παρεκτανύεις.
καὶ πολὺ κιχλίζουσα, σοβεῖς τὸν βόστρυχον αἴγλην.
 ἐγχυμένας δ' ὁρόω τὰς σοβαρὰς παλάμας.
ἀλλ' οὐ σῆς κραδίης ὑψαύχενος ὤκλασεν ὄγκος.
 οὕτω ἐθηλύνθης οὐδὲ μαραινομένη.

Παλλαδᾶ.

Νῦν καταγιγνώσκω καὶ τοῦ Διὸς ὡς ἀδράστου,
 μὴ μεταβαλλομένη τῆς σοβαρᾶς ἕνεκεν.
οὔτε γὰρ Εὐρώπης, οὔ τῆς Δανάης πόθι κάλλος,
 οὔθ' ἁπαλῆς Λήδης ἐστ' ἀπολειπομένης,

ALEXANDER PRINCEPS... ARAGONUM · REX · FERDINANDUS · SANTIUS

εἰ μὴ τὰς πόρνας παραπέμπεται. οἶδα γὰρ αὐτὴν
τῶν βασιλευουσῶν παρθενικῶν φθορέα.

Ἐρατοσθένους σχολαστικοῦ.

...ρος ἄλλος ἔχοι. φιλέειν δ' ἐγὼ οἶδα γυναῖκας,
ὧν φθονίῃ φιλίῃ οἷα φυλασσομένας.
... ἀπεχθαίρω γὰρ ἐκείνην
τὴν τρίχα τὴν φθονερὴν, τὴν ταχὺ φυομένην.

Λεοντίου.

Ψαῦε μελισταγέων στομάτων δέπας. εὗρες, ἄμελγε·
οὐ φθονέω. τὴν σὴν δ' ἤθελον αἶσαν ἔχειν.

Ἰουλιανοῦ ἀπὸ ὑπάρχων αἰγυπτίου.

Ι μὲν τῇ Μαρίη μεγαλίζεται. ἀλλὰ μετέλθοις
κείνης πότνα Δίκη κόμπον ἀγηνορίης.
μὴ θανάτῳ βασίλεια. τὸ δ' ἔμπαλιν, ἐς τρίχας ἥξοι
γῆρας. ἐς ῥυτίδων σκληρὸν ἵκοιτο ῥέθος.
τίσειαν πολιαὶ τάδε δάκρυα. κάλλος ὑπόσχοι
ψυχῆς ἀμπλακίην. αἴτιον ἀμπλακίης.

Φιλοδήμου.

Δακρύεις. ἐλεεινὰ λαλεῖς. περίεργα θεωρεῖς.
ζηλοτυπεῖς. ἅπτῃ πολλάκι. πυκνὰ φιλεῖς.
ταῦτα μὲν ἐστὶν ἐρῶντος. ὅταν δ' εἴπω παράκειμαι,
καὶ σὺ μένεις ἁπλῶς, οὐδὲν ἐρῶντος ἔχεις.

Τοῦ αὐτοῦ.

Μῆλον ἐγώ. βάλλει με φιλῶν σέ τις. ἀλλ' ἐπίνευσον
Ξανθίππη. κἀγὼ, καὶ σὺ, μαραινόμεθα.

Τοῦ αὐτοῦ.

Τὸν σιγῶντα Φιλαινί, συνίστορα τῶν ἀλαλήτων
λύχνον, ἐλαιηρῆς ἐκμεθύσασα δρόσου,
ἔξιθι. μαρτυρίην γὰρ ἔρως μόνος οὐκ ἐφίλησεν
ἔμπνουν. καὶ τυκτὴν κλεῖε Φιλαινί, θύραν.

Τοῦ αὐτοῦ.

Τοῦ αὐτοῦ.

Νὺξ ἱερὴ, καὶ λύχνε, συνίστορας οὔτινας ἄλλους
ὅρκοις, ἀλλ' ὑμέας εἱλόμεθ' ἀμφότεροι.
χὠ μὲν, ἐμὲ στέρξειν, κεῖνον δ' ἐγὼ οὔποτε λείψειν,
ὠμόσαμεν. κοινὴν δ' εἴχετε μαρτυρίην.
νῦν δ' ὁ μὲν, ὅρκια φησὶν ἐν ὕδατι κεῖνα φέρεσθαι,
[illegible]ε, σὺ δ' ἐν κόλποις αὐτὸν ὁρ[illegible]ρων.

Τοῦ αὐτοῦ.

Οὔπω σοι καλύκων γυμνὸν θέρος, οὐδὲ μελαίνει
βότρυς ὁ παρθενίους πρωτοβολῶν χάριτας,
ἀλλ' ἤδη θοὰ τόξα νέοι θήγουσιν ἔρωτες
Λυσιδίκη, καὶ πῦρ τύφεται ἐγκρύφιον.
φεύγωμεν δυσέρωτες, ἕως βέλος οὐκ ἐπὶ νευρῇ.
μάντις ἐγὼ πολλῆς αὐτίκα πυρκαϊῆς.

Τοῦ αὐτοῦ.

Ψυχή μοι προλέγει φεύγειν πόθον ἡλιοδώρας,
δάκρυα, καὶ ζήλους τοὺς πρὶν ἐπισταμένη.
φησὶ μὲν, ἀλλὰ φυγεῖν οὔ μοι σθένος. ἡ γὰρ ἀναιδὴς
αὐτὴ, καὶ προλέγει. καὶ προλέγουσα, φιλεῖ.

Τοῦ αὐτοῦ.

Ὁσσάκι Κυδίλλης ὑποκόλπιος. εἴτε κατ' ἦμαρ,
εἴτ' ἀποτολμήσας ἤλυθον ἑσπέριος,
οἶδ' ὅτι πὰρ κρημνὸν τέμνω πόρον, οἶδ' ὅτι ῥιπτῶ
πάντα κύβον κεφαλῆς αἰὲν ὑπέρθεν ἐμῆς.
ἀλλὰ τί μοι πλέον; ἐστὶ γὰρ οὐ θρασὺς. ἠδ' ὅταν ἕλκῃ
πάντοτ' ἔρως, ἀρχὴν οὐδ' ὄναρ οἶδε φόβου.

Τοῦ αὐτοῦ.

Ἑξήκοντα τελεῖ Χαριτὼ λυκάβαντος ὃν ὥρας.
ἀλλ' ἔτι κυανέων σύρμα μένει πλοκάμων,

καὶ χρὼς ἀργυρόπλωτος, ἔτ' ἀμβροσίη, ἔτι πειθὼ
πάσας ἔτι στάζει μυριάδας χαρίτων.

ΤΟΥ ΑΥΤΟΥ.

ἠράσθην. τίς δ' οὐχὶ κεκώμακε; τίς δ' ἀμύητος
κώμων; ἀλλ' ἐμάνην. ἐκ τίνος; οὐχὶ θεοῦ.
ἐρρίφθω. πολιὴ γὰρ ἐπείγεται ἀντὶ μελαίνης
θρὶξ ἤδη, συνετῆς ἄγγελος ἡλικίης.
καὶ παίζειν, ὅτε καιρὸς ἐπαίξαμεν. ἡνίκα καὶ νῦν
οὐκ ἔτι, λωιτέρης φροντίδος ἁψόμεθα.

ΤΟΥ ΑΥΤΟΥ.

Ηράσθης πλουτῶν Σωσίκρατες. ἀλλὰ πένης ὢν,
οὐκ ἔτ' ἐρᾷς. λιμὸς φάρμακον οἷον ἔχει.
ἡ δὲ πάρος σε καλοῦσα μύρον, καὶ τερπνὸν ἄδωνιν
Μηνοφίλα, νῦν τοι τοὔνομα πυνθάνεται.
τίς; πόθεν εἷς ἀνδρῶν; πόθι τοι πόλις; ἦ μόλις ἔγνως
τοῦτ' ἔπος, ὡς οὐδεὶς οὐδὲν ἔχοντι φίλος.

ΤΟΥ ΑΥΤΟΥ.

Η χαλεπὴ κατὰ πάντα φιλήσιον, ἡ τὸν ἐραστὴν
μηδέποτ' ἀργυρίου χωρὶς ἀναχομένη,
φαίνετ' ἀνεκτοτέρη νῦν, ἢ πάρος, οὐ μέγα θαῦμα
φαίνεται. ἠλλάχθαι τὴν φύσιν οὐ δοκέω.
καὶ γὰρ πηνυτέρη ποτὲ γίγνεται ἀσπὶς ἀναιδής.
δάκνει δ' οὐκ ἄλλως, ἢ θανατηφορίην.

ΤΟΥ ΑΥΤΟΥ.

Ηράσθην Δημοῦς, παφίης γένος. οὐ μέγα θαῦμα.
καὶ σαμίης Δημοῦς δεύτερον. οὐχὶ μέγα.
καὶ πάλιν ἀσιακῆς Δημοῦς τρίτον. οὐκ ἔτι ταῦτα
παίγνια. καὶ Δημοῦς τέτρατον ἀργολίδος.
αὐταί που μοῖραί με κατωνόμασαν φιλόδημον,
ὡς αἰεὶ Δημοῦς θερμὸς ἔχει με πόθος.

Τοῦ αὐτοῦ.

Μικκὴ, καὶ μελανεῦσα Φιλαίνιον, ἀλλὰ σελίνων
οὐλοτέρη, καὶ ἀμνοῦ χρῶτα τερενοτέρη,
καὶ κεστοῦ φωνεῦσα μαγώτερα, καὶ παρέχουσα
πάντα, καὶ αἰτῆσαι πολλάκι φειδομένη.
τοιαύτην στέργοιμι Φιλαίνιον, ἄχρις ἂν εὕρω
ἄλλην ὦ χρυσέη Κύπρι, τελειοτέρην.

Τοῦ αὐτοῦ.

Ψαλμὸς, καὶ λαλιὴ, καὶ κωτίλον ὄμμα, καὶ ὠδὴ
Ξανθίππης, καὶ πῦρ ἄρτι καταρχόμενον,
ὦ ψυχὴ φλέξει σε· τὸ δ' ἐκ τίνος, ἢ πότε, καὶ πῶς,
οὐκ οἶδα. γνώσῃ δύσμορε, τυφομένη.

Τοῦ αὐτοῦ.

Ω ποδὸς, ὦ κνήμης, ὦ τῶν, ἀπόλωλα δικαίως
μηρῶν, ὦ γλουτῶν, ὦ κτενὸς, ὦ λαγόνων,
ὦ ὤμων, ὦ μαστῶν, ὦ τοῦ ῥαδινοῖο τραχήλου,
ὦ χειρῶν, ὦ τῶν, μαίνομαι ὀμματίων,
ὦ κακοτεχνοτάτου κινήματος, ὦ περιάλλων
γλωττισμῶν, ὦ τῶν, κλῶμαι φωναρίων.
εἰ δ' ὀπικὴ, καὶ Φλῶρα, καὶ οὐκ ᾄδουσα τὰ Σαπφοῦς,
καὶ Περσεὺς Ἰνδῆς ἠράσατ' Ἀνδρομέδης.

Τοῦ αὐτοῦ.

Η κομψὴ, μεῖνόν με. τί σοι καλὸν οὔνομα; ποῦ σε
ἔστιν ἰδεῖν; ὃ θέλεις, δώσομεν. οὐδὲ λαλεῖς;
ποῦ γίνῃ; πέμψω μετὰ σοῦ τινά; μήτις ἔχει σε;
ὦ σοβαρὴ, ὑγίαιν'. οὐδ' ὑγίαινε λέγεις;
καὶ πάλι, καὶ πάλι σοι προσελεύσομαι. οἶδα μαλάσσειν
καὶ σοῦ σκληροτέρας. νῦν δ' ὑγίαινε γύναι.

Ἀντιφίλου.

Εἴδυμαι μὲν, εὔρωτα λακωνικόν. ἀλλ' ἀκάλυπτος,
ἁ Λήδα, χὤ κύκνος κρυπτόμενος κρονίδας.
οἱ δέ με τὸν δυσέρωτα καταίθετε. καὶ τί γένωμαι
ὄρνεον. εἰ γὰρ Ζεὺς κύκνος, ἐγὼ κόρυδος.

Μελεάγρου.

Ἡδὺ μέλεις μοῦσαι σὺν πηκτίδι, καὶ λόγος ἔμφρων
σὺν πειθοῖ, καὶ ἔρως καλὸς ἐφ' ἡνιόχῳ,
Ζηνοφίλα σοὶ σκῆπτρα πόθων ἀπένειμαν, ἐπεὶ σοὶ
αἱ τρισσαὶ χάριτες, τρεῖς ἔδοσαν χάριτας.

Τοῦ αὐτοῦ.

Τίς μοι Ζηνοφίλαν λαλίην παρέδειξεν ἑταίρην;
τίς μίαν ἐκ τρισσῶν ἤγαγέ μοι χάριτα;
ἦ ῥ' ἐτύμως ἀνὴρ κεχαρισμένον ἤνυσεν ἔργον,
δῶρα διδοὺς, καὐτὴν τὴν χάριν ἐν χάριτι.

Τοῦ αὐτοῦ.

Ἡ φιλέρως χαλεποῖς ἀσκληπιὰς, οἷα γαληνοῖς
ὄμμασι, συμπείθει πάντας ἐρωτοπλοεῖν.

Τοῦ αὐτοῦ.

Δεινὸς ἔρως, δεινός. τί δὲ τὸ πλέον; ἢν πάλιν εἴπω,
καὶ πάλιν οἰμώζων, πολλάκι δεινὸς ἔρως.
ἦ γὰρ ὁ παῖς τούτοισι γελᾷ, καὶ πυκνὰ κακισθεὶς,
ἥδεται. ἢν δ' εἴπω λοίδορα, καὶ τρέφεται.
θαῦμα δέ μοι, πῶς ἄρα διὰ γλαυκοῖο φανεῖσα
κύματος, ἐξ ὑγροῦ Κύπρι σὺ, πῦρ τέτοκας.

Τοῦ αὐτοῦ.

Ναὶ τὰν Κύπριν ἔρως, φλέξω τὰ σὰ πάντα πυρώσας
τόξα τε, καὶ σκυθικὴν ἰοδόκον φαρέτρην.
φλέξω ναί. τί μάταια γελᾷς, καὶ σιμὰ σεσηρὼς,
μυχθίζεις; τάχα που σαρδόνιον γελάσεις.

εἰ γάρ σευ τὰ πόδηγὰ πόθων ὠκύπτερα κόψας,
χαλκόδετον σφίγξω σοῖς πόδι ποσσὶ πέδην,
καί τοι καδμεῖον κράτος οἴσομεν, εἴ σε παρ᾽ οἴκου
ψυχῇ συζεύξω λυγρὰ παρ᾽ αἰπολίοις.
ἀλλ᾽ ἴθι δυσκίνητε. λαβὼν δ᾽ ἐπὶ κοῦφα πέδιλα,
ἐκπέτασον ταχινὰς εἰς ἑτέρους πτέρυγας.

Τοῦ αὐτοῦ.

Τί ξένον, εἰ βροτολοιγὸς ἔρως τὰ πυρίπνοα τόξα
βάλλει, καὶ λαμυροῖς ὄμμασι πυκνὰ γελᾷ;
οὐ μήτηρ στέργει μὲν ἄρη, γαμέτις δὲ τέτυκται
ἡφαίστου, κοινὴ καὶ πυρὶ καὶ ξίφεσιν;
μητρὸς δ᾽ οὐ μήτηρ ἀνέμων μάστιξι θάλασσα
τρηχὺ βοᾷ; γενέτης δ᾽ οὔτε τις, οὔτε τίνος;
τοὔνεκεν ἡφαίστου μὲν ἔχει φλόγα, κύμασι δ᾽ ὀργὴν
στέρξεν ἴσην, ἄρεος δ᾽ αἱματόφυρτα βέλη.

Τοῦ αὐτοῦ.

Κῦμα τὸ πικρὸν ἔρωτος, ἀκοίμητοί τε πνέοντες
ζῆλοι, καὶ κώμων χείμεριον πέλαγος,
ποῖ φέρομαι; πάντῃ δὲ φρενῶν οἴακες ἀφεῖνται.
ἢ πάλι τὴν τρυφερὴν σκύλλαν ἀποψόμεθα.

Τοῦ αὐτοῦ.

Αἰεί μοι δινεῖ μὲν ἐν οὔασιν ἦχος ἔρωτος.
ὄμμα δὲ σῖγα πόθοις τὸ γλυκὺ δάκρυ φέρει.
οὐδ᾽ ἡ νύξ, οὐ φέγγος ἐκοίμισεν, ἀλλ᾽ ὑπὸ φίλτρων
ἤδη που κραδίῃ γνωστὸς ἔνεστι τύπος
ὦ πτανοί, μὴ καί ποτ᾽ ἐφίπτασθαι μὲν ἔρωτες
οἴδατ᾽, ἀποπτῆναι δ᾽ οὐδ᾽ ὅσον ἰσχύετε;

Τοῦ αὐτοῦ.

Καὐτὸς ἔρως ὁ πτανὸς, ἐν αἰθέρι δέσμιος ἥλω,
τοῖς σοῖς ἀγρευθεὶς ὄμμασι Τιμάριον.



ALEXANDER · ... FERDINANDUS ...

Τοῦ αὐτοῦ.

Ω σοβαρὴ Βαλανῖσσα, τί δή ποτέ μ' ἔκπυρα λούεις;
πρὶν δ' ἀποδύσασθαι, τοῦ πυρὸς αἰσθάνομαι.

Τοῦ αὐτοῦ.

Εἰ κάλλει καυχᾷ, γίγνωσχ' ὅτι καὶ ῥόδον ἀνθεῖ.
ἀλλὰ μαρανθὲν ἄφνω, σὺν κοπρίοις ἐρίφη.
ἄνθος γὰρ, καὶ κάλλος, ἴσον χρόνον ἐστὶ λαχόντα.
ταῦτα δ' ὁμοῦ φθονέων, ἐξεμάρανε ὁ χρόνος.

Τοῦ αὐτοῦ.

Εἰ μὲν γηράσκει τὸ καλὸν, μετάδος πρὶν ἀπέλθῃ.
εἰ δὲ μένει, τί φοβῇ τοῦθ' ὃ μένει διδόναι;

Τοῦ αὐτοῦ.

Τὴν καταφλεξίπολιν Σθενελαΐδα, τὴν πολύμισθον,
τὴν τοῖς βουλομένοις χρυσὸν ἐρευγομένην,
γυμνήν μοι διὰ νυκτὸς ὅλης παρέκλινεν ὄνειρος,
ἄχρι φίλης ἠοῦς προῖκα χαριζόμενος.
οὐκ ἔτι γουνάσομαι τὴν βάρβαρον, οὐδ' ἐπ' ἐμαυτῷ
κλαύσομαι, ὕπνον ἔχων κεῖνο χαριζόμενον.

Ἀσκληπιάδου.

Αὐτοῦ μοι στέφανοι παρὰ δικλίσι ταῖσδε κρεμαστοὶ
μίμνετε, μὴ προπετῶς φύλλα τινασσόμενοι,
οὓς δακρύοις κατέβρεξα. κάτομβρα γὰρ ὄμματ' ἐρών-
ἀλλ' ὅτ' ἀνοιγομένης αὐτὸν ἴδητε θύρης, (των.
στάξαθ' ὑπὲρ κεφαλῆς ἐμὸν ὑετὸν, ὡς ἂν ἄμεινον
ἡ ξανθή γε κόμη τἀμὰ δάκρυα πίῃ.

Τοῦ αὐτοῦ.

Λύχνε, σὲ γὰρ παρεοῦσα τρὶς ὤμοσεν Ἡράκλεια
ἥξειν. κοὐχ ἥκει. λύχνε, σὺ δ' εἰ θεὸς εἶ,
τὴν δολίην ἀπάμυνον. ὅταν φίλον ἔνδον ἔχουσα
παίζῃ, ἀποσβεσθεὶς, μηκέτι φῶς πάρεχε.

Τοῦ αὐτοῦ.

Νεῖφε, χαλαζοβόλει, ποίει σκότος, αἶθε, κεραύνου.
πάντα τὰ πορφύροντ' ἐν χθονὶ σεῖε νέφη.
ἢν γάρ με κτείνῃς, τότε παύσομαι. ἢν δέ μ' ἀφείης,
καὶ διαθῇς τούτων χείρονα, κωμάσομαι.
ἕλκει γάρ μ' ὁ κρατῶν καὶ σοῦ θεός. ᾧ ποτε πεισθεὶς
Ζεῦ, διὰ χαλκείων χρυσὸς ἔδυς θαλάμων.

Ποσειδίππου.

Εν παφίῃ κυθέρεια παρήϊον εἶδε Κλέανδρος
Νικοῦς ἐν χαροποῖς κύμασι νηχομένης.
καιομένους δ' ὑπ' ἔρωτος ἐνὶ φρεσὶν ἄνθρακας αὐηὰ
ξηροὺς, ἐκ νοτερῆς παιδὸς ἐπεσπάσατο.
χὼ μὲν, ἐναυάγει γαίης ἔπι. τὴν δὲ, θαλάσσης
ψαύουσαν, πρηεῖς εἴχοσαν αἰγιαλοί.
νῦν δ' ἴσος ἀμφοτέρης φιλίης πόθος. οὐκ ἀτελεῖς γὰρ
εὐχαὶ, τὰν, κείνης δέξατ' ἐπ' ἠϊόνος.

Τοῦ αὐτοῦ.

Δάκρυα, καὶ κῶμοι, τί μ' ἐγείρετε, πρὶν πόδας ἆραι
ἐκ πυρὸς, εἰς ἑτέρην Κύπριδος ἀνθρακιήν;
λήγω δ' οὔποτ' ἔρωτος. ἀεὶ δέ μοι ἐξ ἀφροδίτης
ἄλγος, ὁ μὴ κρίνων κοινὸν ἄγουτι πόθος.

Ρούφου δομεστίκου.

Πάντα σέθεν φιλέω. μοῦνον δὲ σὸν ἄκριτον ὄμμα
ἐχθαίρω, στυγεροῖς ἀνδράσι τερπόμενον.

Αντιφίλου.

Εἶπον ἐγὼ καὶ πρόσθεν ὅτ' ἦν ἔτι φίλτρα Τορείνης
νήπια, συμφλέξει πάντας ἀεξομένη.
οἱ δ' ἐγέλων τὸν μάντιν. ἰδ' ὁ χρόνος, ὃν ποτ' ἐφώνουν,
οὗτος. ἐγὼ δὲ πάλαι τραύματος ᾐσθανόμην.



ALEXANDER... FERDINAND... ARAGONUM

καὶ τί πάθω; λύσαιεν ἐμὴν, ὅλαι φλόγες. ἢν δ' ἀπεκδύσω
φροντίδας. ἢν δ' αἰτῶ, παρθένος. οἰχόμεθα.

Λουκιλλίου.

Ἢ τὸ φιλεῖν περίγραψον ἔρως ὅλον, ἢ τὸ φιλεῖσθαι
πρόσθες, ἵν' ἢ λύσῃς τὸν πόθον, ἢ κεράσῃς.

Ῥουφίνου.

Παλλὰς ἐσαθρήσασα, καὶ ἥρη χρυσοπέδιλος
Μαιονίην, ἐκ κραδίης ἴαχον ἀμφότεραι,
οὐκ ἔτι γυμνούμεσθα. κρίσις μία ποιμένος ἀρκεῖ.
οὐ καλὸν ἡττᾶσθαι δὶς περὶ καλλοσύνης.

Τοῦ αὐτοῦ.

Κάλλος ἔχεις Κύπριδος. πειθοῦς στόμα. σῶμα, τὸ ἀκμὴν
εἰαρινῶν ὡρῶν. φθέγμα δὲ, Καλλιόπης.
νοῦν, καὶ σωφροσύνην, θέμιδος, καὶ χεῖρας ἀθήνης.
σὺν σοὶ δ' αἱ χάριτες, τέσσαρές εἰσι φίλαι.

Τοῦ αὐτοῦ.

Πέμπω σοὶ ῥοδόκλεια τόδε στέφος ἄνθεσι πλέξας,
αὐτὸς ὑφ' ὑμετέραις δρεψάμενος παλάμαις.
ἔστι κρίνον, ῥοδέη τε κάλυξ, νοτερή τ' ἀνεμώνη,
καὶ νάρκισσος ὑγρὸς, καὶ κυαναυγὲς ἴον.
ταῦτα στεψαμένη, λῆξον μεγάλαυχος ἐοῦσα.
ἀνθεῖς, καὶ λήγεις καὶ σὺ καὶ ὁ στέφανος.

Τοῦ αὐτοῦ.

Γείτονα παρθένον εἶχον ἀμύμονα ἀφροδίτην,
ἥ με τὴν ψυχὴν ἔφλεγεν οὐκ ὀλίγον.
αὕτη μοι προσέπαιζε. καὶ εἴ ποτε καιρὸς, ἐτόλμα.
ἠρυθρία τί πλέον τὸν πόνον ἠσθάνετο.
ἤνυσα πολλὰ καμών. παρακήκοα νῦν ὅτι τίκτει
ὥστε τί ποιοῦμεν; φεύγομεν, ἢ μένομεν;

Τοῦ αὐτοῦ.

Αὕτη πρόσθεν ἔην ἐρατόχροος, εἰαρόμασθος,
 εὔσφυρος, εὐμήκης, εὔοφρυς, εὐπλόκαμος.
ἠλλάχθη δὲ χρόνῳ, καὶ γήραϊ, καὶ πολιῇσι.
 καὶ νῦν τῶν προτέρων οὐδ' ὄναρ οὐδὲν ἔχει.

Τοῦ αὐτοῦ.

Α... ται τὸν ἔρωτα Μελισσιὰς, ἀλλὰ τὸ σῶμα
 κέκραγεν ὡς βελέων δεξάμενον φαρέτρην.
καὶ βάσις ἀστατέουσα, καὶ ἄστατος ἄσθματος ὁρμὴ,
 καὶ κοῖλαι βλεφάρων ἰσοτυπεῖς βάσιες.
ἀλλὰ πόθοι, πρὸς μητρὸς ἐϋστεφάνου Κυθερ...ης,
 φλέξατε τὴν ἀπιθῆ, μέχρις ἐρεῖ φλέγομαι.

Τοῦ αὐτοῦ.

Εἰ δυσὶν οὐκ ἴσχυσας ἴσην φλόγα πυρφόρε καῦσαι,
 τὴν ἐνὶ καιομένην ἢ σβέσον, ἢ μετάθες.

Τοῦ αὐτοῦ.

Οὐκ ἔσθ' οὗτος ἔρως, εἴ τις καλὸν εἶδος ἔχουσαν
 βούλετ' ἔχειν φρονίμοις ὄμμασι πειθόμενος,
ἀλλ' ὅστις κακόμορφον ἰδὼν πεφορημένος οἴστρῳ
 στέργει, μαινομένης ἐκ φρενὸς αἰθόμενος,
οὗτος ἔρως. πῦρ τοῦτο. τὰ γὰρ καλὰ πάντα, ὁμοίως
 τέρπει τοὺς κρίνειν εἶδος ἐπισταμένους.

Τοῦ αὐτοῦ.

Πέμπω σοι μύρον ἡδὺ, μύρῳ τὸ μύρον θεραπεύων,
 ὡς βρομίῳ σπένδων νᾶμα τὸ τοῦ βρομίου.

Τοῦ αὐτοῦ.

Ὑψοῦται ῥοδόπη τῷ κάλλεϊ. κἤν ποτε χαῖρε
 εἴπω, ταῖς σοβαραῖς ὀφρύσιν ἠσπάσατο.
ἤν ποτε καὶ στεφάνους πρὸ θυρῶν ὑπερεκκρεμάσωμαι.
 ὀργισθεῖσα, πατεῖ τοῖς σοβαροῖς ἴχνεσιν.

ALEXANDER ... ARAGONVM ... REX ... FERDINANDVS ... SANC...

ὦ ῥυτίδες, καὶ γῆρας αὐηλεὲς, ἔλθετε θᾶσσον.
ἀπολύσατε. καὶ ὑμεῖς πείσατε τὴν ῥοδόπην.

Τοῦ αὐτοῦ.

Ὁπλισμαι πρὸς ἔρωτα περὶ στέρνοισι λογισμόν·
οὐδέ με νικήσει μοῦνος ἐὼν πρὸς ἕνα.
θνατὸς δ' ἀθανάτῳ συνελεύσομαι. ἢν δὲ βοηθὸν
βάκχον ἔχῃ, τί μόνος πρὸς δύ' ἐγὼ δύναμαι;

Τοῦ αὐτοῦ.

Τέσσαρες αἱ χάριτες, παφίαι δύο, καὶ δέκα μοῦσαι,
Δερκυλὶς ἐν πάσαις, μοῦσα, χάρις, παφίη.

Τοῦ αὐτοῦ.

Ὄμματ' ἔχεις ἥρης Μελίτη. τὰς χεῖρας ἀθήνης.
τοὺς μαζοὺς παφίης. τὰ σφυρὰ τῆς θέτιδος.
εὐδαίμων ὁ βλέπων σε. τρισόλβιος ὅς τις ἀκούει.
ἡμίθεος δ' ὁ φιλῶν. ἀθάνατος δ' ὁ συνών.

Τοῦ αὐτοῦ.

Ῥουφῖνος τῇ μῇ γλυκερωτάτῃ ἐλπίδι πολλὰ
χαίρειν, εἰ χαίρειν χωρὶς ἐμοῦ δύνασαι.

Τοῦ αὐτοῦ.

Οὐκ ἔτι παιδομανής, ὡς πρίν ποτε. νῦν δὲ καλοῦμαι
θηλυμανής. καὶ νῦν δίσκος ἐμοὶ κρόταλον.
ἀντὶ δέ μοι παίδων ἀδόλου χροὸς, ἤρεσε γύψου
χρίσματα, καὶ φύκους ἄνθος ἐπεισόδιον.
Βοσκήσει δελφῖνας ὁ δενδροκόμης ἐρύμανθος,
καὶ πολιὸν πόντου κῦμα θοὰς ἐλάφους.

Τοῦ αὐτοῦ.

Εἰ μὲν ἐπ' ἀμφοτέροισιν ἔρως ἴσα τόξα τιταίνεις,
εἰ θεός. εἰ δὲ ῥέπεις πρὸς μέρος, οὐ θεὸς εἶ.

ALEXANDER PP VI ... FERDINANDVS

Τοῦ αὐτοῦ.

Οὕτως ὑπνώσαις Κωνώπιον, ὡς ἐμὲ ποιεῖς
κοιμᾶσθαι ψυχροῖς τοῖσδε παρὰ προθύροις.
οὕτως ὑπνώσαις ἀδικωτάτη, ὡς τὸν ἐραστὴν
κοιμίζεις. ἐλέου δ' οὐδ' ὄναρ ἠντίασας.
γείτονες οἰκτείρουσι. σὺ δ' οὐδ' ὄναρ. ἡ πολιὴ δὲ
αὐτίκ' ἀναμνήσει ταῦτά σε πάντα κόμη.

Τοῦ αὐτοῦ.

Εἰ ταύτας ὁ κριτὴς ὁ θεῶν ἐθεάσατο κούρας,
οὐκ ἔτ' ἂν οὐδ' ἐσιδεῖν ἤθελε τὰς προτέρας.

Τοῦ αὐτοῦ.

Ἤρισαν ἀλλήλαις, ῥοδόπη, Μελίτη, ῥοδόκλεια,
τῶν τρισσῶν τίς ἔχει κάλλος ἀρειότερον.
καί με κριτὴν εἵλοντο. καὶ ὡς θεαὶ αἱ περίβλεπτοι,
ἔστησαν μόνῳ νέκταρι λειπόμεναι.
ἀλλὰ σαφῶς ἃ πέπονθε Πάρις διὰ τὴν κρίσιν εἰδὼς
τὰς τρεῖς ἀθανάτους εὐθὺ συνεστεφάνουν.

Τοῦ αὐτοῦ.

Λουσάμενοι Προδίκη, πυκασώμεθα, καὶ τὸν ἄκρατον
ἕλκωμεν, κύλικας μείζονας ἀράμενοι.
Βαιὸς ὁ χαιρόντων ἐστὶ βίος. εἶτα τὰ λοιπὰ,
γῆρας κωλύσει, καὶ τὸ τέλος, θάνατος.

Τοῦ αὐτοῦ.

Εὐρώπης τὸ φίλημα. καὶ ἢν ἄχρι χείλεος ἔλθῃ,
ἡδεῖ, κἂν ψαύῃ μοῦνον ἄχρι στόματος.
ψαύει δ' οὐκ ἄκροις τοῖς χείλεσιν. ἀλλ' ἐρύσασα
τὸ στόμα, τὴν ψυχὴν ἐξ ὀνύχων ἀνάγει.

Τοῦ αὐτοῦ.

Ποῦ νῦν Πραξιτέλης; ποῦ δ' αἱ χέρες αἱ Πολυκλείτου,
αἱ ταῖς πρόσθε τέχναις πνεῦμα χαριζόμεναι;

ARAGONVM · ALEXANDER

τίς πλοκάμους Μελίτης εὐώδεας, ἢ πυρόεντα
ὄμματα, καὶ δειρῆς φέγγος ἀποπλάσεται;
ποῦ πλάσται; ποῦ δ' εἰσὶ λιθοξόοι; ἔπρεπε τῇδε
μορφῇ νηὸν ἔχειν, ὡς μακάρων ξόανον.

Τοῦ αὐτοῦ.

Οὐκ ἔλεγον Προδίκη γηράσκομεν; οὐ προεφώνουν
ἥξουσιν ταχέως αἱ διαλυσίφιλοι;
νῦν ῥυτίδες, καὶ θρὶξ πολιὴ, καὶ σῶμα ῥακῶδες,
καὶ στόμα τὰς προτέρας οὐκ ἔτ' ἔχον χάριτας.
μή τις σοι μετέωρε προσέρχεται, ἢ κολακεύων
λίσσεται; ὡς δὲ τάφον, νῦν σε παρερχόμεθα.

Τοῦ αὐτοῦ.

Σοί με λάτριν γλυκύδωρος Ἔρως παρέδωκε Βοῶπι,
ταῦρον ὑποζεύξας εἰς πόθον αὐτόμολον,
αὐτοθελῆ, πανύδουλον, ἑκούσιον, αὐτοκέλευστον,
αἰτήσοντα πικρὴν μήποτ' ἐλευθερίην,
ἄχρι φίλης πολιῆς, καὶ γήραος. ὄμμα βάλλοι δὲ
μήποτ' ἐφ' ἡμετέραις ἐλπίσι βασκανίη.

Τοῦ αὐτοῦ.

Τίς γυμνὴν οὕτω σε καὶ ἐξέβαλεν, καὶ ἔδειρεν,
τίς ψυχὴν λιθίνην εἶχε, καὶ οὐκ ἔβλεπεν;
μοιχὸν ἴσως εὕρηκεν ἀκαίρως κεῖνος ἐσελθών;
γιγνόμενον. πᾶσαι τοῦτο ποιοῦσι τέκνον.
πλὴν ἀπὸ νῦν, ὅταν οὗτος ἔσω. κεῖνος δ' ὅταν ἔξω,
τὸ πρόθυρον σφίγγου, μὴ πάλι ταῦτα πάθῃς.

Τοῦ αὐτ.

Ἐκβάλλει γυμνήν τις, ἐπὴν εὕρῃ ποτὲ μοιχὸν,
ὡς μὴ μοιχεύσας, ὡς ἀπὸ Πυθαγόρου.
εἶτα τέκνον κλαίουσα καταδρύπτῃς τὸ πρόσωπον,
καὶ παραριγώσεις μαινομένου προθύροις;

ἐκμάξαι. μὴ κλαῖε τέκνον· χ' εὑρήσομεν ἄλλον.
μηκέτι τὸν τὸ βλέπειν εἰδότα, καὶ τὸ δέρειν.

Τοῦ αὐτοῦ.

Μέχρι τίνος Προδίκη παρακλαύσομαι; ἄχρι τίνος σε
γουνάζομαι στερεὴ, μηδὲν ἀκουόμενος;
ἤδη καὶ λευκαί σοι ἐπισκιρτῶσιν ἔθειραι.
καὶ τάχα μοι δώσεις ὡς Ἑκάβη Πρίαμος.

Τοῦ αὐτοῦ.

Εὐκαίρως μονάσασαν ἰδὼν Προδίκην, ἱκέτευον.
καὶ τῶν ἀμβροσίων ἁψάμενος γονάτων,
σῶσον ἔφην ἄνθρωπον ἀπολλύμενον παρὰ μικρὰν
καὶ φεῦγον ζωῆς πνεῦμα σύ μοι χάρισαι.
ταῦτα λέγοντος ἔκλαυσεν. ἀποψήσασα δὲ δάκρυ,
ταῖς τρυφεραῖς χερσὶν ἡμᾶς ὑπεξέβαλεν.

Διονυσίου σοφιστοῦ.

Ἡ τὰ ῥόδα, ῥοδόεσσαν ἔχεις χάριν. ἀλλὰ τί πωλεῖς,
σαυτὴν, ἢ τὰ ῥόδα, ἠὲ συναμφότερα;

Τοῦ αὐτοῦ.

Εἴθ' ἄνεμος γενόμην. σὺ δέ γε στείχουσα παρ' αὐγὰς,
στήθεα γυμνώσαις, καί με πνέοντα λάβοις.
εἴθε ῥόδον γενόμην ὑποπόρφυρον, ὄφρα με χερσὶν
ἀραμένη, κομίσαις στήθεσι χιονέοις.
εἴθε κρίνον γενόμην λευκόχροον, ὄφρα με χερσὶν
ἀραμένη, μᾶλλον σῆς χροτιῆς κορέσῃς.

Μαικίου.

Ὤμοσ' ἐγὼ δύο νύκτας ἀφ' ἡδυλίου Κυθέρεια,
σὸν κράτος ἡσυχάσειν. ὡς δοκέω δὲ, γελᾷς,
τοὐμὸν ἐπισταμένη πάντως κακόν. οὐ γὰρ ὑποίσω
τὴν ἑτέρην. ὅρκους δ' εἰς ἀνέμους τίθεμαι.

αἰρῦμαι δ' ἀσεβεῖν, κείνης χάριν. ἢ τὰ σὰ τηρῶν
ὄρκι', ἀποθνήσκειν πότνι' ὑπ' δυσεβίης.

Τῦ αὐτοῦ.

Τί συγνή; τί δὲ ταῦτα κόμης εἰκαῖα φιλαινί
σκύλματα, καὶ νοτερῶν σύγχυσις ὀμματίων;
μὴ τὸν ἐραστὴν εἶδες ἔχοντ' ὑποκόλπιον ἄλλην;
εἶπον ἐμοί, λύπης φάρμακ' ἐπιστάμεθα.
δακρύεις; οὐ φὴς δέ; μάτην ἀρνεῖσθ' ἐπιβάλλῃ.
ὀφθαλμοὶ, γλώσσης ἀξιοπιστότεροι.

Τῦ αὐτοῦ.

Θέρμαιν' με ὁ καλὸς Κορνήλιος. ἀλλὰ φοβῦμαι
τοῦτο τὸ φῶς, ἤδη πῦρ μέγα γιγνόμενον.

Μάρκυ ἀργενταρίυ.

Μήνη χρυσόκερως δέρκῃ ταῦδε. καὶ πυριλαμπεῖς
ἀστέρες, οὓς κόλποις ὠκεανὸς δέχεται,
ὥς με μόνον προλιποῦσα μυρίπνοος ᾤχετ' ἀρίστη.
ἐνταῦθα δ' εὑρεῖν τὴν μάγον οὐ δύναμαι.
ἀλλ' ἔμπης αὐτὴν ζητήσομεν, ἢν ἐπιπέμψω
Κύπριδος ἰχνεύοντας ἀργυρέους σκύλακας.

Τῦ αὐτοῦ.

Τὴν ἰσχνὴν Διόκλειαν, ἀσαρκοτέρην ἀφροδίτης
ὄψεαι, ἀλλὰ καλοῖς ἤθεσι τερπομένην.
οὐ πολύ μοι τὸ μεταξὺ γενήσεται. ὧν δὲ ποθεινὰ
στέρνα πεσὼν, ψυχῆς κείσομαι ἐγγυτάτω.

Τῦ αὐτοῦ.

Εγχει Λυσιδίκης κυάθους δέκα. τῆς δὲ ποθεινῆς
Εὐφράντης, ἕνα μοι λάτρι δίδου κύαθον.
φήσεις Λυσιδίκην με φιλεῖν πλέον. οὐ μὰ τὸν ἡδὺν
Βάκχον, ὃν ἐν ταύτῃ λαβροποτῶ κύλικι,

ALEXANDER PP VII ... SAPIENTIAE ... FERDINANDUS

ἀλλά μοι Εὐφράντη, μία πρὸς δέκα. καὶ γὰρ ἀπείρους
ἀστέρας, ἐν μήνης φέγγος ὑπερτίθεται.

Τοῦ αὐτοῦ.

Παρθένον ἀλκίππην ἐφίλουν μέγα. καί ποτε πείσας,
αὐτὴν λαθριδίως εἶχον ἐπὶ κλισίῃ.
ἀμφοτέρων δὲ στέρνον ἐπάλλετο μή τις ἐπέλθῃ,
μή τις ἴδῃ τὰ πόθων κρυπτὰ προδιασότερον.
μητέρα δ᾽ οὐκ ἔλαθον κείνης λάλον. ἀλλ᾽ ἐσιδοῦσα
ἐξαπίνης, ἑρμῆς κοινὸς ἔφη θύγατερ.

Ἀντιπάτρου θεσσαλονικέως.

Πάντα καλός. τό γε μὴν χρυσὴν ἐπὶ τὴν ἀφροδίτην
ἔξοχα καὶ πάντων εἶπεν ὁ μαιονίδης.
ἢν μὲν γὰρ τὸ χάραγμα φέρῃς φίλος, οὔτε θυρωρὸς
ἐν ποσίν, οὔτε κύων ἐν προθύροις δέδεται.
ἢν δ᾽ ἑτέρως ἔλθῃς, καὶ ὁ κέρβερος. ὦ πλεονέκται,
οἱ πλοῦτοι πενίην ὡς ἀδικεῖτε μόνοι.

Τοῦ αὐτοῦ.

Ὄρθρος ἔβη Χρύσιλλα. πάλαι δ᾽ ἠῷος ἀλέκτωρ
κηρύσσων, φθονερὴν ἠριγένειαν ἄγει.
ὀρνίθων ἔρροις φθονερώτατε, ὅς με διώκεις
οἴκοθεν εἰς πολλοὺς ἠϊθέων ὀάρους.
γηράσκεις Τιθωνέ. τί γὰρ σὴν εὐνέτιν ἠῶ
οὕτως ὀρθριδίην ἤλασας ἐκ λεχέων;

Παρμενίωνος.

Εἰς Δανάην ὑέτισας ὀλύμπιε χρυσός, ἵν᾽ ἡ παῖς
ὡς δώρῳ πεισθῇ, μὴ τρέσῃ ὡς Κρονίδην.

Τοῦ αὐτοῦ.

Ὁ ζεὺς τὴν Δανάην, χρυσοῦ. κἀγὼ δέ σε, χρυσοῦ.
πλείονα γὰρ δοῦναι τοῦ Διὸς οὐ δύναμαι.

ALEXANDER · ARAGONVM · DE ARAGONIA · FERDINANDVS · SANTIS

Καλλιμάχου.

Ὤμοσε Καλλίγνωτος Ἰωνίδι μήποτ᾽ ἐκείνης
  ἕξειν μήτε φίλον κρείσσονα, μήτε φίλην.
ὤμοσεν, ἀλλὰ λέγουσιν ἀληθέα, τοὺς ἐν ἔρωτι
  ὅρκους μὴ βαίνειν οὔατ᾽ ἐς ἀθανάτων.
νῦν δ᾽ ὁ μὲν, ἄλλης δὴ θέρεται πυρί. τῆς δὲ ταλαίνης
  νύμφης, ὡς Μεγαρέων, οὐ λόγος, οὐδ᾽ ἀριθμός.

Σηκαίου.

Ἐχθαίρω τὸν ἔρωτα. τί γὰρ βαρὺς οὐκ ἐπὶ θῆρας
  ὄρνυται, ἀλλ᾽ ἐπ᾽ ἐμὴν ἰοβολεῖ κραδίην;
τί πλέον, εἰ θεὸς ἄνδρα καταφλέγει; ἢ τί τὸ σεμνὸν
  δῃώσας, ἀπ᾽ ἐμῆς ἆθλον ἔχει κεφαλῆς;

Ὀνέστου.

Οὔτε με παρθενικῆς τέρπει γάμος, οὔτε γεραιῆς.
  τὴν μὲν, ἐποικτείρω. τὴν δὲ, καταιδέομαι.
εἴη μήτ᾽ ὄμφαξ, μήτ᾽ ἀσταφίς. ἡ δὲ πέπειρος,
  εἰς Κύπριδος θαλάμους ὡραία καλλοσύνη.

Νικάρχου.

Οὐκ ἀποθνήσκειν δεῖ με; τί μοι μέλει, ἤν τε ποδαγρός,
  ἤν τε δρομεὺς γεγονὼς, εἰς Ἀΐδην ὑπάγω;
πολλοὶ γάρ μ᾽ ἐρέουσιν, ἔα, χωλόν με γενέσθαι.
  τῶν δ᾽ ἕνεκεν γὰρ ἴσως, οὔποτ᾽ ἐῶ θιάσους.

Τοῦ αὐτοῦ.

Πάντα λίθον κίνει. σαυτὴν τρέφε. καὶ γράφε πρός με,
  εἰς ποίην ἀκτὴν εὐφρόσυνον γέγονας;
εὐτακτεῖν πειρῶ. τὸ ἐνοίκιον αὔτι ποδιαστόν
  γίγνηται, καὶ ἐμοὶ φρόντισον ἱμάτιον.
ἢν ἐν γαστρὶ λάβῃς, λάβε. καὶ τέκε, μὴ θορυβηθῇς.
  εὑρήσει πόθεν ἐς ἐλθὸν εἰς ἡλικίην.

Τοῦ αὐτοῦ.

Τοῦ αὐτοῦ.

Κάλλος ἄνευ χαρίτων, τέρπει μόνον. οὐ κατέχει δέ,
ὡς ἄτερ ἀγκίστρου νηχόμενον δέλεαρ.
ὁπλίζευ Κύπρι τόξα, καὶ εἰς σκοπὸν ἥσυχος ἔλθε.
ἄλλον ἐγὼ γὰρ ἔχω τραύματος οὐδὲ τόπον.

Ἀργενταρίου.

[illegible]ὰς ἡδύπνοιε, καὶ εἰ δεκάκις μύρον εὕδεις,
ἔγρεο, καὶ δέξαι χερσὶ φίλαις στέφανον.
ὃν νῦν μὲν θάλλοντα, μαραινόμενον δὲ πρὸς ἠῶ
ὄψεαι, ἡμετέρης σύμβολον ἡλικίης.

Κριναγόρου.

Κἢν ῥίψῃς ἐπὶ λαιά, καὶ ἢν ἐπὶ δεξιὰ ῥίψῃς
Κριναγόρη, κενεοῦ σαυτὸν ὕπερθε λέχους.
εἰ μή σοι χαρίεσσα παρακλίνοιτο Γέμελλα,
γνώσῃ κοιμηθείς, οὐχ ὕπνον ἀλλὰ κόπον.

Βάσσου.

Οὐ μέλλω ῥεύσειν χρυσός ποτε. βοῦς δὲ γένοιτο
ἄλλος, χὠ μελίθρους κύκνος ἐπ' ἠιόνος.
Ζηνὶ φυλασσέσθω τάδε παίγνια. τῇ δὲ Κορίννῃ
τοὺς ὀβολοὺς δώσω τοὺς δύο, κοὐ πέτομαι.

Ἀδήλου.

Οὐκ ἔστι βαστάζω μὰ τὰ σ' ὄμματα τὴν φιλέρημον,
καὶ τὴν μονολεχῆ στεῖο διαζυγίην,
ἀλλ' αἰεὶ δακρύοισι πεφυρμένος, ἢ ἐπιορμίσσων
ἔρχομαι, ἢ μεγάλης νηὸν ἐς Ἀρτέμιδος
αὔριον, ἀλλὰ πάτρη με δεδέξεται. ἐς δὲ σὸν ὄμμα
πλήσομαι, ἐρρῶσθαι μυρία σ' εὐχόμενος.

Ἀδήλου.

Εἴτε σε κυανέῃσιν ἀποστίλβουσαν ἐθείραις,
εἴτε πάλιν ξανθαῖς εἶδον ἄνασσα κόμαις,

ἴση ἀπ' ἀμφοτέρων λάμπει χάρις. ἡ ῥά γε ταύταις
θρέψει συνοικήσει, καὶ πολιῇσιν ἔρως.

Ἄδηλον.

Ποῦ σοι κεῖνα μέλισσα τὰ χρύσεα, καὶ περίοπτα
τῆς πολυθρυλλήτου κάλλεα φαντασίης;
ποῦ δ' ὀφρύες, καὶ γαῦρα φρονήματα, καὶ μέγας αὐχὴν
καὶ σοβαρῶν ταρσῶν χρυσοφόρος σπατάλη;
νῦν πενιχρή, ψαφαρῆ τε, κόμη τ' ἤδη πᾶσι βραχεῖα,
ταῦτα τὰ τῶν σπατάλων τέρματα παλλακίδων.

Ἄδηλον.

Νῦν μοι χαῖρε λέγεις, ὅτε σου τὸ πρόσωπον ἀπῆλθεν
κεῖνο τὸ τῆς λύγδου βάσκανε λειότερον.
νῦν μοι προσπαίζεις, ὅτε τὰς τρίχας ἠφάνικας σου,
τὰς ἤδη τοῖς σοβαροῖς αὐχέσι πλαζομένας.
μηκέτι μοι μετέωρε προσέρχεο, μὴ δὲ συναντᾷ.
ἀντὶ ῥόδου γὰρ ἐγὼ τὴν βάτον οὐ δέχομαι.

Ἄδηλον.

Ἤδη φίλτατε λύχνε τρὶς ἔπταρες. ἦ τάχα τερπνὴν
ἐς θαλάμους ἥξειν Ἀντιγόνην προλέγεις.
εἰ γὰρ ἄναξ εἴη τόδ' ἐτήτυμον, οἷος Ἀπόλλων
θνητοῖς μάντις ἔσῃ καὶ σὺ παρὰ τρίποδι.

Ἄδηλον.

Γραῖα φίλη, θρέπτειρα, τί μου προσιόντος ὑλακτεῖς,
καὶ χαλεπὰς βάλλεις δὶς τόσον εἰς ὀδύνας;
παρθενικὴν γὰρ ἄγεις ποτὶ καλλέα. τῆς ἤδη βαίνων
ἴχνεσι, τὴν ἰδίην οἶμον ἴδ' ὡς φέρομαι,
εἶδος ἐσαυγάζων μόνον γλυκύ. τίς φθόνος ὄσσων
δύσμορε; καὶ μορφὰς ἀθανάτων βλέπομεν.

Ἄδηλον.

Αἰετὸς ὁ Ζεὺς ἦλθεν ἐπ' ἀντίθεον Γανυμήδην.

κύκνος ᾠδῇ ξανθὴν μητέρα τῆς ἑλένης.
οὕτως ἀμφότερ' οὐκ ἐστὶν ἀσύγκριτα. τὴν δύο δ' αὐτὴν,
ἄλλοις ἄλλο δοκεῖ. κρείσσον ἐμοί, τὰ δύο.

Αδηλον.

Εἴ μοι τίς μέμψοιτο δαεὶς, ὅτι λάτρις ἔρωτος
φοιτῶ, θηρευτὴν ὄμμασιν ἰξὸν ἔχων,
εἰ δεὶν καὶ Ζῆνα, καὶ ἄϊδα, τόν τε θαλάσσης
σκηπτοῦχον, μαλερῶν δοῦλον ἐόντα πόθων.
εἰ δὲ θεοὶ τοιοίδε, θεοῖς δ' ἐνέπουσιν ἕπεσθαι
ἀνθρώπους, τί θεῶν ἔργα μαθὼν ἀδι...;

Αδηλον.

Χαῖρε κόρη. καὶ δὴ σύ. τίς ἡ προσιοῦσα; τί πρὸς σε;
οὐκ ἀλόγως ζητῶ δεσπότις. ἡμετέρη.
ἐλπίζειν ἔξεστι; ζητεῖς δὲ τί; νύκτα. φέρεις τί;
χρυσίον. εὐθύμει. καὶ τόσον; οὐ δυνάσαι.

Αδηλον.

Αλλος ὁ μισοφίλας λέγεται παρὰ μαχλάσι κόσμος.
ἄλλος, ἐπεὶ πάσης γίνεται ἀκρασίης.
ἀλλ' ὅτε χαλδαῖοι κείνης πέλας. ἡ γὰρ ὁ ταύτης
οὐρανὸς, ἐντὸς ἔχει καὶ κύνα, καὶ διδύμους.

Αδηλον.

Γιγνώσκω χαρίεσσα φιλεῖν, πάνυ τὸν φιλέοντα.
καὶ πάλι γιγνώσκω, τόν με δακόντα δακεῖν.
μὴ λύπει με λίην στέργοντά σε, μὴ δ' ἐρέθιζε
τὰς βαρυοργήτους, μὴ θέλε πιερίδας.
ταῦτ' ἐβόων αἰεὶ, καὶ προὔλεγον, ἀλλ' ἴσα πόντῳ
ἰονίῳ μύθων ἔκλυες ἡμετέρων.
Τοιγὰρ νῦν, σὺ ...ὧδε μέγα κλαίουσα βαΰζεις,
ἡμεῖς δ' ἐν κόλποις ἥμεθα νηϊάδος.



ALEXAN... FERDINAND... ARAGONUM

Ἰουλιανοῦ ἀπὸ ὑπάρχων αἰγυπτίου.

Στέφος πλέκων ποθ', εὗρον
ἐν τοῖς ῥόδοις ἔρωτα.
καὶ τῶν πτερῶν κατασχὼν,
ἐβάπτισ' εἰς τὸν οἶνον.
λαβὼν δ' ἔπιον αὐτόν.
καὶ νῦν ἔσω μελῶν μου,
πτεροῖσι γαργαλίζει.

Οὐ δύναμ', οὐ δ' ἐθέλων θέσθαι φίλον. οὔτε γὰρ αἰτεῖς,
οὔτ' αἰτοῦντι δίδως, οὔθ' ἃ δίδωμι δέχῃ.

Κῦρος, κύριός ἐστι. τί μοι μέλει, εἰ παρὰ γράμμα
οὐκ ἀναγιγνώσκω τὸν καλὸν, ἀλλὰ βλέπω;

Ματρὸς ἔτ' ἐν κόλποισιν ὁ νήπιος ὀρθρινὰ παίζων
ἀστραγάλοις, τοὐμὸν πνεῦμ' ἐκύβευσεν ἔρως.

Πῖν' ἀσκληπιάδη. τί τὰ δάκρυα ταῦτα; τί πάσχεις;
οὐ σὲ μόνον χαλεπὴ Κύπρις ἐληΐσατο.
οὐδ' ἐπὶ σοὶ μούνῳ κατεθήκατο τόξα, καὶ ἰοὺς,
πικρὸς ἔρως. τί ζῶν, ἐν σποδιῇ τίθεσαι;
πίνωμεν βάκχου ζωρὸν πόμα. δάκτυλος ἀώς,
ἢ πάλι κοιμιστὰν λύχνον ἰδεῖν μένομεν.

Καλὸς ὁ παῖς ἀχελῷε. λίαν καλός. εἰ δέ τις οὐχί
φησίν, ἐπισταίμην μοῦνος ἐγὼ τὰ καλά.

Ἢν ἐσίδω Θήρωνα, τὰ πάνθ' ὁρῶ. ἢν δὲ τὰ πάντα
βλέψω, τόνδε δὲ μὴ, τοὔμπαλιν οὐδὲν ὁρῶ.

Ἐς σποδιὴν τὸν ἔρωτα φυγεῖν. ὁ δὲ, βαιὸν ἀνάψας
φανίον ἐκ τέφρης, εὗρέ με κρυπτόμενον.
κυκλώσας δ' οὐ τόξα, χερὸς δ' ἀκρώνυχα δισσὰ,
κνίσμα πυρὸς θραύσας, τῷδε λαβὼν ἔβαλεν.
ἐκ δὲ φλογὸς, πάντη μοι ἐπέδραμεν. ὦ βαρὺ φέγγος
λάμψαν ἐμοὶ, μέγα πῦρ φανίον ἐν κραδίῃ.

Κύπρι, τί μοι τρισσοὺς ἐφ' ἕνα σκοπὸν ἤλασας ἰοὺς,
ἐν δὲ μιῇ ψυχῇ τρισσὰ πέπηγε βέλη;
καὶ τῇ μὲν, φλέγομαι. τῇ δ' ἕλκομαι. ἣν δ' ἀπονεύω,
διστάζω. λάβρῳ δ' ἐν πυρὶ, πᾶς φλέγομαι.

Οἶδα φιλεῖν, φιλέοντας. ἐπίσταμαι ἤν μ' ἀδικῇ τις,
μισεῖν. ἀμφοτέρων εἰμὶ γὰρ οὐκ ἀδαής.

Θυμὸς ἔρως, παρ' ἐμοὶ μενέτω μόνῳ. ἢν δὲ πρὸς ἄλλους
φοιτήσῃ, μισῶ κοινὸν ἔρωτα Κύπρι.

Ὄρνιθες ψίθυροι. τί κεκράγατε, τί μ' ἀνιᾶτε,
τὸν τρυφερῆς παρθένου σαρκὶ χλιαινόμενον,
ἑζόμεναι πετάλοισιν ἀηδόνες. εἰ δὲ λάληθρον
θῆλυ γένος, δέομαι μείνατ' ἐφ' ἡσυχίης.

Εἰ μισεῖν πόνος ἐστὶ, φιλεῖν πόνος, ἐκ δύο λοιπὸν
αἱροῦμαι, χρηστῆς ἕλκος ἔχειν ὀδύνης.

Πῶς τ' αἰτεῖς; δέκα δώσω. καὶ εἴκοσι δ' αὐτίκα ἕξεις.
ἀρκεῖ σοι χρυσός; ἤρκεσε καὶ Δανάῃ.

Εἰ τὸν ἐν πελάγει σώζεις Κύπρι, κἀμὲ τὸν ἐν γᾷ
ναυηγὸν φιλίης σῶσον ἀπολλύμενον.

Μισῶ τὴν ἀφελῆ, μισῶ τὴν σώφρονα λίαν.
ἡ μὲν γὰρ, βραδέως· ἡ δὲ, θέλει ταχέως,

Ὄμματα μὲν χρύσεια, καὶ ὑαλόεσσα παρειὴ,
καὶ στόμα, πορφυρέης τερπνότερον κάλυκος.
δειρὴ, λυγδινέη· καὶ στήθεα, μαρμαίροντα.
καὶ πόδες, ἀργυρέης λευκότεροι Θέτιδος.
εἰ δέ τι καὶ πλοκάμοισι διαστίλβουσιν ἄκανθαι,
τῆς λευκῆς καλάμης οὐδὲν ἐπιστρέφομαι.

Φεύγειν δεῖ τὸν ἔρωτα, κενὸς πόνος· οὐ γὰρ ἀλύξω
πεζὸς ὑπὸ πτηνοῦ, πυκνὰ διωκόμενος.

Τῷ μήλῳ βάλλω σε· σὺ δ' εἰ μὲν ἑκοῦσα φιλεῖς με,
δεξαμένη, τῆς σῆς παρθενίης μετάδος.
εἰ δ' ἄρ' ὃ μὴ γίγνοιτο νοεῖς, τοῦτ' αὐτὸ λαβοῦσα,
σκέψαι τὴν ὥρην ὡς ὀλιγοχρόνιος.

Φείδῃ παρθενίης; καὶ τί πλέον· οὐ γὰρ ἐς ᾍδην
ἐλθοῦσ' εὑρήσεις τὸν φιλέοντα κόρη.
ἐν ζωοῖσι τὰ τερπνὰ τὰ Κύπριδος· ἐν δ' Ἀχέροντι,
ὀστέα καὶ σποδιὴ, παρθένε κεισόμεθα.

Πέμπω σοι μύρον ἡδὺ, μύρῳ παρέχων χάριν οὐ σοί.
αὐτὴ γὰρ μυρίσαι, καὶ τὸ μύρον δύνασαι.

Ἡδὺ θέρους διψῶντι, χιὼν ποτόν· ἡδὺ δὲ ναύταις
ἐκ χειμῶνος ἰδεῖν εἰαρινὸν στέφανον.
ἡδὺ δὲ καὶ ὁπόταν κρύψῃ μία τοὺς φιλέοντας
χλαῖνα, καὶ αἰνῆται Κύπρις ὑπ' ἀμφοτέρων.

Ομφαξ ὢν ἐπένευσας ὅ τῆ σταφυλῆ παρεπέμψω.
μὴ φθονέσῃς δοῦναι κἂν βραχὺ τῆς σταφίδος.

Κούρη τίς μ᾽ ἐφίλησεν ὑφέσπερα χείλεσιν ὑγροῖς.
νέκταρ ἔην τὸ φίλημα. τὸ γὰρ στόμα, νέκταρος ἔπνει.
καὶ μεθύω τὸ φίλημα, πολὺν τὸν ἔρωτα πεπωκώς.

Ηράσθην. ἐφίλουν. ἔτυχον. κατέπραξ᾽. ἀγαπῶμαι.
τίς δὲ, καὶ ἧς, καὶ πῶς, ἡ θεὸς οἶδε μόνη.

Εκ μαίνει χείλη με ῥοδόχροα. ποικιλόμυθα
ψυχοτακῆ. στόματος νεκταρέου πρόθυρα,
καὶ γλῆναι λασίῃσιν ὑπ᾽ ὀφρύσιν ἀστράπτουσαι,
σπλάγχνων ἡμετέρων, δίκτυα καὶ παγίδες,
καὶ μαζοὶ γλαγόωντες, εὔζυγες, ἱμερόωντες,
εὐφυέες, πάσης τερπνότεροι κάλυκος.
ἀλλὰ τί, μηνύω κυσὶν ὀστέα. μάρτυρές εἰσι
τῆς ἀθυροστομίης, οἱ μίδεοι κάλαμοι.

ΤΕΛΟΣ ΤΟΥ ΕΒΔΟΜΟΥ.



ALEXANDER · ARAGONVM · DEI GRA REX · FERDINANDVS

Ἄδηλον.

Τίς, πόθεν, ἠὲ τίνων τὸν χάλκεον ὕπνον ἰαύεις;
μαρκέσιος θάλλης. οἶδ' ἐρατὴν γενεήν.
οἶδα τεὴν πάτρην, Βυζάντιον οὔνομα κλεινόν.
εἶπον πῶς ἀγναρὴν ὤλεσας ἡλικίην;
αἰδέομ' ἐξειπεῖν. ἀλλ' εἴρεο· ἐκ τεγέων γὰρ
ὤλισθον. τὸ δέ μοι, πικρότερον θανάτου.
οὐ γὰρ ἄρης μ' ἐδάμασσεν ἐπ' αὐχένι δεσμὸν ἔχουσαν
ῥυόμενον κλεινὴν Ἑλλάδα. πῶς δ' ἔθανον.

Ἄδηλον.

Ἵππω τοὶ κάπροι τε. τί δέρκομαι; ἵπποι ἔασι,
καὶ πολέες. πόθεν σοὶ θαῦμα τόδ' ἀγχίαλη.
νῦν χάρις ἀνθρώπων πολέμου κλόνος, ἅρματ' ἅμιλλαι,
ἡμέτερα κρυόεντων τροχώματα πὰρ χαλίβων.
ἵππους πορίθεσθε, τί μέλλετε; βουσὶ χαλινοὺς,
καὶ ταχὺν οὐ πολέμους εἰσελάοιτε δρόμον.
αὐτὰρ ἔγωγε λέπαδνα, κατ' αὔλακος ὕνιν ἐφέλξω,
ὁπλίσομαι. τί σοβεῖς καὶ τρὸν ἐρειδόμενος;
εἴθ' ὑπωπλήγγι θενοις, εἴτ' ἔγχει δέσποτ', ἀταρπὸν
οὐκ ἔτι μ' ἰθύνοις κραιπνὰ διωκόμενον.
ἵππον ἔχοις ταῦρον. βοῦς ἔσσομαι. ἵππος ἀροτρεῖ.
πάντα δ' ἐναλλ' εἴη ἔργα τὰ τῶν ἀνθρώπων.

ΤΕΛΟΣ.

DEI GRA REX ARAGO... ALEXANDER PP VI VALENTINUS FERDINANDUS

# ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ,

## Εἰς τὰ ἐν πυθίοις θερμὰ, ἡμιάμβια δίμετρα καταληκτικά.

Βούλει μαθεῖν ἄνθρωπε
πῶς καὶ πόθεν νοσοῦσι,
ἀντάργυρον δώρημα,
ἔγωγέ σοι δείξω.
ὅσον σοφοὶ νοοῦσιν,
καὶ πεῖρα συνδικάζει.
Ἔνερθε γῆς σήραγγας
ὕδωρ ἐκεῖθεν ἔνθεν,
πιλούμενον δὲ, θέρμην
ἄλλοι λέγουσι σοι.
γῆς ἐν μυχοῖς ὑπάρχειν.
θέρμης τυχὸν βιαίας,
ἄνω τρέχει τῷ πλήθει.
ἀλλ' οὐ δέδεγμαι τοῦτο.
ὀδμὴ γάρ ἐστιν οἰδας.
τρανοῦντε μαρτυροῦσα.
τὸ βορ μόδλυστον ῥεῖθρον.
τέχνης ἄνευ, Γαληνός.
τὸ πῦρ ἄνω φυσῶσα,
πολλῇ τε σὺν κινήσει.
τιτανία μηδίας,
καὶ λυδία, πλουτοῦσα,
ἡρακλέων στηλῶν δὲ
ἔνδον αὐγὴ πιθηκοῦσσαις,
ἀφεγγὲς ἐστὶν ἆσθμα,
πέμπει λίθους θειώδεις,

θερμῶν ἄτεχνον ῥεῦμα,
φανὲν πρόκειται πᾶσιν,
καὶ προσφιλὲς γάνυσμα;
ἐγὼ φέρων διδάξω,
ὅσον φύσις παιδεύει,
πρόχου, φράσειν γὰρ
ἐστὶν στενὰς νοοῦσιν
ἀντιτρέχον πιλεῖται.
οὐ τὴν τυχοῦσαν πάσχειν.
μέταλλα πού θειώδη,
τὸ γειτονοῦν οὐ νᾶμα,
κάτω μένειν οὐκ ἴσχον,
ποῖον δέχῃ, τὸ πρῶτον;
τῷ δευτέρῳ, σύμφημι.
μυδῶσα, δυσπνοοῦσα,
οὕτω προῆλθε πᾶσι
ἱπποκράτης, ἄψυχος.
πίστις δὲ τούτου, νῆσος
πολλῷ βρέμων σὺν ἤχῳ,
οἶδεν φέρειν τοιαῦτα,
καὶ περσικὴ πιτάκη,
μεταλλόχρυσον γαῖαν.
πόρρω, πέφυκε πλεῖστα.
καὶ λιπάρα τῇ νήσῳ,
ὃ νυκτὶ πῦρ παμφαῖνον,
πολυψόφους βροντώδεις,

ALEXANDER

ὄψει τὸ πᾶν δηλοῦντας.
πρὸς ἄλλα κρείττω μείζω
ἄλλη μέθην ποιεῖ δὲ
ἄλλη γάλα προτείνει.
πτηνῶν ἄκος νοσούντων.
μισητικὸν ἐστὶν ὕδωρ.
πίδαξ ἀναρροιβδεῖται.
προλεκτικόν που πνεῦμα.
πῶς ἐξάγει, τί πρῶτον;
πηγὴ λέγω δολοῦται.
Ἄλλοι λέγουσιν ἄλλην,
ἄλλην καθαρτικὴν δέ,
ὕδωρ πικρὸν τελεῖ δέ,
ὃ νὺξ γλυκαίνειν οἶδεν,
ὄλβος δὲ τῆς γῆς ἐστι,
ὁλκὴν δὲ τὴν βαρεῖαν,
ἄλλος δὲ ῥοῦς μικρός σοι,
ὀστῶν τε τὰς κατάξεις,
Θέλεις προσοίσω πλείω;
ὃ πῦρ βαλὼν εἰς ἄγγος,
κρυσταλλόπηκτον εὕροις.
ἐξ οὗ πιεῖν προκύψας,
γῆς μαζὸς ὡς ἐν κόλποις
ὃς εἰ δεδέξεταί τι,
ἐν ἡμέραις οὐ πλείσταις.
βραχὺ βρύουσιν ὕδωρ.
πλείω δίδωσι ῥεῖθρα.
ἢ χείματος παρόντος,
προχεῖ θέρους δὲ νᾶμα.
ὕδωρ φέρει νιτρῶδες.

Ἔστι δὲ μικρὰ ταῦτα,
πηγὴ τελεῖ γὰρ λήθην. *
ἄλλη δ' ἔλαιον βλύζει.
καί που τρυχάζει νᾶμα,
καί που ποθοῦσιν οἶνον,
καί που μέσον θαλάσσης
καὶ χασμάτων ἐκπίπτει,
ἄσφαλτον ἄλλη γῆ δέ,
Ω θαυμάτων τὸ θαῦμα.
ἀνουμένη δέ, λάμπει.
κρυπτοὺς δόλους ἐλέγχειν.
χυμῶν μόνων θρυλλοῦσιν.
φῶς ἡλίου καυσῶδες,
εἰς ἠδύλληπτον ἕλξειν.
φύσιν κάτω τὴν κούφην,
ἄνω φέρων τὴν ἄχνην.
ὃς σωμάτων τὰς βλάστας
σφίγγει. τρέφει. πιαίνει.
ἔστιν λέγουσι νᾶμα,
εἰ νυξὶν αἰθριάζοις,
Ἔστιν λέγουσιν ἄλλο,
δίνον βλέπω σε φεῦγον;
Ἔστιν δὲ ῥοῦς ὢ θαῦμα,
λίθον τελεῖ τὸ πρᾶγμα.
Ἄλλην λέγουσι κρήνην,
ἥτις παρόντος ὄχλου,
Ἄλλην δέ που πιστοῦνται,
ἀνικμός ἐστι πᾶσα,
Ἄλλην ἀκούεις πάντως,
ὡς ῥυμμάτων μὴ δεῖσθ'

λελ(ο)μένους ἐκεῖθι.
ὡς μὴ πίνεσθαι ζώοις.
ἢ σῆψις ἄλλης ὕλης.
πολλὰς φυτῶν αἰγείρους
τὸ χρυσόμορφον εἶδος.
ὡς δάκρυον γλοιῶδες,
ἢ τοι ξένου μετάλλου.
φέρει τόπος τις λίμνην,
πρὸς ἣν θέλων λουθῆναι,
ἕως δὲ πεντήκοντα
εἰσὶ αὖ τις αὐτῇ πλείους
ἔξω τρέχουσα ῥεῖπτε,
Π ἔβας καπνὸς δ᾽ ἐξέρπει,
ὅπερ σαφῶς ἀνάψεις,
Α λλη δέ τις βραχεῖα,
εἰς ἣν ἔλαιον ῥαίνων,
Δ ἔλτοι φέρουσιν ἄλλην,
πῦρ ἐξ ὀπῆς ἀνίσχον,
Λ ἴθους ἔχει δὲ ῥεῖθρον,
οὓς ῥιπίδι ψυχάζων,
εἰσὶ αἷμα ῥαίνων ἀπεί-
Α λλης ὀπῆς ὠθεῖται, (σεις,
καὶ τὴν φίλεχθρον μῖξιν,
Ο ὕτω φύσις ἀπείρους
κτίζων, ἄγων, ἰθύνων,
πρὸς θαῦμα καὶ λατρείαν,
τοῦτον κάλει θεόν σου.
μηδὲν τυπῶν πρὸς εἶδος,
ἄγνωστόν ἐστι πνεῦμα.
ἄληκτόν ἐστι θαῦμα,

Θ ερμ[illegible] ἔχει δὲ λίμνη,
ἔχει γὰρ ὥσπερ πῦον,
ἐκεῖ λέγουσιν εἶναι
ἤλεκτρον ἐξαγοῦσας,
τίκτει δὲ τοῦτο πρῶτον,
ἔπειτα δὴ, πετροῦται.
Δ ὕρο φράσω καὶ τἄλλα.
μικρὰν λίαν κυκλώδη.
πεπλησμένην εὑρήσεις.
λελουμένους καθαίρει.
ἄνδρας φέρει λουθέν-
τοὺς ἀκρίτως [illegible]φῶντας
κρύπτων τὸ καῖον.
ἔλαιον εἴπερ στάξεις.
πῦρ ἐξέθαλψε πέτρα.
πάντως σβέσεις τὸ φαει-
ὥρα θέρους βαθεία, (νον.
χειμῶνος ὕδωρ ῥεῖν δὲ.
ἅπτοντας αἰθαλάμας.
τὸν φλογμὸν ἐκπροχύνεις,
τὸ πῦρ πλέον τυφοῦται.
ὕδωρ τε καὶ πῦρ σμίγδην
τετρακτύος πιστοῦται.
ὁ δεσπότης ἁπάντων,
κοινῶν πλέκων φῶς οἶδε,
φύσεις σαφῶς ἐγείρει.
τοῦτον φρεσὶ φαντάζου,
εἰ μὴ θέλεις γεπλαίειν.
ἄρρητόν ἐστι πρᾶγμα.
ἀναρχόφωτόμυσον,

ALEXANDER ... FERDINANDI ... (library stamp)

ἀρρητολεπτότωνο[illegible]ν,
ἐν πανσόφῳ χορείᾳ,
Οὕτω τὰ μὲν, κατεῖδον,
τἄλλ᾽ αὖ, συνῆξε πεῖρα.
τὰ δῆλα, τῶν ἀδήλων.
Τούτων σκοπῶν τὸ θαῦμα,
τὴν βιοσόφων φαῦσιν.
ζητῶν δὲ, καὶ θεώσεις

κόσμους φέρων καὶ βίους,
ἐν ἐνδίκῳ προνοίᾳ.
τἄλλ᾽ αὖ βίβλοι βοῶσιν.
καὶ πίστις ἐστὶ πάντως
τὰ μικρὰ τῶν μεγίστων.
οἶδα πλέον ποθήσειν
ποθῶν δὲ, καὶ ζητήσεις.
μετουσίᾳ τὸ κρεῖττον.

# ΕΥΚΛΕΙΔΟΥ ΓΕΩΜΕΤΡΙΚΟΝ.

Ἡμίονος καὶ ὄνος, φορέουσαι οἶνον ἔβαινον.
αὐτὰρ ὄνος, στενάχιζεν ἐπ' ἄχθεϊ φόρτου ἑοῖο.
τὴν δὲ, βαρυστενάχουσαν, ἰδοῦσ' ἐρέεινεν ἐκείνη.
μῆτερ, τί κλαίουσ' ὀλοφύρεαι ἠΰτε κούρη;
εἰ μέτρον ἕν μοι δοίης, διπλάσιον σέθεν ἦρα.
εἰ δὲ ἓν ἀντιλάβοις, πάντως ἰσότητα φυλάξεις.
εἰπὲ τὸ μέτρον, ἄριστε γεωμετρίης ἐπίισος

Ἀνὰ γ΄ μέτρων δοκοῦσι φέρειν.

## Εἰς τοὺς ἑπτὰ πλανήτας, καὶ τὰς ἐν ἡμῖν δυνάμεις, καὶ πάθη.

Ἑπτὰ πολυπλανέες κατ' ὀλύμπιον ἀστέρες οὐδὸν
εἱλεῦνται. καὶ τοῖσιν ἀεὶ κανονίζεται αἰὼν,
νυκτιφαὴς μήνη, στυγνὸς κρόνος, ἥλιος ἡδὺς,
πασοφόρος παφίη. θρασὺς ἄρης, εὔπτερος ἑρμῆς,
καὶ Ζεὺς ἀρχιγένεθλος, ἀφ' οὗ φύσις ἐβλάστησεν.
οἱ δ' αὐτοὶ μερόπων ἐλάχουσι γένος. ἔστι δ' ἐν ἡμῖν,
μήνη, Ζεὺς, ἄρης, παφίη, κρόνος, ἥλιος, ἑρμῆς.
οὕνεκ' ἀπ' αἰθερίου μεμερίσμεθα πνεύματος ἕλκειν,
δάκρυ, γέλωτα, χολὴν, γένεσιν, λόγον, ὕπνον, ὄρεξιν.
δάκρυ μέν ἐστι Κρόνος. Ζεὺς δὴ, γένεσις. λόγος, ἑρμῆς.
θυμὸς, ἄρης. Μήνη δ' ἄρ' ὕπνος. Κυθέρεια δ' ὄρεξις.
ἠέλιος δὲ, γέλως. τούτῳ γὰρ ἅπασα δικαίως,
καὶ θνητὴ διάνοια γελᾷ, καὶ κόσμος ἀπείρων.

## Εἰς τὸν Πτολε-
## μαῖον.

Γ αίης ἐν νώτοισιν ὀχούμενος ὦ Πτολεμαῖε,
καὶ βροτέης φύσιος δεσμούμενος ἔνδοθι τεθμῶν,
οὐκ ἄστρων δὴ μοῦνον ἀειδίνητον ἀνάγκην,
οὐδὲ πόλοιο φορὰν, σὺ διέγνως ἀπατέωσαν,
ἀλλὰ καὶ αὐτάπερ ὅττι τελεῖ σημήϊα φαίνεις.
τοὔνεκα δὴ, χρέω καλέειν σέ τιν' οὐρανιώνων.
αἰ… μόν τι νόου φορέειν, οὐ γήϊον ἔμπης.
… γὰρ καὶ μερόπεσσι χαμαιπετέσι συμβιότευσα
καὶ φύσιος θνητῶν περ ἀλυκτοπέδῃσιν ἐδέσμου,
ἀλλὰ νόου παθέων ἐν τοῖσι πόνοισι κάθηρας.
ἔξω σαρκὸς ἔβης δὲ, καὶ ἀχλύος ἰλυοέσσης,
καὶ τελέσεις περάσας, ἐς ὕστερα τέρμα λαχοῦσα

## Ἑρμοῦ τοῦ τρισμεγίστου, περὶ σεισ-
## μῶν. ἐν ἄλλῳ, ὀρφέως.

Φ ράζεο δὴ καὶ τόνδε λόγον τέως. ὁππότε κεν δ
γαῖαν κινήσῃ σεισίχθων κυανοχαίτης,
ὅττι ἑ βροτοῖς ἐπί τ' εὐτυχίην, κακότητά τε φρά

## Ἥλιος ἐν Κριῷ.

Ο ππόταν εἰαρινὴν ἐπ' ἰσημερίην ἀφίκηται
ἠέλιος, Κριὸν δὲ διεκτρέχῃ, ἐν δ' ἄρα τῷδε
γαῖαν νυκτερινὸς γαιήοχος ἀμφελελίξῃ,
σῆμα τόδ' οὐ πολλῆς ἀπόστασις, οὐκ ἀλαπαδν
Ε ἰ δέ κεν ἡμέριος, φράζε τόδε λυγρὰ καὶ ἄτας,
πήματος ὁρμήσαντος ἐπ' ἀλλοδαποὺς ἀνθρώπους
ἔσσεσθαι σφετέραις ἐπὶ [illegible]συναις, ἰδὲ λύπας

Ἥλιος ἐν Ταύρῳ.

Εἰ δ' ἀνὰ Ταῦρον ἰόντος ἐφορμήσει διὰ νύκτα
σεισμὸς, πήματα μὲν τε καταφθινύθουσιν ὀπίσσω.
εὐφροσύνη δ' ἀνὰ ἄστη καὶ εἰρήνη τεθαλυῖα.
ἡμερινὸς δὲ, φέρει πολέμου μεγάλοιο πόληϊ
ἔργον ἐπερχομένου τοῖς κρείττοσιν. ἀλλὰ φυλάσσου.

Ἥλιος ἐν Διδύ-
μοις.

Εἰ δέ κεν ἐν Διδύμοις στρωφωμένου ἠελίοιο,
νυκτερινὴ μῆνις ἐλελίξηται κατὰ γαῖαν,
δυσμενέων βροτοὶ ἐγχεσιχείρων,
ἡμετέρην πελάσσουσιν ὑπ' ἄλγεα γαῖαν ἅπασαν.
εἰ δέ κεν ἡμερινὴ, τότε κεν βασιλῆες ἄτιμοι
ἔσσονθ' ἡγεμόνες τε θεῶν δυσμενέων ἐχθρῶν.

Ἥλιος ἐν Καρκίνῳ.

Εἰ δ' ἀνὰ τὴν μοίρην τοῦ Καρκίνου ἠελίοιο
στείχοντος, τότε δὴ θερινὴ τροπὴ, ἔνυχος ἔσται
γῆς ἔνοσις, τότε φράζει κακότητα βαρεῖαν,
ἀργαλέην πενίην ἀλλαξέμεν. ἡμερινὸς δὲ,
φράζει πῆμ' αὐτοῖς, καὶ ἀπόστασιν ὠλεσιοίκων.

Ἥλιος ἐν Λέοντι.

Εἰ δέ κεν ἠελίοιο Λέοντος μοῖραν ἰόντος,
νύκτερος ὁρμηθῇ γαίης σάλος, αὐτίκα πένθη,
κλαυθμοί τε, στοναχαί τε, πόλιν καὶ λαὸν ἅπαντα
ἕξουσ'. ἡμερινὸς δὲ φανεὶς, καὶ ταῦτα πιφάσκει.

Ἥλιος ἐν Παρθένῳ.

Εἰ δέ κεν ἠελίου σὺν Παρθένῳ ἐρχομένοιο
ἑσπερινὸς σεισμὸς, λαοῖς τότε λιμὸς ἅπασιν
ἔσσεται, ἡμερινὸς δὲ φανεὶς, καρποὺς καταβλάψει

ARAGONUM · ALEXANDER PP VI VALENTINUS

Ἥλιος ἐν ζυγῷ.

Εἰ δ' ἂν ὅτε φθινόπωρον ἰσημερινὴν ἀφίκηται
ἠέλιος, χηλαῖς διαφαίνων νυκτερινὸς δὲ
κινήσῃ, καρπῶν δηλοῖ φθόρον ἐξ ἀναφύντων
γαίης. ὥραις δ' ἡμεριναῖς, χαλεπῆς τόδε φράζει
ἔργα μάχης. πολλοὺς δ' αὐτῶν, κατὰ γαῖα καλύψει.

Ἥλιος ἐν σκορπίῳ.

Εἰ δέ κεν ἠελίου τὸν σκορπίον ἀμφιθέοντος,
νύκτερος ὁρμηθῇ γαίης σάλος, ἔργα μάταια
ἀνδράσιν ἔσσονται, κακοφραδμοσύνῃσι νόοιο.
ἡμερινὸς δὲ φανείς, τότε δὴ τότε, ἄλγεα φράζει
ἔσσεσθαι πολίεσσιν, ἀπὸ πτολέμου κρυεροῖο,
ἔργα ματαιότητα, ζήλου μεγάλου διὰ βουλάς.

Ἥλιος ἐν τοξότῃ.

Εἰ δέ κεν ἐν μοίρῃ τοῦ τοξότου ἠελίοιο
στρωφῶντος, γαῖαν κινήσῃ κυανοχαίτης
νυκτερινός, σημεῖον ὀλέθριον ἔμμεναι ἀνδρῶν
πολλῶν. ἡμερινὸς δὲ φανείς, πόλεων βασιλῆι,
σημαίνει μεγάλην τιμήν, καὶ σκῆπτρα λιπόντα,
ἄλλῃ ἐποίχεσθαι φεύγοντ' ἀπὸ πατρίδος αἴης.

Ἥλιος ἐν αἰγοκέρωτι.

Εἰ δέ κεν αἰγοκέρωτι, ὅθι τροπαὶ ἠελίοιο
χειμεριναὶ στείχοντος ἕδος χθονός, ἔννυχος ἐλθὼν
σεισίχθων γαῖαν κινήσῃ πνεύματι λάβρῳ,
φράζεο δὴ πόλεμον καὶ δάκρυα, τοῖσι γενέσθαι,
καὶ στάσιν. ἡμερινὸς δὲ φανείς, καρποφθόρος ἔσται.

Ἥλιος ἐν ὑδροχόῳ.

Εἰ δέ κεν ὑδροχόῳ διαφαίνεται ἠελίοιο
φέγγος, νυκτερίη δ' ἐλελιχθῇ γαῖα ποσειχθών,
ἁρπαγαὶ ὠλεσίοικοι ἀνὰ πτόλιν εὐρυάγυιαν
ἔσσονται.

ἔσονται. δήμου τε κακοφροσύναισι καὶ ὕβρεις.
εἰ δ' ἔκλειψιν ἡμερινὴ, δήμου κράτος ἔμπεδον ἔσται.

Ἥλιος ἐν ἰχθύσιν.

εἰ δ' αὖ ἀνὰ τοὺς ἰχθῦς στρωφωμένου ἠελίοιο,
γῆς φύσις γίνοιτο θοὴ διὰ νύκτα, τότ' ἔσται
πάσαις ἐν πολίεσσι περίστασις. εἰ δ' ἔκλειψιν καὶ
γῆς κινηθείη πέδον ἱερὸν, αὐτίκα πάσαις
συφόρβοισι βοῶν ἀγέλαις, οἰῶν τε, καὶ ἄλλων
τετραπόδων, φθόρος ἔσται ἀν' ἄστεα καὶ κατὰ χώρας.

## Τὰ νεωστὶ εὑρημένα.

### ᾠδὴ τῆς σαπφοῦς εἰς ἀφροδίτην.

Ω ποικιλόθρον' ἀθάνατ' ἀφροδίτα
παῖ διὸς δολοπλεκὲς,
λίσσομαί σε μή με ἄσηαι,
μηδ' αἴτομαι δάμνα πότνια θυμόν.
ἀλλὰ τόδ' ἔλθε ποι κατ' ἔρωτα
τὰς ἐμὰς αὐδὰς ἀΐοις.
ἅποτ' ἔκλυες, πατρὸς δὲ
δόμον λιποῖσα χρύσεον
ἦλθες ἅρμ' ὑποζεύξασα.
καλοὶ δὲ σ' ἄγον ὠκέες στρουθοὶ,
περὶ γῆν μέλαιναν πολλὰ δινεῦντες
πτέρ' ὠρανόθεν αἰθέρος διὰ μέσω,
αἶψα δ' ἐξίκοντο. τὺ δ' ὦ μάκαιρα
μειδιάσασ' ἀθανάτῳ προσώπῳ
εἴρεο τί δ' ἦν τὸ πέπονθα
χελιδόνρο μαλιπεμόν. *
θέλω γενέσθαι μαινόλᾳ θυμῷ
τίνα δ' αὖτε πει　　σαγηνοῦσαν φιλότητα

DEI GRA REX ARAGONVM · ALEXANDER

τίς ὦ σαπφῶ ἀδίκη. καὶ γὰρ
αἰ φεύγει, ταχέως διώξει.
αἰ δὲ δῶρα μὴ δέχεται,
ἀλλὰ δώσει. αἰ δὲ μὴ φιλεῖ,
ταχέως φιλήσει.
καὶ εἰκ' ἐθέλοις, ἔλθέ μοι τὶ νῦν,
χαλεπᾶν δὲ λῦσον ἐκ μεριμνᾶν.
ὅσα δέ μοι τελέσαι θυμὸς,
τὺ δ' αὐτὰ σύμμαχος ἔσο.

Ἀνακρέοντος.

...κίη, τί δή με
λοξὸν ὄμμασι βλέπουσα
νηλέως φεύγεις; δοκέεις δὲ
μηδὲν εἰδέναι σοφόν. ἴσθι
τοι καλῶς κεν ἄν τοι τὸν χαλινὸν
ἐμβάλλοιμι, ἡνίας δ' ἔχων
στρέφοιμ' ἀμφὶ τέρματι δρόμου.
νῦν δὲ λειμῶνας τε βόσκεαι
κοῦφα τε σκιρτῶσα παίζεις.
δεξιὸν γὰρ ἱπποσείρην
οὐχ ἔχεις ἐπεμβάτην.

ΤΕΛΟΣ.

ALEXANDER PP VI VALENTINVS FERDINANDVS DEI GRA REX ARAGONVM

# INDEX RERUM, quæ in hoc Florilegio continentur.


Εἰς

Ἀγαθοὺς ἄνδρας ἐπιτ. 111.a.
Ἀγαθῶν ἀνδρῶν εἰκ. 172.a.
Ἀγλαοῦ ἄγαλμα. 230.b.
Ἀγῶνας. 2.a.
Ἀγωνιστὰς σκωπτ. 74.a.
Ἀγωνιστὰς ἐπιτ. 113.b.
Ἀδελφοὺς ἐπιτ. 114.a.
Ἀδύνατον σκωπτ. 75.a.
Ἀθλητῶν εἰκόνας. 174.a.
Ἀθλητῶν ἀναθήματα. 241.b
Αἴαντος τοῦ μεγάλου ἄγαλ. 230.b.
Αἴαντος τοῦ Λοκροῦ ἄγαλ. 229.a.
Αἰνείου ἄγαλ. 228.a.
Αἰσχίνου ῥήτορος ἄγαλ. 225.a
Ἁλιέως ἐπιτ. 114.a.
Ἁλιέων ἀναθήματα. 241.b.
Ἀλκμαίωνος ἄγαλ. 233.a.
Ἄμπελον. 2.b.
Ἀμυμώνης ἄγαλ. 226.a.
Ἀμφιαράου ἄγαλ. 230.a.
Ἀμφιτρύωνος ἄγαλ. 232.b.
Ἀναθήματα. 3.a.

Εἰς

Ἀναξιμένους ἄγαλ. 226.a
Ἀναπήρους. 3.b.
Ἀναστασίου ἄγαλ. 239.a.
Ἄνδρας οὐκ ἐπισήμους ἐπιτ. 11[illegible].
Ἀνδρείους. [illegible].b.
Ἀνδρείους ἐπιτ. 114.b.
Ἀνδρομάχης ἄγαλ. 228.a.
Ἀνδρῶν ἀγαθῶν εἰκόνας. 172.a.
Ἀνοήτους σκωπτ. 75.b.
Ἀνταπόδοσιν. 7.a.
Ἀντιστρέφοντα. 243.b.
Ἀπειλήν. 7.b.
Ἀπόλλωνος ἄγαλ. 226.b 230.b
Ἀπουληίου τοῦ μάγου ἄγαλ. 231.a.
Ἀρετήν. 7.b.
Ἀριστοτέλους ἄγαλ. 225.a
Ἅρπαγας σκωπτ. 75.b.
Ἀρτέμιδος ἄγαλ. 231.a.
Ἀρχαίους τινὰς ἐπιτ. 125.b


ALEXANDER PP VI

Ασεβεῖς. ..a
Ασιλγεῖς σκωπτ. 76.a
Αστρολόγους σκωπτ. 76.b
Ασώτους. 8.b
Αὔγης ἄγαλ. 227.b
Αὐλητάς. 8.b
Αὐλητὰς ἐπιτ. 127.b
Αὐτάρκειαν. 9.b
Αφροδίτης ἄγαλ. 226.b 227.a
Α[illegible] 23.b
Αχιλλέος ἄγαλ. 231.a

B

Βακχευομένων ἀναθήματα. 244.a
Βακχῶν εἰκόνας. 175.a
Βαλανεῖα σκωπτ. 78.a
Βασιλέων εἰκ. 175.b
Βίον ἀνθρώπινον. 10.b
Βιργιλλίου ἄγαλ. 233.a
Βραχεῖς σκωπτ. 78.a
Βρέφη. 12.a
Βρέφη ἐπιτ. 128.a

Γ

Γάμον. 12.a
Γέροντας. 13.a
Γέροντας ἐπιτ. 128.b
Γερόντων ἀναθήματ. 244.b
Γεωργοὺς ἐπιτ. 129.b
Γεωργῶν ἀναθήματ. 244.b
Γῆρας. 13.a
Γραίας σκωπτ. 78.b
Γραμματικούς. 13.b
Γραμματικοὺς σκωπτ. 79.b
Γραφίδας. 14.[illegible]
Γυναῖκας. [illegible].b
Γυναῖκας σκωπτ. 81.a
Γυναῖκας ἐπιτ. 129.b
Γυναικῶν εἰκ. 177.[illegible]

Δ

Δάρητος ἄγαλ. 229.b
Δειλοὺς σκωπτ. 81.a
Δεῖπνα. 15.a
Δηϊφόβου ἄγαλμα. 225.a
Δημοκρίτου ἄγαλμα. 227.b
Δημοσθένους ἄγαλ. 225.b
Δικαιοσύνην. 17.a
Δίκην. 17.a
Δολίους σκωπτ. 84.a
Δούλους σκωπτ. 84.b
Δούλους ἐπιτ. 136.a
Δυσειδεῖς. 81.b
Δυστυχίαν. 18.b
Δυσώδεις σκωπτ. 83.b
Δῶρα σκωπτ. 84.b

E

Εκάβης ἄγαλ. 228.[illegible]
Ελένης ἄγαλ. 228.[illegible]
Ελένου ἄγαλ. 228.[illegible]
Ελ[illegible] 19.b. Ελπίδας. 20[illegible]

Εντέλλȣ ἀγαλ. 225.b
Επαίνȣς. 20.b
Ερμαφροδίτȣ ἄγαλ. 227.a
Ερμȣ̃ ἄγαλμα. 231.a
Ε[illegible]ντας σκωπ. 85.a
Ερ[illegible] 21.a
Ερωτικὰ ἀναθ. 249.a.
Επιτυμβάτινα ἀποφθέγματα. 262.a. & fere in toto septimo libro habentur.
Εὐκτικά. 249.a
Εὐριπίδȣ ἄγαλ. 225.b
Εὐσέβειαν. 22.b
Ευτυχίαν. 23.a
Ευχαρίσȣς. 23.b
Ευχήν. 24.a. Εχθρȣ̀ς. 24.b
Ζ
Ζῶα. 25.a
Ζωγράφȣς σκωπ. 85.a
Ζωγράφωμ εἰκ. 178.b
Ζωήν. 29.a. Ζώων ἄγ. 178.b
Η
Ηγεμόνας σκωπ. 85.a
Ηλίȣ ἄγαλμα. 241.a
Ηρακλείτου ἄγαλ. 232.a
Ηρακλέȣς ἄγαλ. 227.b
Ηρίννας ἄγαλμα. 227.a
Ηροδότȣ ἄγαλ. 232.b
Ηρωας ἐπιτ. [illegible]6.b
Ηρωΐδων ἄγα. κ̀ εἰκ. 186.a
Ηρώωμ εἰκ. 181.a
Ησιόδȣ ἄγαλ. 225.b
Ηχȣ̃ς ἄγαλμα. 189.a
Ηχώ. 29.b
Θ
Θάλασσαν. 29.b
Θαλάττης ἄγαλμα. 189.b
Θάνατον. 30.a. Θεȣ̀ς. 32.[illegible]
Θεῶμ ἀγάλματ[illegible]. 190.a
Θηρῶμ ἀναθ. [illegible].b
Θȣκυδίδȣ ἄγαλ. 232.b
Θυγατέρας σκωπ. 85.b
Θυμοίτου ἄγαλμα. 230.a
I
Ιατρȣ̀ς. 34.a
Ιατρȣ̀ς σκωπ. 85.b
Ιατρȣ̀ς ἐπιτ. 138.b
Ιατρῶν εἰκ. 203.a
Ιξευτὰς ἐπιτ. 139.a
Ιȣλιανȣ̃ ἄγαλμα. 239.a
Ιȣλιανȣ̃ ἡνιόχȣ ῥȣσίȣ ἄγαλμα. 240.a
Ιȣλίȣ καίσαρος ἄγαλ. 226.b
Ιππȣς σκωπ. 88.a
Ισόψηφα. 250.a
Ισοκράτȣς τȣ̃ ῥήτορος ἄγαλμα. 230.a
Ιχθύας. 35.a
Ιχθύας ἐπιτ. 139.b



ALEXANDER ... REGIA ... DEL C...

Καιροῦ ἄγαλμα. 203.b
Καλλιότης ἄγαλ. 236.b.
Κάλλος. 36.a.
Κάλχαντος ἄγαλ. 226.a.
Καρκινωτά. 251.a.
Κασάνδρας ἄγαλ. 228.b.
Κῆπος. 204.a.
Κηπωρῶν ἀναθ. 251.a.
Κιθαρῳδοὺς σκώπτει. 88.a.
Κιθαρῳδὸς ἐπιτ. 139.b.
Κιθαρῳδοῦ ἄγαλμ. 204.b.
Κιθαρῳδῶν ἀναθ. 255.a.
Κίονας. 205.a.
Κλεινιάδου ἄγαλ. 226.b.
Κλέπτας σκωπτ. 88.b.
Κλυτίου ἄγαλ. 230.a.
Κόλακας. 36.a.
Κουρέας σκωπτ. 89.b.
Κρατίνου ἄγαλ. 232.a.
Κρεούσης ἄγαλ. 228.a.
Κριτάς. 36.b.
Κυβευτὴν σκωπτ. 89.b.
Κυνηγὸν σκωπτ. 90.a.
Κυνηγὸς, ἐπιτ. 140.a.
Κυνηγῶν ἀναθ. 252.a.
Κύπριδος ἄγαλ. 231.a.
Κωμῳδὸν σκωπτ. 90.a.
Κωνσταντίνου ἄγαλ. 237.a.
Κωνσταντίνου ἡνιόχου λευκῶν ἄγαλμα. 239.b.
Κωφὸς σκωπτ. 90.a.

Λ

Λαιμαργὸς σκωπτ. 90.a.
Λάμπωνος ἄγαλ. 230.a.
Λεπτοὺς σκωπτ. 91.a.
Λίθους. 2[illegible].b.
Λογογραφίαν. 37.b.
Λουτρά. 206.b.

Μ

Μαγείρων ἀναθ. 256.a.
Μαθήματα. 38.a.
Μαινομένους. 38.a.
Μακροὺς σκωπτ. 93.a.
Μέθην. 41.a.
Μεθύσους σκωπτ. 93.a.
Μεθύσους, ἐπιτ. 140.a.
Μεθύσων ἀναθ. 256.a.
Μελάμποδος ἄγαλ. 230.a
Μέμφιν. 42.a.
Μενελάου ἄγαλ. 228.a.
Μενάνδρου ἄγαλ. 232.a.
Μετριότητα. 41.b.
Μητρυιάν. 42.a.
Μιλιάριον σκωπτ. 93.b.
Μίλωνος ἄγαλ. 229.b.
Μῖσος. 42.a. Μνήμην. 42.a
Μοιχοὺς ἐπιτ. 141.a.
Μουσεῖον. 42.a.
Ναυαγήσαντας ἐπιτ. 141.a.

Ναυηγ.. ἀναθ. 256.b
Ναυάγιον. 43.a
Ναῦς. 42.b. 209.a
256.a
Ναυτιλίαν. 44.b
..τῶν ἀναθ. 256.b
Νέος καὶ νέας ἐπιτ. 149.b
Νέων ἀναθ. 256.b
Νῆας. 46.b
Νήσους. 48.a.
Νίκης ἄγαλμα. 209.b
Νομικοὺς σκωπτ. 93.b

Ξ

Ξενοδοχεία. 209.b
Ξενοφῶντος ἄγαλ. 232.b

Ο

Οδυσσέως ἄγαλ. 228.b
Οἶκος. 210.a. Οἶνον. 48.b
Οἰνώνης ἄγαλ. 229.b
Ορνιθεὺς σκωπτ. 94.a
Ομήρου ἄγαλ. 231.b. 233.a
Οπλα. 212.a
Ορνεις. 49.b
Ορνις ἐπιτ. 134.b
Ορχηστάς. 8.b
Ορχηστὰς σκωπτ. 94.a
Ορχηστρίδων εἰκ. 212.a
Οὐρανίου ἄγαλ. 238.b
Παιδίον. 51.a
Παιζόντων ἀναθ. 257.a
Π..εφάτου ἄγαλ. 225.b
Πανδόου ἄγαλ. 230.a
Πανοῦργος. 51.b
Παραμυθίαν. 51.b
Πάριδος ἄγαλμα. 229.a
Παροιμιῶν σκωπτ. 98.a
Πατρίδα. 52.a
Παχεῖς σκωπτ. 94.b
Περικλέους ἄγαλ. 227.a
Πηγάς. 213.a. Πηγῶν. ..a
Πινδάρου ἄγαλ. 222.b
Πλάτωνος ἄγαλ. 227.a
Πλεία σκωπτ. 96.a
Πλουτοῦντας. 53.a
Ποιητάς. 53.b
Ποιητὰς σκωπτ. 94.b
Ποιητὰς ἐπιτ. 155.a
Ποιητῶν εἰκόνας. 214.a
Ποιμένας. 56.b
Ποιμένας ἐπιτ. 164.a
Ποιμένων ἀναθ. 257.b
Πόλεις. 57.b. 216.b
Πόλεις ἐπιτ. 164.b
Πόλεμον. 57.a
Πολυείδου μάντιος ἄγαλ.
225.b
Πολυξένης ἄγαλ. 229.a
Πολυτεχνεῖς σκωπτ. 97.a
Πομπηΐου ἄγαλ. 233.a
Πονηρός. 60.b

Πονηροὺς σκωπτ. 97.a
Πονηροὺς ἐπιτ. 164.b
Πορδὴν σκωπτ. 98.a
Πόρνας. 61.a
Πορφυρίου ἄγαλ. 233.b
Πορφυρίου, μέρους Βενέτων ἄγαλμα. 239.a
Ποσειδῶνος ἄγαλ. 226.a
Ποταμοὺς. 61.b. 219.a
Πρωτεῖα. 219.a
[illegible] 62.b
Πτωχοὺς ἐπιτ. 164.b
Πυθαγόρου ἄγαλμα. 227.b
Πύρρου τοῦ νεοπτολέμου. ἄγαλμα. 226.a
Πύρρου ἄγαλμα. 229.a

Ρ

Ῥήτορας σκωπτ. 98.a
Ῥήτορας ἐπιτ. 165.a
Ῥητόρων εἰκ. 220.a
Ῥοδίων τῷ ἡλίῳ ἄγαλμα. 241.a

Σ

Σαπφοῦς ἄγαλμα. 226.a
Σαρπηδόνος ἄγαλ. 230.b
Σιμωνίδου ἄγαλ. 225.b
Σιωπὴν. 62.b
Σκηνή. 220.b
Σοφίαν. 63.a
Στησιχόρου ἄγαλ. 227.b
Στρατιωτῶν ἀναθ. 258.a
Σύγκρισιν. 63.b
Συμποτικὰ ἀστεΐσματα. σκωπτ. 100.a
Σωφροσύνην. 63.[illegible]

Τ

Ταχυγράφων ἀναθ. 259.b
Τοῦ πανὸς ἄγαλ. 227.a
Τιμὴν. 64.b
Τολμηροὺς σκωπτ. 105.a
Τραγῳδοὺς. 88.a
Τύχην. 64.b
Ὑβριστὰς σκωπτ. 105.b
Υἱοὺς καὶ θυγατέρας ἐπιτ. 165.b
Ὑποψίαν. 67.a
Φαυστίνου ἄγαλ. 237.a
Φαυστίνου, μέρους πρασίνων ἄγαλμα. 239.b
Φειδωλοὺς σκωπτ. 106.a
Φερεκύδου ἄγαλ. 232.a
Φήμην. 67.a
Φθονεροὺς σκωπτ. 108.a
Φθόνον. 67.b. Φιλαργύρους. 68.a
Φιλίαν 68.a. Φιλοσόφους. 68.b
Φιλοσόφους σκωπτ. 108.b
Φιλοσόφους ἐπιτ. 167.a
Φιλοσόφων εἰκ. 222.b
Φιλοστοργίαν. 70.a
Φρόνησιν. 70.b

.a. 89. b. 91. b. 92. b. 93. a. b. 94. b. 95. b. 96. a. 97. b. 98. b. 100. a. 102. a. 103. a. b. 104. a. b. 105. a. 108. a. 110. a. 111. a. b. 113. a. 116. b. 117 a. b. 118. a. b. 119. b. 120. a. 121. b. 122. b. 123. a. 127. a. b. 128. a. b. 129. a. b. [illegible] b. 133. b. 134. a. b. 135. a. b. 136. a. b. 137. b. 138. a. 139 a. b. 140. a. 142. a. 143. a. 145. a. 146. a 147. a. 149. b. 151. b. 152. a. b. 154. a. 160. a. 161. a. 162. a. 164. a. b. 166. a. b. 172. a. 173. b. 174. b. 176. a. 177. a. b. 178. a. b. 179. b. 181. a. b. 184. b. 185. a. b. 186. a. 187. a. b. 188. b. 191 b. 193. b. 195. a. 201. b. 202. a. b. 203. a. 207. b. 209. a. b. 211. b. 212. a. 213. a. b. 214. a. 215. b. 216. a. b. [illegible] a. 220. a. b. 221 a. 222. a. 223. b. 224. a. 242. a. 245. a. 247. a. 249. a. 251. b. 255. a. b. 257. a. b. 259. a. b 260. a. 262. a. 26[illegible]. 281. a. b. 282. a

Ἀδριανοῦ βασιλέως. 42. b

Ἀδριανοῦ Καίσαρος. 58. a

Ἀβλωσδώρου. 147. b

Αἴγιδος. 255. a

Αἰμιλιανοῦ. 134. a. 178. b

Αἰμιλιανοῦ νικαέως. 43. b

Αἰσχύλου. 116. a.

Ἀλεξάνδρου. 121. a. 253. a

Ἀλεξάνδρου αἰτωλοῦ. 191. a

Ἄλεξιδος. 244. a

Ἀλκαίου. 6. b 9. a. 28. b. 49 a. 100. a. 116. a. 132. a. 147. b. 156. b. 157 a. 163. a. 174. b. 194. a. 197. b

Ἀλκαίου μεσσηνίου. 6. a 155. a

Ἀλφειοῦ. 196. a

Ἀλφειοῦ μιτυληναίου. 6. a. 9. b. 48. a. 53. b. 59. a 115. a. 253. b

Ἀμμιανοῦ. 82. a. 88. b. 91. b. 93. a. 97. a. 98. a. 99

a.b.107.b.100.b
Αμμονίδυ. 82.a
Ανακρέοντος. 114.b.141. a.177.b.178.b.289.b
Αντιόχυ. 75.b.98.a
[Αντι]πάτρυ. 2.a.3.a.7.a.9 a.12.a.13.a.15.a.18 b.21.a.b.23.a.b.26.a 30.b.32.a.32.b.36.a 38.a.b.41.a.42.b.44 b.47.b.48.a.b.50.b. 59.a.68.a.76.a.83.b 101.a.108.b.114.b. 116.a.124.b.125.b. 126.a.128.b.131.b. 135.b.137.a.138.a. 140.b.146.a.b.147. b.148.b.149.a.152. b.156.a.157.b.159. a.b.160.b.161.a. 162.166.b.167.a. 168.a.b.177.a.179. a.b.186.a.b.190.a. 192.b.194.a.196.b. 212.b.213.a.214.b. 215.a.218.a.241.a. 247.a.248.b.249.a. 254.a.b.259.b.
Αντιπάτρυ θεοσαλονικέως. 29.a.47.b.54.a.55. b.58.b.65.b.70.b. 96.b.100.a.151.b. 158.b.280.a.
Αντιπάτρυ θετ]αλῦ. 35.a
Αντιπάτρυ μακεδόνος. 43.b 188.a.
Αντιπάτρυ σιδωνίυ. 45.a. 54.a.126.b.130.b. 139.a.155.b.158.b 159.b.179.a. [illegible].b. 193.a.2[illegible]8.a.252.a 258.a.
Αντιςίυ. 199.b.
Αντωνίυ ἀργίυ. 59.a.60.a.
Αντιφάνος. 19.b.43.a.52. b.80.a.106.a.249.a
Αντιφίλυ. 4.a.16.b.23.a. 25.a.26.b.31.a.32.a. 35.b.42.a.47.b.48 b.50.a.52.b.53.b.57 a.58.b.61.b.129.a. 137.a.145.b.188.a. 258.b.274.b.276.a.
Αντιφίλυ βυζαντίυ. 15.b. 29.b.35.a.44.b.47.a. 187.a.223.a.
Αύτης. 28.b.32.b.117. b.119.a.152.a.153.b 154.a.166.b.197.b. 198.a.200.a.201.a.

180.b.183.a.b
ερμανικοῦ. 58.a.115.a
ερμανικοῦ καίσαρος. 25.b
ετουλλίνου. 116.a.142.a.
246.a
...κου. 56.b.246.b.
175.a.184.a
Γλαύκου ἀθηναίου. 175.a

Δ

Δαμαγήτου. 2.b.115.b.
117.a.b.121.b.182.
a.b.
Δαμασκίου. 236.a
Δαμοχάριδος γραμματικοῦ.
153.a.208.a.216.b
Δημητρίου τοῦ βιθυνοῦ. 179.b
Δημοδόκου. 97.b
Δημοκρίτου. 192.a
Διογένους ἐπισκόπου ἀμισοῦ. 150.b
Διοδώρου. 24.a.115.a.
123.a.124.a.128.b.
147.a.152.a.205.b.
249.b
Διοδώρου σαρδιανοῦ τοῦ
Διοπείθους. 20.b
Διονυσίου. 6.a.12.b.163.b
Διονυσίου σοφιστοῦ. 279.a
Διονυσίου κυζικηνοῦ. 168.a
Διόκλειδος. 179.b
Διοσκορίδου. 62.a.88.b.
115.b.117.a.119.b.
125.a.129.b.131.b.
136.a.b.141.a.158.a
Διοτίμου. 2.a.115.a.120.
b.164.a.165.b.190.a
Δωρίδος ἐλεάτου. 59.b

Ε

Εκαταίου θασίου. 1..
Επιγόνου. 61.a
Επιγόνου θεσσα...
13.a.49.a
Ερατοσθένους 150.a.256.a
Ερατοσθένους σχολαστικοῦ. 27..b
Ερμιοδώρου. 67.b
Ερμοδώρου. 191..
Ερμοκρέοντος. 3.b.16.a
Ερμοῦ τοῦ τρισμεγίστου. 287..
Ερυκίου. 4.a.56.b.115.b.
135.a.144.a.158..
198.a.199.a
Ετρούσκου μεσσηνίου. 143..
Εὐγένους. 215..
Εὐηνοῦ. 57.b.179..
191.a.192.a
Εὐκλείδου. 28..
Εὐόδου. 184.b.185
Εὐπιθίου ἀθηναίου.
Εὐτολμίου. 133.a.15..
Εὐτολμίου ἰλλουστρίου. 25..

ALEXANDER PP. VI ... ARAGONIA ... FERDINANDUS ... VALENTINUS

Z

Ζανȣ̃. 147.b
Ζηλωχοῦ. 46.b
Ζηνοβίȣ γραμματικȣ̃. 216.a.
Ζηνοδότου. 22.b
Ζωνᾶ. 16.a.50.a.251.b.254.a.
... ȣ. 252.a
Ζωσίμȣ θασίȣ. 43.a.
158.a.b

Η

Ηγησίππȣ. 112.a.126.b.258.b
Ηδύλȣ. 86.b.248.b
Ηρακλείδȣ. 136.a.144.a.146.b
Ηρακλείδȣ σινωπέως 144.a
Ηρίννης. 178.a

Θ

Θαλȣ̃. 112.a
Θεαιτήτου. 122.b.144.a.172.a.197.a
Θεαιτήτου σχολαστικȣ̃. 46.a 196.b.211.b.242.b
Θεόγνιδος. 10.a
Θεοδωρίδȣ. 119.a.124.a b.136.a.146.b.151.b.186.b.256.b.
Θεοδωρίτȣ γραμματικȣ̃. 172.a
Θεοδώρȣ. 82.a
Θεοδώρȣ τοῦ αὐθȣ. 127.b
Θεοκρίτου. 22.b.146.b.162.b
Θεοσεβίας. 1[illegible]
Θεοφάνȣς. 125.149.a
Θέωνος ἀλεξανδρέως. 43.a
Θυίλλȣ. 131.a
Θωμᾶ σχολαστικȣ̃. 220.a
Θωμᾶ πατρικίȣ. 239.a

Ι

Ιȣλιανȣ̃. 11.b.24.b.41.a.120.a.127.b.145.a.b.163.b.170.b.181.a.183.b.242.b.
Ιȣλιανȣ̃ αἰγυπτίȣ. 111.a.114.a.133.a.184.b.586.a
Ιȣλιανȣ̃ ἀπὸ ὑπάρχων αἰγυπτίȣ. 47.a.150.a.156.b.160.a.165.a 180.a.190.a.191.a.192.a.195.a.210.b.211.b.221.b.222.a 242.a.246.b.252.a 260.b.282.b.
Ιȣλιανȣ̃ ἀντικήνσωρος. 78.a.82.b.
Ιȣ[illegible] βασιλέως. 49.a

69.b
Ἰουλίου Διοκλέους. 43.a
253.b.
Ἰουλίου Λεωνίδου. 43.a
Ἰουλίου Πολυαίνου. 24.a
Ἰσιδώρου. 3.b.139.a.142.
b.149.a.
Ἰσιδώρου αἰγεώτου, ἄλλως γεωδότου ἢ αἰγεάτου.
35.b.142.b.
Ἰσιδώρου σχολαστικοῦ. 244.b
Ἰωάννου γραμματικοῦ. 208.a
Ἰωάννου ποιητοῦ τοῦ βαρβουκάλλου. 60.a.132.b.
133.a.172.b.196.b.
222.b.257.b
Ἴωνος. 157.b

K

Καλλικτήρου. 87.b
Καλλιμάχου. 42.a.55.b.
112.a.113.b.114.a.
121.a.125.a.126.b
132.b.135.b.141.b.
142.a.149.b.151.a.
160.a.164.a.b.170
b.186.a.280.b
Καλλινίου. 15.a.24.a
Καλλίου ἀργείου. 97.b
Καρπυλλίδου. 22.b
Καρφυλίδου. 111.b

κορεαλίου. 98.b
Κλαυδιανοῦ. 205.b
Κορνηλίου. 184.b.
Κορνηλίου λογγίνου. 246.a
Κοσμᾶ μηχανικοῦ. 184.b
Κράτητος τοῦ κυνικοῦ. 10.b
Κράτητος τοῦ φιλοσόφου.
10.a
Κριναγόρου. 5.a.6.b.22.
27.a.29.b.30.b.51.
b.56.a.6[illegible]b.
124.a.135.a.150.b.
164.b.173.a.175.b
194.b.203.b.257.a.
281.a
Κυλλωίου πετιανοῦ. 46.b
Κυρίλλου. 37.b
Κύρου ποιητοῦ. 133.a.207.b
Κύρου ἀπὸ ὑπάτων. 212.a
213.a
Κωμητᾶ χαρτουλαρίου.
219.a
Κωμητᾶ σχολαστικοῦ. 178.a

Λ

Λεοντέως. 28.a
Λεοντίου. 137.b.210.a.
272.b
Λεοντίου σχολαστικοῦ. 133.a.
139.b.165.a.172.a.
b.200.a.203.a.207.

a. b.

Λέοντος φιλοσόφου. 2.a

Λεωνίδου 3.a.b 15.17.a. 21.b.28.a.32.b.33.a. 38.b.45.a 53.b.56.b 78.b.82.a 85.a.88. a.100.a 112.b.117. b.121.a.b.123.b 124. a.b.125.a.126.b.129 a.132.a.140.b.141 a.b.142.a.144.b. 145.a.146.a.147.b. 148.a.b.151.a.153. b.154.b.157.a.b. 158.b.161.a.162.a. 164.a.165.b.166. a.170.b 179.a.191. a.193.b.195.a.198. a.b.202.a.b.215.b. 241.b.245.a.b.248. b.252.a.254.a.255. b.357.a.b.259.a. 261.a.263.b

Λεωνίδου ταραντίνου. 7.a. 47.a.143.a.192.a. 215.a.253.b

Λεωνίδου ἀλεξανδρέως, 250.a.b

Λολλίου. 123.b

Λουκιανοῦ. 8.b.10.a. 15.a.19.b.22.b.23. b.32.a.36.b.42.a.53.a 64.b.65.b.66.b.70 b.75.a.80.b.83.b. 96.a.97.b.104.a 128.a.189.a.19 199.a.246.b.256.b

Λουκιλλίου. 9.b.13.a 31.b.34.b.74.a.b. 75.a.76.b.77.a.78. a.b.79.a.b.80.b 81.a.b.82.a.84.a 85.a.b.86.a.87.a 88.a.b.89.a.90.a.b. 91.a.b.92.b.93.a.b 94.a.b.95.a.b.96.a b.98.a.b 99.a.106.a b.107.a.b.108.a.b 256.b.276.b

M

Μάγνου ἰατροῦ. 203.

Μαικίου. 47.b.194. 201.b.243.a.279 .a.b.

Μαικίου κοΐντου. 243.

Μακεδονίου. 96.a 102.a.b.128.a 218.b

Μακεδονίου ὑπάτου. 15. 20.a.42.a.79.a.8

b.102.b.103.b.107.
a.174.a.207.b.
210.a.241.a.242.
b.244.a.255.b.256
b.257.b.265.b.
266.a.268.b.
269.a
Μακεδόνος. 57.a
Μάρκου ἀργυντερίου. 45.a
279.b
Μάρκου νεωτέρου. 58.b
Μαριανοῦ σχολαστικοῦ. 194.
b.208.a.211.a.
219.b
Μελεάγρου. 21.a.
49.a.112.a.120.b.
126.b.130.a.132.
b.153.a.b.155.a.
161.a.186.b.196.
a.259.a.262.a.b.
263.a.b.264.a.
274.b.275.a.b
Μενάνδρου. 114.b
Μενεκράτους. 13.a
Μενεκράτους σμυρναίου. 70.a
Μεσομήδου. 221.b
Μητροδώρου. 10.b.
174.a
Μιμνέρμου. 71.a
Μιχαηλίου γραμματικοῦ. 220.
Μνασάλκου. 3.
42.b.139.a.
152.b
Μνησάλκου. 116.a.
153.b.155.a.
254.a
Μνησάρχου. 258.a
Μουσικίου. 7.b
Μόσχου. 22.a.
194.b
Μυρίνου. 78.b.
164.b
Μύρου. 241.a

## N

Νείλου σχολαστικοῦ. 200.a
Νέρωνος. 121.b
Νέστορος. 27.a.62.b.
63.a
Νικαινέτου. 144.b.
193.b
Νικάνδρου. 119.a
Νικάρχου. 33.a.61.a.
74.b.77.a.78.a.b.
86.b.87.a.90.a.

**

ALEXANDER · ARAGONUM · DE CORA REX · FERDINANDUS SANTINUS

91.b. 92. a. 93. b.
98.a. 100.a. 104.a.
106.b. 129.b. 247.
b. 280.b
Νικηράτου. 49.a
Νικίου. 28.b. 79.b.
153.b. 193.a.
213.b
[illegible]νοφίλου ἡρακλεώτου.
243.b
Νικ[illegible] 34.a
Νεοσίδος. 120.b

Ξ

Ξενοκράτους. 193.a
Ξενοκρίτου. 147.a
Ξενοφῶντος σμυρναίου.
213.a

Ο

Οἰνομάου. 206.a
Ομήρου 127.a
Ονέσου. 8.a. 30.b.
101.a. 146.b.
280.b
Ονέσου Κορινθίου. 59.a.b
Ορφέως. 287.b

Π

Παγκρατίου. 148.a.
261.a
Παλλαδία. 4.b. 9.b.
10.a. 11.a. 13.b.
14.a.b. 29.a. 30.a.
31.a.b. 33.a. 34.b.
36.b. 37.a. 50.b. 51.
b. 52.a. 53.a. 60.b.
61.a. 62.b. 64.a.b.
65.a.b. 66.a. 67.a.b.
70.b. 71.a. 75.b.
77.b. 80.a. 81.a.
82.b. 84.b. 85.a.b.
87.a. 89.b. 90.a.
93.a. 94.b. 97.a.
101.b. 102.a.b.
105.a.b. 107.a.b.
109.a.b. 121.b. 133.
b. 196.b. 209.b.
220.b. 247.b. 258.
b. 272.a
Παμφίλου. 154.b
Παρμενίδου μακεδόνος. 7.a
Παρμενίωνος. 5.a. 37.
b. 104.a. 118.a.
138.b. 151.b. 196.
b. 197.a. 280.a

Παρμενίωνος μακεδό-
νος. 9.b
Παύλου. 123.b.
127.b
Παύλου σιλεντιαρίου. 8.a.
12.b.21.b.46.a.
50.a.63.a.102.b.
112.a.150.b.152.
a.155.b.161.a.
175.a.177.a.185.a.
204.a.205.a.210.a
211.a.220.b.247.
a.253.b.255.a.
258.a.260 a.264.
b.265.a.b.266.a.b.
267.a.b.268.a.b.
271.a.285.a
Πεισάνδρου. 118.a
Πρίζου. 198.b
Πέρσου. 124.b.
144.b.167.a.
201.b
Πιννυτοῦ. 160.b
Πλάτωνος. 7.b.15.a.
16.b.54.b.68.a.71.a
117.a.121.b.141.b
169.a.b.171.a.190.
b.195.b 197.a.199.
b.200.a.205.b.206
a.246.b.
Πλάτωνος νεωτέρου. 3.b.
206.a.
Πολέμωνος βασιλέως.
205.b.
Πολλιανοῦ. 94.b
Πολυαίνου. 25.a
Πολυστράτου. 118.a
Πομπηΐου. 58.b.200
Πομπηΐου νεωτέρου 130.b
Ποσειδίππου. 1... 8.a
141.b.176.b.185.a.
203.b.264.b.276.a
Πτολεμαίου. 38.b.126.b
Πωλιανοῦ. 106.b.188.b

Ρ

Ρουφίνου. 276.b.277.a.b.
278.a.b.
Ρούφου δομεστίκου. 276.a.

Σ

Σαβίνου. 246.a
Σαμίου. 151.a.222.a
Σαπφοῦς. 114.a.132.b.
289.a
Σαραπίωνος. 120.b

** ῆ

Σατυρίου. 252. a.
Σατύρου. 45.b.52.b. 189.a.194.a.
Σατύρου θυίλλου. 45.a
Σκύνδου. 27.b.47.a. 196.a.
Σηκαίου. 280.b.
Σιμμίου. 155.a.254.b
Σιμωνίδου. 2.b.61.a.113. a.116.b.118.a.119. a.1[illegible] 41.b 148. b.151.a.158.a.159. a.166.a.175.a.178. b.195.a.198.a.211. b.219.a.256.a.258. a.263.a.
Σπευσίππου. 171.a
Στατυλλίου. 143.a
Στατυλλίου φλάκκου. 24.b. 52.a.142.b.195.b. 243.b
Στράτωνος. 61.a.76.a. 86.a.100.b.196.a.
Συνεσίου σχολαστικοῦ. 203.a.
Συνεσίου φιλοσόφου. 177.a.b
Σωφρονίου πατριάρχου ἱεροσολύμων. 112.b. 113.a.209.b.
Σωφρονίου πατριάρχου. 209.b.

T

Τιβερίου. 26.a
Τιβερίου ἴλλου. 25.[illegible]
Τίμωνος. 78.a
Τραϊανοῦ βασιλέως. 82.b
Τρύφωνος τοῦ ἑρμοῦ. 31.a
Τρωΐλου γραμματικοῦ. 174.b
Τυλλίου γεμίνου. 18.b.195. a 219.a
Τυλλίου λαυρέα. 160.b.
Τυμνέω. 117.a.132.b. 152.b.198.b.

Φ

Φαέννου. 117.a.154.b.
Φακέλλου. 146.a
Φαυίου. 35.b
Φιλίππου. 2.b.3.b.6.a.8.b. 15.b.16.a.17.b.18 b 19.a.b.24.b.25.b.26 a.27.b.30.b.35.a.43.b 44.a.48.b.49.b.54. a.57.b.59.b.80.a.101. a.113.b.115.b.123.a

ALEXAN… FERDINANDI… REX… (library stamp)

130.a.143.b.174.a.
181.a.182.a.183.a.
187.a.b.192.b.193.
b.196.a.199.a.222.
b.241.b.242.a 243.
.244.b.245.b.248.
a.249.a.251.b.256.
a. 259.b. 260.b.
261.a.
ίππου Μακεδόνος. 180.b
189.b.
ολήμου. 24.a.31.a.131.
.198.b.241.b.272.
b.273.a.b.274 a.
Φιλοστράτου. 184.a
Φίλωνος. 13.b
Φλάκκου. 145.a

X

Χαιρήμονος. 118.b
Χρυσολώρου. 111.
Χρυσολώρου ποιητοῦ ... κωπίτου. à ... usque ad 240.

Τ Ε Λ Ο Σ.

ALEXANDER ... ARAGONVM · ... DEI GRA REX ... SANTIVS FERDINANDVS

A B C D E F G H I K L M N O P Q R S T V X Y Z. AA BB CC DD EE FF GG HH II KK LL MM NN *. **.

Omnes Quaterniones, præter. **. Duernionem.

ARAGONVM · ALEXANDER PP VI VALENTINVS FERDINANDVS DEI GRA REX

V E N E T I I S
Apud Petrum & Ioan Mariam Nicolinos
Sabientes, impensa Melchioris
Sessæ. Anno Domini.
M. D. L.



ALEXANDER PP VI VALENTINUS FERDINANDUS DEI GRA REX ARA

Per Luis Dortaz [illegible]

Terç i Rivia [illegible]

Marine [illegible]

ARAGONUM · ALEXANDER [illegible] INFANTIS FERDINANDUS DEI GRA REX